TITI FLAUI

CLEMENTIS ALEXANDRINI

OPERA OMNIA.

RECOGNOUIT

REINHOLDUS KLOTZ.

VOL. I.

CONTINENS PROTREPTICUM AD GRAECOS ET PAEDAGOGI LIBB. III.

LIPSIAE

SUMPTIBUS E. B. SCHWICKERTI.

1831.

BIBLIOTHECA SACRA

PATRUM ECCLESIAE GRAECORUM.

PARS III.

TITI FLAUI
CLEMENTIS ALEXANDRINI
OPERUM OMNIUM

TOM. I.

LIPSIAE
SUMPTIBUS E. B. SCHWICKERTI.
1831.

Carolus Ernestus Richterus vir clarissimus, is qui bibliothecam hanc sacram ante paucos hos annos edere coepit, quum qua me est amicitia complexus, a me petisset, vt quem ad modum ipse Iosephi et Philonis Iudaeorum opera edidisset, ita ego Clementis Alexandrini scripta edenda curarem; quanquam me non praeteribat quam operosum hoc esset quamque difficile negotium: non tamen putaui operam meam quantulancunque roganti amico ac pene postulanti recusandam esse ac deprecandam. quam ob caussam si quid cui vires meae haud quaquam pares esse videantur susceperim, id magis facilitate mea, qua amicorum voluntati semper putaui esse inseruiendum, quam alia vlla culpa mea contigit.

Neque vero eae mihi praescriptae erant leges, vt aut nouis libris anquirendis aut aliis adiumentis criticis vndique conquirendis nouam horum scriptorum recensionem instituerem, sed vt quae optima haberetur editio, eam literis mandarem ac si quid aperte peccatum deprehendissem, id corrigerem atque emendarem. qua ego in re si quando plus quam receperam praestare conatus sum et quauis fere pagina ab iis, qui ante me orationem Clementis constituerant, discedendum esse duxi: id vt fieret et res ipsa flagitabat et a multis me spero hoc nomine, quod vltro exsolui, bonam gratiam iniuisse. ea enim huic scriptori cecidit sors, vt quum a Friderico Sylburgio discesseris, ceti

maiorem et vtiliorem in eo operam ponere aut posset aut vellet, editorem inuenerit neminem. namque Ioannes Potterus, qui superiore saeculo ineunte scripta Clementis edidit, etsi ita optime est de eis meritus, quod libros scriptos diligenter accurateque contulit; non proinde tamen ac libri postulabant optimi locos corruptos emendare ausus est atque conformare. itaque saepe accidit, vt scriptura ea, quam et libri tuerentur et ipse duceret probandam, in annotatione duntaxat locum obtineret: aperta librariorum menda non tollerentur. Sylburgius contra quanquam praeter editionem P. Victori vno libro Palatino vsus est, multa tamen ab eo sunt emendata vitia et omnis cura atque opera in singulis vniuersisque expoliendis posita.

Quod quum ita sit, non spero futurum, vt quisquam hac de re mecum dissentiat, quod Sylburgi editionem malui quam Potteri sequi, ita vt hanc cum illa diligenter conferrem et si quid a recentioribus criticis siue ex libris siue de coniectura rectius constitutum vidissem asciscerem. qua in re quod quantumque vnicuique debeatur, dicetur eo volumine, quod criticam annotationem continebit.

Tum in emendandis his Clementis libris vsus sum scholiis Parisinis nondum editis, quae editioni nostrae adiicientur.

Deinde praeter quam quod quae viri docti hic illic de Clementis locis praeceperant, studiose collegi et sicubi vsus iis erat, in meam rem conuerti, etiam ea, quae Villoisonius in *epistolis Vinariensibus* inde a pag. 92 — 97. de locis quibusdam Clementis scripta e bibliotheca Vinariensi foras dedit, excussi. in his vero virorum doctorum annotationibus etsi nonnulla ita erant declarata, vt et assensum meum tulerint nec ego dubitauerim quam proposuerunt scripturam recipere: multa tamen esse cognoui ita comparata, vt qui caute criticum agat, aut in dubitationem vocare ea debeat

aut plane reiicere. itaque quos locos viri docti pro corruptissimis habuerunt multos, eos ego mihi videor aut mutata interpunctione aut faciliore quadam medicina quam quae istorum fuit persanauisse. cuius rei quamuis permulta possim exempla edere, id tamen tum declarabitur, quum id agemus.

Quod ad libros scriptos attinet, antistare ceteris videtur ille liber, qui asseruatur in bibliotheca *noui* apud Oxonienses *collegi*, qui tamen praeter *cohortationem ad Graecos* duo tantum posteriores *paedagogi* libros continet. eum potissimum his in libris sequendum existimaui. praeter enim quam quod plerumque meliores exhibuit scripturas, deteriores spreuit, interdum singula vel plura etiam suppleuit verba, quae librariorum negligentia in aliis libris videmus esse omissa, vt *protrept.* §. 2. p. 3. ed. Pott. haec verba: *καὶ τῶν δραμάτων οἱ ὑποκριταὶ θυμηδίας θεάματα,* quae quin ab ipso Clemente profecta sint non potest esse dubium. ibid. §. 11. p. 11. ed. Pott. haec verba ex eo adiicienda duxi: *καὶ πλάνης ἀκράτου κυβευτήρια.* est enim boni critici non solum quae merito sunt suspecta reiicere, verum etiam si quid librariorum incuria amissum sit, id quantum in se est reprehendere. hoc a viris doctissimis interdum esse neglectum documento est Aristophanis locus de Acharnensibus, qui legitur versu 219 sqq. ed. G. Dind., vbi si quis Suidae verba et scholiastae annotationem considerauerit, id mihi spero facile concedet numeros poetae et sententiam sic restituenda esse:

κοὐκ ἀνήσω πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ
καὶ σκόλοψ ὀξύς, ὀδυνηρός, ἐπίκωπος, ἵνα
μή ποτε πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.

Versus quos multos laudat Clemens ita studui constituere, vt exceptis paucis quos aperte viderem esse deprauatos, et metro et sententiae poetae satis facerem, praesertim quum in annotatione critica quae in libris

esset scriptura essem indicaturus. alii sic erant cum Clementis oratione coniuncti, vt separari et disponi non possent. ita *paedag.* lib. II. §. 109. p. 235. ed. Pott. *τί γὰρ φρόνιμον γυναῖκες ἐργάσαιντο* intacta reliqui, quoniam his Clemens pro suis vsus est, quanquam paullo post *paedag.* lib. III. §. 7. p. 254. ed. Pott. versum eum, quem fecit Aristophanes, recte sic scriptum habet:

τί γὰρ γυναῖκες φρόνιμον ἐργασαίμεθα —.

itemque *paedag.* lib. II. §. 25. p. 181 sq. ed. Pott. haec verba sicut vulgo legebantur edidi: *ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κῶμος, κραιπάλη, βαλανεῖα, ἄκρατος, ἀμίδες, ἀργία, πότος.*, in quibus vt concedam Clementem ante oculos habuisse comici poetae versum, non tamen queo neque Marklandi probare rationem, qui *explicat. vet. auct.* p. 247. sic haec verba scribi voluit:

ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
κῶμος, βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία,
πότος,

neque cum Porsono facere, qui *aduersar.* p. 300 sq. hos voluit esse versus:

ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία, πότος.

ac primum quidem verba ista *ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ* — aperte videntur esse Clementis, vt *paedag.* lib. II. §. 1. p. 163. ed. Pott., vbi haec verba leguntur: *οἷς οὐδὲν ἄλλ' ἢ γαστήρ ἐστιν ὁ βίος*, quae nihil habent cum versu commune: tum in Porsoni ratione, qui verbum *κῶμος* ab librariis illatum sit intelligi non potest, nisi forte ex eo exstitisse ais, quod ascriptum fuerit *ὁ κωμικός φησιν.*

Quem ad modum igitur his in locis malui librorum auctoritati morem gerere, quam quum incerta et veri similia consectarer, a regula seuerae critices declinare, ita alibi non dubitaui coniecturis tantum tribuere, vt libris post habitis eas recipere auderem. quod quan-

quam pluribus locis factum est, vnum tamen satis habeo afferre, vbi certam quandam coniecturam meam incertae atque haud scio an absurdae omnium librorum scripturae anteferendam esse arbitratus sum. *paedag.* lib. III. §. 49. p. 283. ed. Pott., vbi haec verba sunt in libris: *ἔτι δὲ αὐτουργικῶς προκομίζειν χρὴ ἐκ τοῦ ταμιείου τὰς γυναῖκας ὧν δεοίμεθα, καὶ τῷ μύλῳ προσελθεῖν οὐκ αἰσχρὸν αὐτάς· οὐδὲ μὴν περὶ τὸ ὕψος ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ.*, vbi quum alius *περὶ τὸ ὄψον* coniecisset esse scribendum, alius *περὶ τὸ ὕφος*, vtrumque Sylburgius recte reprobauit, quod alterum supra commemorari diceret, alterum post esse dictum, in eo tamen falsus, vt opinio mea fert, quod librorum scripturam quodam modo posse explicari ratus est: quod quam parum ei successerit tacendum arbitror. illud dico qui diligenter Homerum lectitauerit cognitumque habeat Clementis studium haec egregia carmina quotiescunque occasio data est in vsum suum transferendi, eum non dubitaturum quin recte haec verba a me sic sint scripta: *οὐδὲ μὴν περὶ τὸ ὕδωρ ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ.* poeta enim praeclare hoc mulieris officium Odyss. *κ.* v. 358 sqq. his verbis descripsit:

ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει, καὶ πῦρ ἀνέκαιεν
πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
ἔς ῥ' ἀσάμινθον ἔσασα, λό' ἐκ τρίποδος μεγάλοιο,
θυμῆρες κεράσασα, κατὰ κρατός τε καὶ ὤμων,
ὄφρα μοὶ ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων,

vbi quem ad modum hunc versum:

θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων,

rectius quam Fr. A. Wolfius fecit interpunxi, ita Iliad. *o.* v. 176 sq. videtur esse scribendum:

παυσάμενόν σε κέλευσε μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν,

pro eo quod idem Wolfius edidit *παυσάμενόν σ' ἐκέλευσε*. cf. Iliad. *β*. v. 28 et 65.

θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιούς,
πανσυδίῃ.

et *ω*. 175.

λύσασθαί σε κέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον.

in isto vero Clementis loco vel verbum *θυμῆρες* satis arguit esse scribenti Homeri versum ante oculos obuersatum. quapropter apud peritos iudices nulla debebit esse de coniectura mea dubitatio.

Ceterum eandem rationem atque in reliquis huius bibliothecae voluminibus sequuti sumus, vt locos ex scriptis sacris laudatos itemque Homeri et Hesiodi versus, quam id breuissime fieri posset, in margine annotaremus, aliorum vero scriptorum loci vt in annotationum volumine quam diligentissime indicentur, studiose operam dabimus.

In tollendis autem librariorum mendis etsi Meutznerus me meus egregie adiuuit, accidit tamen vt minuta quaedam relinquerentur vitia, quae si scire lectorum interesset, infra indicaui.

Scripsi Lipsiae d. XVI. m. Nouembr. MDCCCXXX.

ΚΛΗΜΕΝΤΟΣ ᾿ΑΛΕΞΑΝΔΡΕΩΣ

ΛΟΓΟΣ

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΠΡΟΣ ῾ΕΛΛΗΝΑΣ.

P. 1 Ed. Sylb.

CLEMENTIS ALEXANDRINI PROTREPTICUS.

P. 1 Ed. Pott.

Argumentum.

Cap. I. Ab orgiis et impiis idolorum mysteriis homines auocans, ad veram iubilationem *dei verbi* nomine prouocat et ad laudes *dei patris* ob reuelatam veritatem celebrandas hortatur (§. 1—10.). C. II. Absurditatem simul atque impietatem *mysteriorum ethnicorum* et *fabularum* de deorum ortu et interitu ostendit (§. 11—37.). C. III. Sacrificiorum diis mactatorum crudelitatem atque impuritatem perstringit (§. 38—41.). C. IV. Simulacra quam absurda et turpia sint, quibus gentes deos suos colant (§. 42—59.). C. V. Philosophorum sententias de *deo* recenset (§. 60—62.). C. VI. Illos aliquando, ipso inspirante, verum hoc in argumento vidisse (§. 63—68.). C. VII. Poetas etiam veritati hac in parte testimonium ferre (§. 69—72.). C. VIII. Veram de deo doctrinam a prophetis esse petendam (§. 73—77.). C. IX. Grauiter illos peccare, qui benignam dei vocationem spernant aut negligant (§. 78—84.). C. X. Respondens obiectioni gentilium, qua nefas esse aiunt morem patrium deserere, eo impensius hortatur illos ad veritatem amplectendam, qua ab erroribus istis liberentur (§. 85—106.). C. XI. Quanta sint dei beneficia in homines per Christi aduentum collata (§. 107—113.). C. XII. Hortatur ut missis erroribus et cupiditatibus pristinis se Christo vnico veritatis magistro instituendos praebeant (§. 114.—119.).

Cap. I.

§. 1. Ἀμφίων ὁ Θηβαῖος καὶ Ἀρίων ὁ Μηθυμναῖος ἄμφω μὲν ἤστην ᾠδικώ· μῦθος δὲ ἄμφω· καὶ τὸ ᾆσμα εἰσέτι τοῦτο Ἑλλήνων ᾄδεται χορῷ· τέχνῃ τῇ μουσικῇ ὁ μὲν ἰχθὺν δελεάσας, ὁ δὲ Θήβας τειχίσας. P. 2 Pott.
Θρᾴκιος δὲ ἄλλος σοφιστὴς — ἄλλος οὗτος μῦθος Ἑλ-

ληνικός — ἐτιθάσσευε τὰ θηρία γυμνῇ τῇ ᾠδῇ· καὶ δὴ τὰ δένδρα, τὰς φηγούς, μετεφύτευε τῇ μουσικῇ. ἔχοιμ᾽ ἄν σοι καὶ ἄλλον τούτοις ἀδελφὸν διηγήσασθαι μῦθον καὶ ᾠδόν, Εὔνομον τὸν Λοκρὸν καὶ τέττιγα τὸν Πυθικόν. πανήγυρις Ἑλληνικὴ ἐπὶ νεκρῷ Δράκοντι συνεκροτεῖτο Πυθοῖ, ἐπιτάφιον ἑρπετοῦ ᾄδοντος Εὐνόμου· ὕμνος ἢ θρῆνος ὄφεως ἦν ἡ ᾠδή, οὐκ ἔχω λέγειν. ἀγὼν δὲ ἦν καὶ ἐκιθάριζεν ὥρᾳ καύματος Εὔνομος, ὁπηνίκα οἱ τέττιγες ὑπὸ τοῖς πετάλοις ᾖδον ἀνὰ τὰ ὄρη θερόμενοι ἡλίῳ. ᾖδον δὲ ἄρα οὐ τῷ Δράκοντι τῷ νεκρῷ, ἀλλὰ τῷ θεῷ τῷ πανσόφῳ αὐτόνομον ᾠδήν, τῶν Εὐνόμου βελτίονα νόμων· ῥήγνυται χορδὴ τῷ Λοκρῷ· ἐφίπταται ὁ τέττιξ τῷ ζυγῷ· ἐτερέτιζεν ὡς ἐπὶ κλάδῳ, τῷ ὀργάνῳ· καὶ τοῦ τέττιγος τῷ ᾄσματι ἁρμοσάμενος ὁ ᾠδὸς τὴν λείπουσαν ἀνεπλήρωσε χορδήν. οὐκοῦν ᾠδῇ τῇ Εὐνόμου ἄγεται ὁ τέττιξ, ὡς ὁ μῦθος βούλεται, χαλκοῦν ἀναστήσας Πυθοῖ τὸν Εὔνομον αὐτῇ τῇ κιθάρᾳ καὶ τὸν συναγωνιστὴν τοῦ Λοκροῦ· ὁ δὲ ἑκὼν ἐφίπταται καὶ ᾄδει ἑκών. Ἕλλησι δὲ ἐδόκει ὑποκριτὴς γεγονέναι μουσικῆς.

§. 2. Πῇ δὴ οὖν μύθοις κενοῖς πεπιστεύκατε, θέλγεσθαι μουσικῇ τὰ ζῷα ὑπολαμβάνοντες· ἀληθείας δὲ ὑμῖν τὸ πρόσωπον τὸ φαιδρὸν μόνον, ὡς ἔοικεν, ἐπίπλαστον εἶναι δοκεῖ καὶ τοῖς τῆς ἀπιστίας ὑποπέπτωκεν ὀφθαλμοῖς; Κιθαιρὼν δὲ ἄρα καὶ Ἑλικὼν καὶ τὰ Ὀδρυσῶν ὄρη καὶ Θρᾳκῶν τελεστήρια, τῆς πλάνης τὰ μυστήρια, τεθείασται καὶ καθύμνηται. ἐγὼ P. 3 Pott. μέν, εἰ καὶ μῦθος εἰσὶ, δυσανασχετῶ τοσαύταις ἐκτραγῳδουμέναις συμφοραῖς· ὑμῖν δὲ καὶ τῶν κακῶν ἀναγραφαὶ γεγόνασι δράματα καὶ τῶν δραμάτων οἱ ὑποκριταὶ θυμηδίας θεάματα· ἀλλὰ γὰρ τὰ μὲν δράματα καὶ τοὺς ληναΐζοντας ποιητάς, τέλεον ἤδη παροινοῦντας, κιττῷ που ἀναδήσαντες, ἀφραίνοντας ἐκτόπως τελετῇ βακχικῇ, αὐτοῖς σατύροις καὶ θιάσῳ μαινόλῃ, σὺν καὶ τῷ ἄλλῳ δαιμόνων χορῷ, Ἑλικῶνι καὶ Κιθαιρῶνι κατακλείσωμεν γεγηρακόσιν· κατάγωμεν δὲ

ἄνωθεν ἐξ οὐρανῶν ἀλήθειαν ἅμα φανοτάτῃ φρονήσει εἰς ὄρος ἅγιον θεοῦ καὶ χορὸν τὸν ἅγιον τὸν προφητικόν, ἡ δὲ ὡς ὅτι μάλιστα τηλαυγὲς ἀποστίλβουσα φῶς, καταυγαζέτω πάντῃ τοὺς ἐν σκότει κυλινδουμένους καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἀπαλλαττέτω, τὴν ὑπερτάτην ὀρέγουσα δεξιὰν, τὴν σύνεσιν, εἰς σωτηρίαν· οἱ δὲ ἀνανεύσαντες καὶ ἀνακύψαντες Ἑλικῶνα μὲν καὶ Κιθαιρῶνα καταλειπόντων, οἰκούντων δὲ Σιών· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ *), λόγος οὐράνιος, ὁ γνήσιος ἀγωνιστὴς ἐπὶ τῷ παντὸς κόσμου θεάτρῳ στεφανούμενος. ᾄδει δέ γε ὁ Εὔνομος ὁ ἐμὸς οὐ τὸν Τερπάνδρου νόμον οὐδὲ τὸν Καπίτωνος, οὐδὲ μὴν Φρύγιον ἢ Λύδιον ἢ Δώριον, ἀλλὰ τῆς καινῆς ἁρμονίας τὸν ἀΐδιον νόμον, τὸν φερώνυμον τοῦ θεοῦ, τὸ ᾆσμα τὸ καινὸν **), τὸ λευιτικὸν,

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων· ***)

γλυκύ τι καὶ ἀληθινὸν φάρμακον πειθοῦς ἐγκέκραται τῷ ᾄσματι.

§. 3. Ἐμοὶ μὲν οὖν δοκοῦσιν ὁ Θρᾴκιος ἐκεῖνος Ὀρφεὺς καὶ ὁ Θηβαῖος καὶ ὁ Μηθυμναῖος, ἄνδρες τινὲς οὐκ ἄνδρες, ἀπατηλοὶ γεγονέναι, προσχήματι P. 4
μουσικῆς λυμηνάμενοι τὸν βίον, ἐντέχνῳ τινὶ γοη- Pott.
τείᾳ δαιμονῶντες εἰς διαφθορὰς, ὕβρεις ὀργιάζοντες, πένθη ἐκθειάζοντες, τοὺς ἀνθρώπους ἐπὶ τὰ εἴδωλα χειραγωγῆσαι πρῶτοι· ναὶ μὴν λίθοις καὶ ξύλοις, τουτέστιν ἀγάλμασι καὶ σκιαγραφίαις, ἀνοικοδομῆσαι τὴν σκαιότητα τοῦ ἔθους, τὴν καλὴν ὄντως ἐκείνην ἐλευθερίαν τῶν ὑπ' οὐρανὸν πεπολιτευμένων ᾠδαῖς καὶ
P. 2 ἐπῳδαῖς ἐσχάτῃ δουλείᾳ καταζεύξαντες· ἀλλ' οὐ
Sylb. τοιόσδε ὁ ᾠδὸς ὁ ἐμὸς οὐδ' εἰς μακρὰν καταλύσων ἀφῖκται τὴν δουλείαν τὴν πικρὰν τῶν τυραννούντων

---

*) Ies. 2, 3. **) Psalm. 96. 1. 98, 1. ***) Hom. Odyss. δ. 221.

δαιμόνων· ὡς δὲ τὸν πρᾷον καὶ φιλάνθρωπον τῆς θεοσεβείας μετάγων ἡμᾶς ζυγὸν, αὖθις εἰς οὐρανοὺς ἀνακαλεῖται τοὺς εἰς γῆν ἐῤῥιμμένους.

§. 4. Μόνος γοῦν τῶν πώποτε τὰ ἀργαλεώτατα θηρία, τοὺς ἀνθρώπους, ἐτιθάσσευεν· πτηνὰ μὲν, τοὺς κούφους αὐτῶν· ἑρπετὰ δὲ, τοὺς ἀπατεῶνας, καὶ λέοντας μὲν, τοὺς θυμικούς· σύας δὲ, τοὺς ἡδονικούς· λύκους δὲ, τοὺς ἁρπακτικούς. λίθοι δὲ καὶ ξύλα οἱ ἄφρονες· πρὸς δὲ καὶ λίθων ἀναισθητότερος ἄνθρωπος ἀγνοίᾳ βεβαπτισμένος. μάρτυς ἡμῖν προφητικὴ παρίτω φωνὴ, συνῳδὸς ἀληθείας, τοὺς ἐν ἀγνοίᾳ καὶ ἀνοίᾳ κατατετριμμένους οἰκτείρουσα· δυνατὸς γὰρ ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ *). ὃς κατελεήσας τὴν ἀμαθίαν τὴν πολλὴν καὶ τὴν σκληροκαρδίαν τῶν εἰς τὴν ἀλήθειαν λελιθωμένων, ἤγειρεν θεοσεβείας σπέρμα ἀρετῆς αἰσθόμενον ἐκ λίθων ἐκείνων τῶν λίθοις πεπιστευκότων ἐθνῶν. αὖθις οὖν ἰοβόλους τινὰς καὶ παλιμβόλους ὑποκριτὰς ἐφοδεύοντας δικαιοσύνῃ γεννήματα ἐχιδνῶν **) κέκληκέ που· ἀλλὰ καὶ τούτων εἴ τις τῶν ὄφεων μετανοῆσαι ἑκὼν, ἑπόμενος δὴ τῷ λόγῳ ἄνθρωπος γίνεται θεοῦ ***). λύκους δὲ ἄλλους ἀλληγορεῖ προβάτων κῳδίοις ἠμφιεσμένους †), τοὺς ἐν ἀνθρώπων μορφαῖς ἁρπακτικοὺς αἰνιττόμενος. καὶ πάντα ἄρα ταῦτα τὰ ἀγριώτατα θηρία καὶ τοὺς τοιούτους λίθους ἡ οὐράνιος ᾠδὴ αὐτὴ μετεμόρφωσεν εἰς ἀνθρώπους ἡμέρους. ἦμεν γάρ, ἦμέν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἡδοναῖς καὶ ἐπιθυμίαις ποικίλαις, ἐν κακίᾳ καὶ P. 5 Pott. φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους ††), ᾗ φησὶν ἡ ἀποστολικὴ γραφή· ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς †††). ὅρα τὸ

*) Matth. 3, 9. Luc. 3, 8. **) Matth. 3, 7. Luc. 3, 7. ***) Timoth. 3, 17. †) Matth. 7, 15. ††) Tit. 3, 3. †††) Tit. 3, 4 sq.

ᾆσμα τὸ καινὸν ὅσον ἴσχυσεν· ἀνθρώπους ἐκ λίθων καὶ ἀνθρώπους ἐκ θηρίων πεποίηκεν. οἱ δὲ τηνάλλως ὡς νεκροὶ, οἱ τῆς ὄντως οὔσης ἀμέτοχοι ζωῆς, ἀκροαταὶ μόνον γενόμενοι τοῦ ᾄσματος, ἀνεβίωσαν.

§. 5. Τοῦτό τοι καὶ τὸ πᾶν ἐκόσμησεν ἐμμελῶς καὶ τῶν στοιχείων τὴν διαφωνίαν εἰς τάξιν ἐνέτεινε συμφωνίας, ἵνα δὴ ὅλος ὁ κόσμος αὐτῷ ἁρμονία γένηται· καὶ θάλασσαν μὲν ἀνῆκε λελυμένην, γῆς δὲ ἐπιβαίνειν κεκώλυκεν, αὐτὴν δὴ γῆν ἔμπαλιν ἐστερέωσε φερομένην καὶ ὅρον αὐτῇ ἔπηξε θάλασσαν· ναὶ μὴν καὶ πυρὸς ὁρμὴν ἐμάλαξεν ἀέρι, οἱονεὶ Δώριον ἁρμονίαν κράσας Λυδίῳ· καὶ τὴν ἀέρος ἀπηνῆ ψυχρότητα τῇ παραπλοκῇ τοῦ πυρὸς ἐτιθάσσευσε, τοὺς νεάτους τῶν ὅλων φθόγγους τούτους κιρνὰς ἐμμελῶς. καὶ δὴ τὸ ᾆσμα τὸ ἀκήρατον, ἔρεισμα τῶν ὅλων καὶ ἁρμονία τῶν πάντων, ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα διαταθὲν, ἡρμόσατο τόδε τὸ πᾶν, οὐ κατὰ τὴν Θρᾴκιον μουσικὴν, τὴν παραπλήσιον Τουβὰλ, κατὰ δὲ τὴν πάτριον τοῦ θεοῦ βούλησιν, ἣν ἐζήλωσε Δαβίδ. ὁ δὲ ἐκ Δαβὶδ καὶ πρὸ αὐτοῦ ὁ τοῦ θεοῦ λόγος λύραν μὲν καὶ κιθάραν, τὰ ἄψυχα ὄργανα, ὑπεριδὼν, κόσμον δὲ τόνδε καὶ δὴ καὶ τὸν σμικρὸν κόσμον, τὸν ἄνθρωπον, ψυχήν τε καὶ σῶμα αὐτοῦ, ἁγίῳ πνεύματι ἁρμοσάμενος, ψάλλει τῷ θεῷ, διὰ τοῦ πολυφώνου ὀργάνου καὶ προσᾴδει τούτῳ τῷ ὀργάνῳ τῷ ἀνθρώπῳ. σὺ γὰρ εἶ κιθάρα καὶ αὐλὸς καὶ ναὸς ἐμοί· κιθάρα, διὰ τὴν ἁρμονίαν· αὐλὸς, διὰ τὸ πνεῦμα· ναὸς, διὰ τὸν λόγον· ἵν᾽ ἡ μὲν κρέκῃ, τὸ δὲ ἐμπνέῃ, ὁ δὲ χωρήσῃ τὸν κύριον. ναὶ μὴν ὁ Δαβὶδ, ὁ βασιλεὺς, ὁ κιθαριστὴς, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν, ὃς προὔτρεπεν P. 6 Pott. ὡς τὴν ἀλήθειαν, ἀπέτρεπε δὲ εἰδώλων, πολλοῦ γε ἔδει ὑμνεῖν αὐτὸν τοὺς δαίμονας, ἀληθεῖ πρὸς αὐτοῦ διωκομένους μουσικῇ, ᾗ τῷ Σαοὺλ ἐνεργουμένῳ ἐκεῖνος ᾄδων μόνον, αὐτὸν ἰάσατο. καλὸν

ὁ κύριος ὄργανον ἔμπνουν τὸν ἄνθρωπον ἐξειργάσατο κατ᾽ εἰκόνα τὴν ἑαυτοῦ· ἀμέλει καὶ αὐτὸς ὄργανόν ἐστι θεοῦ παναρμόνιον, ἐμμελὲς καὶ ἅγιον, σοφία ὑπερκόσμιος, οὐράνιος λόγος.

§. 6. *Τί* δὴ οὖν τὸ ὄργανον, ὁ τοῦ θεοῦ λόγος ὁ κύριος καὶ τὸ ᾆσμα τὸ καινὸν βούλεται; ὀφθαλμοὺς ἀναπετάσαι τυφλῶν καὶ ὦτα ἀνοῖξαι κωφῶν καὶ σκάζοντας τὼ πόδε ἢ πλανωμένους εἰς δικαιοσύνην χειραγωγῆσαι, θεὸν ἀνθρώποις ἀφραίνουσιν ἐπιδεῖξαι, παῦσαι φθορὰν, νικῆσαι θάνατον, υἱοὺς ἀπειθεῖς διαλλάξαι πατρί. φιλάνθρωπον τὸ ὄργανον τοῦ θεοῦ· ὁ κύριος ἐλεεῖ, παιδεύει, προτρέπει, νουθετεῖ, σώζει, φυλάττει καὶ μισθὸν ἡμῖν τῆς μαθήσεως ἐκ περιουσίας, βασιλείαν οὐρανῶν, ἐπαγγέλλεται, τοῦτο μόνον ἀπολαύων ἡμῶν, ὃ σωζόμεθα. κακία μὲν γὰρ τὴν ἀνθρώπων ἐπιβόσκεται φθορὰν, ἡ δὲ ἀλήθεια, ὥσπερ ἡ μέλιττα, λυμαινομένη τῶν ὄντων οὐδὲν, ἐπὶ μόνης τῆς ἀνθρώπων ἀγάλλεται σωτηρίας. ἔχεις οὖν τὴν ἐπαγγελίαν, ἔχεις τὴν φιλανθρωπίαν, τῆς χάριτος μεταλάμβανε. καί μου τὸ ᾆσμα τὸ σωτήριον μὴ καινὸν οὕτως ὑπολάβῃς, ὡς σκεῦος ἢ ὡς οἰκίαν· „πρὸ ἑωσφόρου γὰρ ἦν"*), καὶ „ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος"**)· παλαιὰ δὲ ἡ πλάνη, καινὸν δὲ ἡ ἀλήθεια φαίνεται. εἴτ᾽ οὖν ἀρχαίους τοὺς Φρύγας διδάσκουσιν αἶγες μυθικαὶ, εἴτε αὖ τοὺς Ἀρκάδας οἱ προσελήνους ἀναγράφοντες ποιηταὶ, εἴτε μὴν αὖ τοὺς Αἰγυπτίους **P. 3** οἱ καὶ πρώτην ταύτην ἀναφῦναι τὴν γῆν θεούς τε **Sylb.** καὶ ἀνθρώπους ὀνειρώσσοντες· ἀλλ᾽ οὐ πρό γε τοῦ κόσμου τοῦδε τούτων οὐδὲ εἷς, πρὸ δὲ τῆς τοῦ κόσμου καταβολῆς ἡμεῖς, οἱ τῷ δεῖν ἔσεσθαι ἐν αὐτῷ πρότερον γεγεννημένοι τῷ θεῷ, τοῦ θεοῦ λόγου τὰ λογικὰ πλάσματα ἡμεῖς, δι᾽ ὃν ἀρχαΐζομεν, ὅτι „ἐν ἀρχῇ ὁ λόγος ἦν"***). ἀλλ᾽ ὅτι μὲν ἦν ὁ λόγος ἄνωθεν ἀρχὴ θεία

*) Psalm. 110, 3. **) Ioann. 1, 1. ***) l. l.

τῶν πάντων ἦν τε καὶ ἔστιν· ὅτι δὲ νῦν ὄνομα ἔλαβεν, τὸ πάλαι καθωσιωμένον, δυνάμεως ἄξιον, ὁ Χριστὸς, καινὸν ᾆσμά μοι κέκληται. P. 7 Pott.

§. 7. Οὗτος γοῦν ὁ λόγος, ὁ Χριστὸς, καὶ τοῦ εἶναι πάλαι ἡμᾶς, ἦν γὰρ ἐν θεῷ, καὶ τοῦ εὖ εἶναι, νῦν δὴ ἐπεφάνη ἀνθρώποις αὐτὸς οὗτος ὁ λόγος, ὁ μόνος ἄμφω, θεός τε καὶ ἄνθρωπος, ἁπάντων ἡμῖν αἴτιος ἀγαθῶν· παρ᾽ οὗ τὸ εὖ ζῆν ἐκδιδασκόμενοι εἰς ἀΐδιον ζωὴν παραπεμπόμεθα. κατὰ γὰρ τὸν θεσπέσιον ἐκεῖνον τοῦ κυρίου ἀπόστολον, „ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις ἐπεφάνη, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ" *). τοῦτό ἐστι τὸ ᾆσμα τὸ καινὸν, ἡ ἐπιφάνεια, ἡ νῦν ἐκλάμψασα ἐν ἡμῖν τοῦ ἐν ἀρχῇ ὄντος καὶ προόντος λόγου· ἐπεφάνη δὲ ἔναγχος ὁ προὼν σωτήρ· ἐπεφάνη ὁ ἐν τῷ ὄντι ὢν, ὅτι ὁ λόγος, ὃς ἦν πρὸς τὸν θεὸν, διδάσκαλος ἐπεφάνη, ᾧ τὰ πάντα δεδημιούργηται· λόγος ὁ καὶ τὸ ζῆν ἐν ἀρχῇ μετὰ τοῦ πλάσαι παρασχὼν, ὡς δημιουργὸς, τὸ εὖ ζῆν ἐδίδαξεν, ἐπιφανεὶς ὡς διδάσκαλος, ἵνα τὸ ἀεὶ ζῆν ὕστερον ὡς θεὸς χορηγήσῃ. ὁ δὲ, οὐ νῦν γε πρῶτον ᾤκτειρεν ἡμᾶς τῆς πλάνης, ἀλλ᾽ ἄνωθεν ἀρχῆθεν. νῦν δὲ ἤδη ἀπολλυμένους ἐπιφανεὶς περισέσωκεν. τὸ γὰρ πονηρὸν καὶ ἑρπυστικὸν θηρίον γοητεῦον καταδουλοῦται καὶ αἰκίζεται εἰς ἔτι νῦν τοὺς ἀνθρώπους, ἐμοὶ δοκεῖν, βαρβαρικῶς τιμωρούμενον, οἳ νεκροῖς τοὺς αἰχμαλώτους συνδεῖν λέγονται σώμασιν, ἔστ᾽ ἂν αὐτοῖς καὶ συσσαπῶσιν. ὁ γοῦν πονηρὸς οὑτοσὶ τύραννος καὶ δράκων, οὓς ἂν οἷός τε εἴη ἐκ γενετῆς σφετερίσασθαι λίθοις καὶ ξύλοις καὶ ἀγάλμασι καὶ τοιούτοις τισὶν

*) Tit. 2, 11—13.

εἰδώλοις προσφίγξας τῷ δεισιδαιμονίας ἀθλίῳ δεσμῷ. τοῦτο δὴ τὸ λεγόμενον· ζῶντας ἐπιφέρων συνέθαψεν αὐτοῖς, ἔστ' ἂν καὶ συμφθαρῶσιν. οὗ δὴ χάριν — εἷς γὰρ ὁ ἀπατεὼν ἄνωθεν μὲν τὴν Εὔαν, νῦν δὲ ἤδη καὶ τοὺς ἄλλους ἀνθρώπους εἰς θάνατον ὑποφέρων· εἷς καὶ αὐτὸς ἐπίκουρος καὶ βοηθὸς ἡμῖν ὁ κύριος, προμηνύων ἀρχῆθεν προφητικῶς· νῦν δὲ ἤδη καὶ ἐναργῶς εἰς σωτηρίαν παρακαλῶν.

§. 8. Φύγωμεν οὖν ἀποστολικῇ πειθόμενοι παραγγελίᾳ „τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας" *)· καὶ τῷ σωτῆρι τῷ κυρίῳ προσδράμωμεν, ὃς καὶ νῦν καὶ ἀεὶ προὔτρεπεν εἰς σωτηρίαν, διὰ τεράτων καὶ σημείων ἐν Αἰγύπτῳ καὶ ἐν ἐρήμῳ, διά P. 8 Pott. τε τῆς βάτου καὶ τῆς ἀκολουθούσης χάριτι φιλανθρωπίας θεραπαίνης δίκην Ἑβραίοις νεφέλης. τούτῳ μὲν δὴ τῷ φόβῳ τοὺς σκληροκαρδίους προὔτρεπεν· ἤδη δὲ καὶ διὰ Μωϋσέως τοῦ πανσόφου καὶ τοῦ φιλαλήθους Ἡσαΐου καὶ παντὸς τοῦ προφητικοῦ χοροῦ λογικώτερον ἐπὶ τὸν λόγον ἐπιστρέφει τοὺς τὰ ὦτα κεκτημένους· καὶ ἔσθ' ὅπῃ μὲν λοιδορεῖται· ἔστιν δ' οὗ καὶ ἀπειλεῖ· τοὺς δὲ καὶ θρηνεῖ τῶν ἀνθρώπων· ᾄδει δὲ ἄλλοις, καθάπερ ἰατρὸς ἀγαθὸς τῶν νοσούντων σωμάτων τὰ μὲν καταπλάττων, τὰ δὲ καταλεαίνων, τὰ δὲ καταντλῶν, τὰ δὲ καὶ σιδήρῳ διαιρῶν, ἐπικαίων δὲ ἄλλα, ἔστι δ' οὗ καὶ ἀποπρίων, εἴ πως οἷόν τε κἂν παρὰ μέρος ἢ μέλος τὸν ἄνθρωπον ὑγιᾶναι· πολύφωνός γε ὁ σωτὴρ καὶ πολύτροπος εἰς ἀνθρώπων σωτηρίαν, ἀπειλῶν νουθετεῖ, λοιδορούμενος ἐπιστρέφει, θρηνῶν ἐλεεῖ, ψάλλων παρακαλεῖ, διὰ βάτου λαλεῖ, ὅτι σημείων ἐκεῖνοι καὶ τεράτων ἔχρῃζον, καὶ τῷ πυρὶ δεδίττεται τοὺς ἀνθρώπους, ἀνάπτων ἐκ κίονος τὴν φλόγα, δεῖγμα ὁμοῦ χάριτος καὶ φόβου, ἐὰν ὑπακούσῃς, τὸ φῶς, ἐὰν παρακούσῃς, τὸ

*) Ephes. 2, 2.

πῦρ. ἐπειδὴ δὲ καὶ κίονος καὶ βάτου ἡ σὰρξ τιμιωτέρα, προφῆται μετ᾽ ἐκεῖνα φθέγγονται, αὐτὸς ἐν Ἡσαΐᾳ ὁ κύριος λαλῶν, αὐτὸς ἐν Ἡλίᾳ, ἐν στόματι προφητῶν αὐτός· σὺ δὲ ἀλλ᾽ εἰ προφήταις μὴ πιστεύεις, μῦθον δὲ ὑπολαμβάνεις καὶ τοὺς ἄνδρας καὶ τὸ πῦρ, αὐτός σοι λαλήσει ὁ κύριος, „ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· ἐκένωσε δὲ ἑαυτὸν" *) ὁ φιλοικτίρμων θεὸς, σῶσαι τὸν ἄνθρωπον γλιχόμενος· καὶ αὐτὸς ἤδη σοὶ ἐναργῶς ὁ λόγος λαλεῖ, δυσωπῶν τὴν ἀπιστίαν. ναί φημι ὁ λόγος ὁ τοῦ θεοῦ ἄνθρωπος γενόμενος, ἵνα δὴ καὶ σὺ παρὰ ἀνθρώπου μάθῃς, πῇ ποτε ἄρα ἄνθρωπος γένηται θεός.

§. 9. Εἶτ᾽ οὐκ ἄτοπον, ὦ φίλοι, τὸν μὲν θεὸν ἀεὶ προτρέπειν ἡμᾶς ἐπ᾽ ἀρετήν· ἡμᾶς δὲ ἀναδύεσθαι τὴν ὠφέλειαν καὶ ἀναβάλλεσθαι τὴν σωτηρίαν; ἢ γὰρ οὐχὶ καὶ Ἰωάννης ἐπὶ σωτηρίαν παρακαλεῖ καὶ τὸ πᾶν γίνεται φωνὴ προτρεπτική; πυθώμεθα τοίνυν αὐτοῦ, τίς πόθεν εἶς ἀνδρῶν **); Ἠλίας μὲν οὐκ ἐρεῖ, Χριστὸς δὲ εἶναι ἀρνήσεται· φωνὴ δὲ ὁμολογήσει ἐν ἐρήμῳ βοῶσα ***). τίς οὖν ἐστιν Ἰωάννης; ὡς τύπῳ λαβεῖν, ἐξέστω εἰπεῖν, φωνὴ τοῦ λόγου προτρεπτικὴ ἐν ἐρήμῳ βοῶσα. τί βοᾷς, ὦ φωνή; εἰπὲ καὶ ἡμῖν. „Εὐθείας ποιεῖτε τὰς ὁδοὺς κυρίου" †). P. 4 Sylb. πρόδρομος Ἰωάννης καὶ ἡ φωνὴ πρόδρομος τοῦ λόγου, φωνὴ παρακλητική, προετοιμάζουσα εἰς σωτηρίαν, φωνὴ προτρέπουσα εἰς κληρονομίαν οὐρανῶν· P. 9 Pott. δι᾽ ἣν ἡ στεῖρα καὶ ἔρημος ἄγονος οὐκέτι. ταύτην μοι τὴν κυοφορίαν προεθέσπισεν ἀγγέλου φωνή· πρόδρομος ἦν κἀκείνη τοῦ κυρίου, στεῖραν εὐαγγελιζομένη γυναῖκα, ὡς Ἰωάννης τὴν ἔρημον. διὰ ταύτην τοίνυν τοῦ λόγου τὴν φωνὴν ἡ στεῖρα εὐτεκνεῖ καὶ ἡ ἔρημος καρποφορεῖ. αἱ πρόδρομοι τοῦ κυρίου φω-

---

*) Philipp. 3, 6 sq. **) Hom. Odyss. τ, 105. ***) Ioann. 1, 23. †) Iesai. 40, 3.

ναὶ δύο, ἀγγέλου καὶ Ἰωάννου, αἰνίττονταί μοι τὴν ἐναποκειμένην σωτηρίαν, ὡς ἐπιφανέντος τοῦ λόγου τοῦδε εὐτεκνίας ἡμᾶς καρπὸν ἀπενέγκασθαι, ζωὴν ἀΐδιον. ἄμφω γοῦν ἐς ταὐτὸν ἀγαγοῦσα τὰ φωνὰ ἡ γραφὴ σαφηνίζει τὸ πᾶν· „ἀκουσάτω ἡ οὐ τίκτουσα· ῥηξάτω φωνὴν ἡ οὐκ ὠδίνουσα, ὅτι πλείονα τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα·“ *) ἄνδρα ἡμῖν εὐηγγελίζετο ἄγγελος, ἡμᾶς προὔτρεπεν Ἰωάννης νοῆσαι τὸν γεωργὸν, ζητῆσαι τὸν ἄνδρα. εἷς γὰρ καὶ ὁ αὐτὸς οὗτος, ὁ τῆς στείρας ἀνὴρ, ὁ τῆς ἐρήμου γεωργὸς, ὁ τῆς θείας ἐμπλήσας δυνάμεως καὶ τὴν στεῖραν καὶ τὴν ἔρημον. ἐπεὶ γὰρ πολλὰ τὰ τέκνα τῆς εὐγενοῦς, ἄπαις δὲ ἦν δι' ἀπείθειαν, ἡ πολύπαις ἀνέκαθεν Ἑβραία γυνή· ἡ στεῖρα τὸν ἄνδρα λαμβάνει καὶ ἡ ἔρημος τὸν γεωργόν· εἶτα ἡ μὲν καρπῶν, ἡ δὲ πιστῶν, ἄμφω δὲ μητέρες διὰ τὸν λόγον· ἀπίστοις δὲ εἰς ἔτι νῦν καὶ στεῖρα καὶ ἔρημος περιλείπεται.

§. 10. Ὁ μὲν Ἰωάννης, ὁ κῆρυξ τοῦ λόγου, ταύτῃ πῃ παρεκάλει **) ἑτοίμους γίνεσθαι εἰς θεοῦ τοῦ Χριστοῦ παρουσίαν, καὶ τοῦτο ἦν, ὃ ᾐνίττετο ἡ Ζαχαρίου σιωπὴ, ἀναμένουσα τὸν πρόδρομον τοῦ Χριστοῦ καρπὸν, ἵνα τῆς ἀληθείας τὸ φῶς, ὁ λόγος τῶν προφητικῶν αἰνιγμάτων, τὴν μυστικὴν ἀπολύσηται σιωπὴν, εὐαγγέλιον γενόμενος. σὺ δὲ εἰ ποθεῖς ἰδεῖν ὡς ἀληθῶς τὸν θεὸν, καθαρσίων μεταλάμβανε θεοπρεπῶν, οὐ δάφνης πετάλων καὶ ταινιῶν τινῶν ἐρίῳ καὶ πορφύρᾳ πεποικιλμένων· δικαιοσύνην δὲ ἀναδησάμενος καὶ τῆς ἐγκρατείας τὰ πέταλα περιθέμενος πολυπραγμόνει Χριστόν· „ἐγὼ γάρ εἰμι ἡ θύρα“ ***), φησί που· ἣν ἐκμαθεῖν δεῖ νοῆσαι θελήσασι τὸν θεὸν, ὅπως ἡμῖν ἀθρόας τῶν οὐρανῶν ἀναπετάσῃ πύλας· λογικαὶ γὰρ αἱ τοῦ λόγου πύλαι, πίστεως ἀνοιγνύ-

*) Iesai. 54, 1. **) Matth. 3, 3. ***) Ioann. 10, 9.

μεναι κλειδί· „θεὸν οὐδεὶς ἔγνω, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ·" *) θύραν δὲ εὖ οἶδ' ὅτι P. 10 τὴν ἀποκεκλεισμένην τέως ὁ ἀνοιγνὺς, ὕστερον ἀπο- Pott. καλύπτει τἄνδον καὶ δείκνυσιν ἃ μηδὲ γνῶναι οἷόν τε ἦν πρότερον, εἰ μὴ διὰ Χριστοῦ πεπορευμένοις, δι' οὗ μόνου θεὸς ἐποπτεύεται.

Cap. II.

§. 11. Ἄδυτα τοίνυν ἄθεα μὴ πολυπραγμονεῖτε μηδὲ βαράθρων στόματα, τερατείας ἔμπλεα ἢ λέβητα Θεσπρωταῖον ἢ τρίποδα Κιρραῖον ἢ Δωδωναῖον χαλκεῖον· γεράνδρυον δὲ ψάμμοις ἐρήμαις τετιμημένον καὶ τὸ αὐτόθι μαντεῖον αὐτῇ δρυῒ μεμαρασμένον μύθοις γεγηρακόσι καταλείψατε. σεσίγηται γοῦν ἡ Κασταλίας πηγὴ καὶ Κολοφῶνος ἄλλη πηγὴ καὶ τὰ ἄλλα ὁμοίως τέθνηκε νάματα μαντικά· καὶ δὴ τοῦ τύφου κενὰ ὀψὲ μὲν, ὅμως δ' οὖν διελήλεγκται τοῖς ἰδίοις συνεκρεύσαντα μύθοις. διήγησαι ἡμῖν καὶ τῆς ἄλλης μαντικῆς, μᾶλλον δὲ μανικῆς, τὰ ἄχρηστα χρηστήρια· τὸν Κλάριον, τὸν Πύθιον, τὸν Διδυμέα, τὸν Ἀμφιάρεω, τὸν Ἀπόλλω, τὸν Ἀμφίλοχον· εἰ δὲ βούλει, καὶ τερασκόπους καὶ οἰωνοσκόπους καὶ τοὺς ὀνείρων κριτὰς ἀνιέρου σὺν αὐτοῖς· στῆσον δὲ ὁμοῦ παρὰ τὸν Πύθιον τοὺς ἀλευρο- P. 11 μάντεις ἄγων καὶ κριθομάντεις καὶ τοὺς εἰσέτι παρὰ Pott. τοῖς πολλοῖς τετιμημένους ἐγγαστριμύθους· καὶ μὴν ἄδυτα Αἰγυπτίων καὶ Τυρρηνῶν νεκυομαντεῖαι σκότῳ παραδιδόσθων. μανικὰ ταῦτα ὡς ἀληθῶς ἀνθρώπων ἀπίστων σοφιστήρια καὶ πλάνης ἀκράτου κυβευτήρια· συνέμποροι τῆσδε τῆς γοητείας αἶγες, αἱ ἐπὶ μαντικὴν ἠσκημέναι καὶ κόρακες ἀνθρώποις χρᾶν ὑπὸ ἀνθρώπων διδασκόμενοι.

*) Matth. 11, 27.

§. 12. *Τί δ' εἴ σοι καταλέγοιμι τὰ μυστήρια; οὐκ ἐξορχήσομαι μὲν, ὥσπερ Ἀλκιβιάδην λέγουσιν, ἀπογυμνώσω δὲ εὖ μάλα ἀνὰ τὸν τῆς ἀληθείας λόγον τὴν γοητείαν τὴν ἐγκεκρυμμένην αὐτοῖς καὶ αὐτούς γε τοὺς καλουμένους ὑμῶν θεοὺς, ὧν αἱ τελεταὶ μυστικαὶ, οἷον ἐπὶ σκηνῆς τοῦ βίου τοῖς τῆς ἀληθείας ἐκκυκλήσω θεαταῖς. Διόνυσον μαινόλην ὀργιάζουσι Βάκχοι ὠμοφαγίᾳ τὴν ἱερομανίαν ἄγοντες καὶ τελίσκουσι τὰς κρεανομίας τῶν φόνων, ἀνεστεμμένοι τοῖς ὄφεσιν, ἐπολολύζοντες Εὐάν· Εὔαν ἐκείνην, δι' ἣν ἡ πλάνη παρηκολούθησε. καὶ σημεῖον ὀργίων βακχικῶν ὄφις ἐστὶ τετελεσμένος. αὐτίκα γοῦν κατὰ τὴν ἀκριβῆ τῶν Ἑβραίων φωνὴν τὸ ὄνομα τὸ Εὔϊα δασυνόμενον ἑρμηνεύεται ὄφις ἡ θήλεια. Δηὼ* [P. 12 Pott.] *δὲ καὶ Κόρη δρᾶμα ἤδη ἐγενέσθην μυστικόν· καὶ τὴν πλάνην καὶ τὴν ἁρπαγὴν καὶ τὸ πένθος αὐταῖν Ἐλευσὶς δᾳδουχεῖ.*

§. 13. *Καί μοι δοκεῖ τὰ ὄργια καὶ τὰ μυστήρια δεῖν ἐτυμολογεῖν, τὰ μὲν ἀπὸ τῆς ὀργῆς τῆς Δηοῦς, τῆς πρὸς Δία γεγενημένης, τὰ δὲ ἀπὸ τοῦ μύσους τοῦ συμβεβηκότος περὶ τὸν Διόνυσον· εἰ δὲ καὶ ἀπὸ Μυοῦντός τινος Ἀττικοῦ, ὃν ἐν κυνηγίῳ διαφθαρῆναι Ἀπολλόδωρος λέγει, οὐ φθόνος ὑμῶν δεδοξάσθαι τὰ μυστήρια ἐπιτυμβίῳ τιμῇ. πάρεστι δὲ καὶ ἄλλως μυθήριά σοι νοεῖν, ἀντιστοιχούντων τῶν γραμμάτων, τὰ μυστήρια· θηρεύουσι γὰρ εἰ καὶ ἄλλοι τινὲς, ἀτὰρ δὴ καὶ οἱ μῦθοι οἱ τοιοίδε Θρᾳκῶν τοὺς βαρβαρικωτάτους,* [P. 5 Sylb.] *Φρυγῶν τοὺς ἀνοητοτάτους, Ἑλλήνων τοὺς δεισιδαίμονας. ὄλοιτο οὖν ὁ τῆσδε ἄρξας τῆς ἀπάτης ἀνθρώποις, εἴτε ὁ Δάρδανος, ὁ μητρὸς θεῶν καταδείξας τὰ μυστήρια, εἴτε Ἠετίων, ὁ τὰ Σαμοθρᾳκῶν ὄργια καὶ τελετὰς ὑποστησάμενος, εἴτε ὁ Φρὺξ ἐκεῖνος ὁ Μίδας, ὁ παρὰ τοῦ Ὀδρύσου μαθὼν, ἔπειτα διαδοὺς τοῖς ὑποτεταγμένοις ἔντεχνον ἀπάτην· οὐ γάρ με ὁ Κύπριος ὁ νησιώτης Κινύρας παραπείσαι πότ' ἂν, τὰ περὶ τὴν Ἀφροδίτην μαχλῶντα*

ὄργια ἐκ νυκτὸς ἡμέρᾳ παραδοῦναι τολμήσας, φιλοτιμούμενος θειάσαι πόρνην πολῖτιδα. Μελάμποδα δὲ τὸν Ἀμυθάονος ἄλλοι φασὶν ἐξ Αἰγύπτου μετακομίσαι τῇ Ἑλλάδι τὰς Δηοῦς ἑορτὰς, πένθος ὑμνούμενον· τούτους ἔγωγ' ἂν ἀρχεκάκους φήσαιμι μύθων P. 13 Pott. ἀθέων καὶ δεισιδαιμονίας ὀλεθρίου πατέρας, σπέρμα κακίας καὶ φθορᾶς ἐγκαταφυτεύσαντας τῷ βίῳ τὰ μυστήρια.

§. 14. Ἤδη δὲ, καὶ γὰρ καιρὸς, αὐτὰ ὑμῶν τὰ ὄργια ἐξελέγξω, ἀπάτης καὶ τερατείας ἔμπλεα. καὶ εἰ μεμύησθε, ἐπιγελάσεσθε μᾶλλον τοῖς μύθοις ὑμῶν τούτοις τοῖς τιμωμένοις. ἀγορεύω δὲ ἀναφανδὸν τὰ κεκρυμμένα, οὐκ αἰδούμενος λέγειν, ἃ προσκυνεῖν οὐκ αἰσχύνεσθε. ἡ μὲν οὖν ἀφρογενής τε καὶ κυπρογενὴς, ἡ Κινύρα φίλη, τὴν Ἀφροδίτην λέγω, τὴν φιλομηδέα, ὅτι μηδέων ἐξεφαάνθη*), μηδέων ἐκείνων τῶν ἀποκεκομμένων οὐρανοῦ, τῶν λάγνων, τῶν μετὰ τὴν τομὴν τὸ κῦμα βεβιασμένων· ὡς ἀσελγῶν ὑμῖν μορίων ἄξιος Ἀφροδίτη γίνεται καρπός. ἐν ταῖς τελεταῖς ταύτης τῆς πελαγίας ἡδονῆς τεκμήριον τῆς γονῆς ἁλῶν χόνδρος καὶ φαλλὸς τοῖς μυουμένοις τὴν τέχνην τὴν μοιχικὴν ἐπιδίδοται· νόμισμα δὲ εἰσφέρουσιν αὐτῇ οἱ μυούμενοι, ὡς ἑταίρας ἐρασταί.

§. 15. Δηοῦς δὲ μυστήρια καὶ Διὸς πρὸς μητέρα Δήμητραν ἀφροδίσιοι συμπλοκαὶ καὶ μῆνις, οὐκ οἶδ' ὅτι φῶ λοιπὸν, μητρὸς ἢ γυναικὸς, τῆς Δηοῦς, ἧς δὴ χάριν Βριμὼ προσαγορευθῆναι λέγεται, ἱκετηρίαι Διὸς καὶ πόμα χολῆς καὶ καρδιουλκίαι καὶ ἀρρητουργίαι· ταῦτα οἱ Φρύγες τελίσκουσιν Ἄττιδι καὶ Κυβέλῃ καὶ Κορύβασιν. τεθρυλήκασιν δὲ, ὡς ἄρα ἀποσπάσας ὁ Ζεὺς τοῦ κριοῦ τοὺς διδύμους, φέρων ἐν μέσοις ἔρριψε τοῖς κόλποις τῆς Δηοῦς, τιμωρίαν ψευδῆ τῆς βιαίας συμπλοκῆς ἐκτιννύων, ὡς ἑαυτὸν δῆθεν ἐκτεμών. τὰ σύμβολα τῆς μυήσεως ταύτης ἐκ

*) Hesiod. Theog. 200.

περιουσίας παρατεθέντα, οἶδ᾽ ὅτι κινήσει γέλωτα,
κἂν μὴ γελασείουσιν ὑμῖν διὰ τοὺς ἐλέγχους· ἐκ P. 14
τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον· ἐκερνοφό- Pott.
ρησα· ὑπὸ τὸν παστὸν ὑπέδυνον. ταῦτα οὐχ ὕβρις
τὰ σύμβολα; οὐ χλεύη τὰ μυστήρια;

§. 16. Τί δ᾽ εἰ καὶ τὰ ἐπίλοιπα προσθείην; κύει μὲν ἡ Δημήτηρ· ἀνατρέφεται δὲ ἡ Κόρη· μίγνυται δ᾽ αὖθις ὁ γεννήσας οὑτοσὶ Ζεὺς τῇ Φερεφάττῃ, τῇ ἰδίᾳ θυγατρὶ, μετὰ τὴν μητέρα τὴν Δηώ, ἐκλαθόμενος τοῦ προτέρου μύσους· πατὴρ καὶ φθορεὺς κόρης ὁ Ζεὺς καὶ μίγνυται δράκων γενόμενος, ὃς ἦν, ἐλεγχθείς. Σαβαζίων γοῦν μυστηρίων σύμβολον τοῖς μυουμένοις ὁ διὰ κόλπου θεός· δράκων δέ ἐστιν οὗτος, διελκόμενος τοῦ κόλπου τῶν τελουμένων, ἔλεγχος ἀκρασίας Διός. κύει καὶ ἡ Φερεφάττα παῖδα ταυρόμορφον· ἀμέλει, φησί τις ποιητὴς εἰδωλικὸς, ταῦρος [πατὴρ] δράκοντος καὶ πατὴρ ταύρου δράκων ἐν ὄρει τὸ κρύφιον βουκόλος τὸ κέντρον, βουκολικὸν οἶμαι τὸ κέντρον τὸν νάρθηκα ἐπικαλῶν, ὃν δὴ [κάλον] ἀναστρέφουσιν οἱ βάκχοι.

§. 17. Βούλει καὶ τὰ Φερεφάττης ἀνθολόγια
διηγήσωμαί σοι καὶ τὸν κάλαθον καὶ τὴν ἁρπαγὴν
τὴν ὑπὸ Ἀϊδωνέως καὶ τὸ σχίσμα τῆς γῆς καὶ τὰς
ὗς τὰς Εὐβουλέως τὰς συγκαταποθείσας ταῖν θεαῖν·
δι᾽ ἣν αἰτίαν ἐν τοῖς θεσμοφορίοις μεγαρίζοντες χοί-
ρους ἐκβάλλουσιν; ταύτην τὴν μυθολογίαν αἱ γυναῖ-
κες ποικίλως κατὰ πόλιν ἑορτάζουσιν, θεσμοφόρια,
σκιροφόρια, ἀρρητοφόρια, πολυτρόπως τὴν Φερε- P. 15
φάττης ἐκτραγῳδοῦσαι ἁρπαγήν. τὰ γὰρ Διονύ- Pott.
σου μυστήρια τέλεον ἀπάνθρωπα· ὃν εἰσέτι παῖδα
ὄντα ἐνόπλῳ κινήσει περιχορευόντων Κουρήτων, δό-
λῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώ-
δεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ἔτι
νηπίαχον ὄντα, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς
φησιν ὁ Θρᾴκιος·

κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια,
μῆλά τε χρύσεα καλὰ παρ' Ἑσπερίδων λιγυφώνων.

§. 18. Καὶ τῆσδε ὑμῖν τῆς τελετῆς τὰ ἀχρεῖα σύμβολα οὐκ ἀχρεῖον εἰς κατάγνωσιν παραθέσθαι· ἀστράγαλος, σφαῖρα, στρόβιλος, μῆλα, ῥόμβος, ἔσοπτρον, πόκος. Ἀθηνᾶ μὲν οὖν τὴν καρδίαν τοῦ Διονύσου ὑφελομένη, Παλλὰς ἐκ τοῦ πάλλειν τὴν καρδίαν προσηγορεύθη· οἱ δὲ Τιτᾶνες, οἱ καὶ διασπάσαντες αὐτὸν, λέβητά τινα τρίποδι ἐπιθέντες καὶ τοῦ Διονύσου ἐμβαλόντες τὰ μέλη, καθήψουν πρότερον· ἔπειτα ὀβελίσκοις περιπείραντες ὑπείρεχον Ἡφαίστοιο*). Ζεὺς δὲ ὕστερον ἐπιφανεὶς, εἰ θεὸς ἦν, τάχα που τῆς κνίσης τῶν ὀπτωμένων κρεῶν μεταλαβὼν, ἧς δὴ τὸ γέρας λαχεῖν **) ὁμολογοῦσιν ὑμῶν οἱ θεοὶ, κεραυνῷ τοὺς Τιτᾶνας αἰκίζεται καὶ τὰ μέλη τοῦ Διονύσου Ἀπόλλωνι τῷ παιδὶ παρακατατίθεται καταθάψαι. ὁ δὲ, οὐ γὰρ ἠπείθησε Διὶ, εἰς τὸν Παρνασ-
P. 6 σὸν φέρων κατατίθεται διεσπασμένον τὸν νεκρόν.

Sylb. §. 19. Εἰ θέλεις δ' ἐποπτεῦσαι καὶ τὰ Κορυβάν-
των ὄργια, τὸν τρίτον ἀδελφὸν ἀποκτείναντες οὗ- P. 16
τοι, τὴν κεφαλὴν τοῦ νεκροῦ φοινικίδι ἐπεκαλυψά- Pott.
την καὶ καταστέψαντε ἐθαψάτην, φέροντες ἐπὶ χαλκῆς ἀσπίδος ὑπὸ τὰς ὑπωρείας τοῦ Ὀλύμπου. καὶ ταῦτ' ἔστι τὰ μυστήρια, συνελόντι φάναι, φόνοι καὶ τάφοι· οἱ δὲ ἱερεῖς οἱ τῶνδε, οὓς ἀνακτοτελέστας, οἷς μέλον καλεῖν, καλοῦσι, προσεπιτερατεύονται τῇ συμφορᾷ, ὁλόριζον ἀπαγορεύοντες σέλινον ἐπὶ τραπέζης τιθέναι· οἴονται γὰρ δὴ ἐκ τοῦ αἵματος τοῦ ἀπορρυέντος τοῦ Κορυβαντικοῦ τὸ σέλινον ἐκπεφυκέναι· ὥσπερ ἀμέλει καὶ αἱ θεσμοφοριάζουσαι τῆς ῥοιᾶς τοὺς κόκκους παραφυλάττουσιν ἐσθίειν· τοὺς ἀποπεπτωκότας χαμαὶ ἐκ τῶν τοῦ Διονύσου αἵματος σταγόνων βεβλαστηκέναι νομίζουσι τὰς ῥοιάς. Καβείρους δὲ τοὺς Κορύβαντας καλοῦντες καὶ τελετὴν Καβειρικὴν

---

*) Cf. Homer. Iliad. β. 426 sqq. **) Cf. Ibid. δ. 49.

καταγγέλλουσιν· αὐτὼ γὰρ δὴ τούτω τὼ ἀδελφοκτόνω, τὴν κίστην ἀνελομένω, ἐν ᾗ τὸ τοῦ Διονύσου αἰδοῖον ἀπέκειτο, εἰς Τυρρηνίαν κατήγαγον, εὐκλεοῦς ἔμποροι φορτίου· κἀνταῦθα διετριβέτην, φυγάδε ὄντε, τὴν πολυτίμητον εὐσεβείας διδασκαλίαν, αἰδοῖα καὶ κίστην, θρησκεύειν παραθεμένω Τυρρηνοῖς. δι' ἣν αἰτίαν οὐκ ἀπεικότως τὸν Διόνυσόν τινες Ἄττιν προσαγορεύεσθαι θέλουσιν, αἰδοίων ἐστερημένον.

§. 20. Καὶ τί θαυμαστὸν εἰ Τυρρηνοὶ οἱ βάρβαροι αἰσχροῖς οὕτω τελίσκονται παθήμασιν, ὅπου γε Ἀθηναίοις καὶ τῇ ἄλλῃ Ἑλλάδι, αἰδοῦμαι καὶ λέγειν, αἰσχύνης ἔμπλεως ἡ περὶ τὴν Δηὼ μυθολογία; ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν τῆς θυγατρὸς τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα — τῆς Ἀττικῆς δέ ἐστι τοῦτο τὸ χωρίον — ἀποκάμνει καὶ φρέατι ἐπικαθίζει λυπουμένη. τοῦτο τοῖς μυουμένοις ἀπαγορεύεται εἰς ἔτι νῦν, ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην. ᾤκουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· P. 17 Pott. ὀνόματα αὐτοῖς Βαυβὼ καὶ Δυσαύλης καὶ Τριπτόλεμος, ἔτι δὲ Εὔμολπός τε καὶ Εὐβουλεύς· βουκόλος ὁ Τριπτόλεμος ἦν, ποιμὴν δὲ ὁ Εὔμολπος, συβώτης δὲ ὁ Εὐβουλεύς· ἀφ' ὧν τὸ Εὐμολπιδῶν καὶ τὸ κηρύκων τὸ ἱεροφαντικὸν δὴ τοῦτο Ἀθήνησι γένος ἤνθησεν. καὶ δὴ — οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν — ξενίσασα ἡ Βαυβὼ τὴν Δηώ, ὀρέγει κυκεῶνα αὐτῇ. τῆς δὲ ἀναινομένης λαβεῖν καὶ πιεῖν οὐκ ἐθελούσης — πενθήρης γὰρ ἦν — περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα καὶ ἐπιδεικνύει τῇ θεᾷ. ἡ δὲ τέρπεται τῇ ὄψει ἡ Δηὼ καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῷ θεάματι.

§. 21. Ταῦτ' ἔστι τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια. ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. παραθήσομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη, ἵν' ἔχῃς μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν·

ὣς εἰποῦσα πέπλους ἀνεσύρατο, δεῖξε δὲ πάντα
σώματος οὐδὲ πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος,

χειρί τέ μιν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις· P. 18
ἡ δ' ἐπεὶ οὖν ἐνόησε θεὰ, μείδησ' ἐνὶ θυμῷ, Pott.
δέξατο δ' αἰόλον ἄγγος, ἐν ᾧ κυκεὼν ἐνέκειτο.

Κἄστι τὸ σύνθημα Ἐλευσινίων μυστηρίων· ἐνήστευσα, ἔπιον τὸν κυκεῶνα, ἔλαβον ἐκ κίστης, ἐγγευσάμενος ἀπεθέμην εἰς κάλαθον καὶ ἐκ καλάθου εἰς κίστην. καλά γε τὰ θεάματα καὶ θεᾷ πρέποντα.

§. 22. Ἄξια μὲν οὖν νυκτὸς τὰ τελέσματα καὶ πυρὸς καὶ τοῦ μεγαλήτορος, μᾶλλον δὲ ματαιόφρονος Ἐρεχθειδῶν δήμου· πρὸς δὲ καὶ τῶν ἄλλων Ἑλλήνων, οὕστινας μένει τελευτήσαντας, ἅσσα οὐδὲ ἔλπονται. τίσι δὴ μαντεύεται Ἡράκλειτος ὁ P. 19 Pott. Ἐφέσιος; νυκτιπόλοις, μάγοις, βάκχοις, λήναις, μύσταις· τούτοις ἀπειλεῖ τὰ μετὰ θάνατον, τούτοις μαντεύεται τὸ πῦρ· τὰ γὰρ νομιζόμενα κατ' ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυοῦνται. νόμος οὖν καὶ ὑπόληψις κενὴ καὶ τοῦ δράκοντος τὰ μυστήρια ἀπάτη τίς ἐστι, θρησκευομένη τὰς ἀμυήτους ὄντως μυήσεις καὶ τὰς ἀνοργιάστους τελετὰς εὐσεβείᾳ νόθῳ προστρεπομένων. οἷαι δὲ καὶ αἱ κίσται αἱ μυστικαί· δεῖ γὰρ ἀπογυμνῶσαι τὰ ἅγια αὐτῶν καὶ τὰ ἄρρητα ἐξειπεῖν· οὐ σησαμαῖ ταῦτα καὶ πυραμίδες καὶ τολύπαι καὶ πόπανα πολυόμφαλα, χόνδροι τε ἁλῶν καὶ δράκων, ὄργιον Διονύσου Βασσάρου; οὐχὶ δὲ ῥοιαὶ πρὸς τοῖσδε καὶ κραδίαι, νάρθηκές τε καὶ κιττοί; πρὸς δὲ καὶ φθοῖς καὶ μήκωνες; ταῦτ' ἔστιν αὐτῶν τὰ ἅγια· καὶ προσέτι τῆς Θέμιδος τὰ ἀπόρρητα σύμβολα, ὀρίγανον, λύχνος, ξίφος, κτεὶς γυναικεῖος, ὅ ἐστιν, εὐφήμως καὶ μυστικῶς εἰπεῖν, μόριον γυναικεῖον. ὢ τῆς ἐμφανοῦς ἀναισχυντίας. πάλαι μὲν ἀνθρώποις σωφρονοῦσιν ἐπικάλυμμα ἡδονῆς νὺξ ἦν σιωπωμένη· νυνὶ δὲ τοῖς μυουμένοις ἡ ἱερὰ τῆς ἀκρασίας νὺξ ἐστι λαλουμένη, καὶ τὸ πῦρ ἐλέγχει τὰ πάθη δᾳδουχούμενον. ἀπόσβεσον, ὦ ἱεροφάντα, τὸ πῦρ· αἰδέσθητι, δᾳδοῦχε, τὰς λαμπάδας· ἐλέγχει σοῦ τὸν Ἴακχον τὸ φῶς· ἐπίτρεψον ἐπικρύψαι τῇ νυκτὶ τὰ μυστήρια· σκότει

τετιμήσθω τὰ ὄργια· τὸ πῦρ οὐχ ὑποκρίνεται ἐλέγχειν καὶ κολάζειν ἃ κελεύεται.

§. 23. Ταῦτα τῶν ἀθέων τὰ μυστήρια· ἀθέους P. 7 Sylb. δὲ εἰκότως ἀποκαλῶ τούτους, οἳ τὸν μὲν ὄντως ὄντα θεὸν ἠγνοήκασιν, παιδίον δὲ ὑπὸ Τιτάνων διασπώμενον καὶ γύναιον πενθοῦν καὶ μόρια ἄρρητα ὡς ἀληθῶς ὑπ᾽ αἰσχύνης ἀναισχύντως σέβουσιν· P. 20 Pott. διττῇ ἐνεσχημένοι τῇ ἀθεότητι· προτέρᾳ μὲν, καθ᾽ ἣν ἀγνοοῦσι τὸν θεὸν, τὸν ὄντως ὄντα μὴ γνωρίζοντες θεὸν, ἑτέρᾳ δὲ καὶ δευτέρᾳ δὴ ταύτῃ, πλάνῃ τοὺς οὐκ ὄντας ὡς ὄντας νομίζοντες καὶ θεοὺς τούτους ὀνομάζοντες τοὺς οὐκ ὄντως ὄντας· μᾶλλον δὲ οὐδὲ ὄντας, μόνου δὲ τοῦ ὀνόματος τετυχηκότας. διὰ τοῦτό τοι καὶ ὁ ἀπόστολος διελέγχει ἡμᾶς· „καὶ ἦτε ξένοι", λέγων, „διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ." *)

§. 24. Πολλὰ κἀγαθὰ γένοιτο τῷ τῶν Σκυθῶν βασιλεῖ, ὅστις ποτὲ ἦν Ἀνάχαρσις. οὗτος τὸν πολίτην τὸν ἑαυτοῦ, τὴν παρὰ Κυζικηνοῖς μητρὸς τῶν θεῶν τελετὴν ἀπομιμούμενον παρὰ Σκύθαις, τύμπανόν τε ἐπικτυποῦντα καὶ κύμβαλον ἐπηχοῦντα οἷα τοῦ τραχήλου τινὰ Μηναγύρτην ἐξηρτημένον κατετόξευσεν, ὡς ἄνανδρον αὐτόν τε παρὰ Ἕλλησι γεγενημένον καὶ τῆς θηλείας τοῖς ἄλλοις Σκυθῶν διδάσκαλον νόσου. ὧν δὴ χάριν — οὐ γὰρ οὐδαμῶς ἀποκρυπτέον — θαυμάζειν ἔπεισί μοι, ὅτῳ τρόπῳ Εὐήμερον τὸν Ἀκραγαντῖνον καὶ Νικάνορα τὸν Κύπριον καὶ Διαγόραν καὶ Ἵππωνα τὸν Μήλιον, τόν τε Κυρηναῖον ἐπὶ τούτοις ἐκεῖνον — ὁ Θεόδωρος ὄνομα αὐτῷ — καί τινας P. 21 Pott. ἄλλους συχνοὺς, σωφρόνως βεβιωκότας καὶ καθεωρακότας ὀξύτερόν που τῶν λοιπῶν ἀνθρώπων τὴν ἀμφὶ τοὺς θεοὺς τούτους πλάνην ἀθέους ἐπικεκλήκασιν, εἰ καὶ τὴν ἀλήθειαν αὐτὴν μὴ νενοηκότας, ἀλλὰ τὴν πλάνην γε ὑπωπτευκότας· ὅπερ οὐ σμικρὸν

*) Ephes. 2, 12.

εἰς ἀληθείας φρονήσεως ζώπυρον ἀναφύεται σπέρμα· ὧν ὁ μέν τις παρεγγυᾷ τοῖς Αἰγυπτίοις· εἰ θεοὺς νομίζετε, μὴ θρηνεῖτε αὐτοὺς μηδὲ κόπτεσθε· εἰ δὲ πενθεῖτε αὐτούς, μηκέτι τούτους ἡγεῖσθε εἶναι θεούς. ὁ δ' Ἡρακλέα ἐκ ξύλου λαβὼν κατεσκευασμένον — ἔτυχε δὲ ἕψων τι οἴκοι, οἷα εἰκός — εἶα δή, ὦ Ἡράκλεις, εἶπεν· νῦν σοὶ ἤδη καιρὸς, ὥσπερ Εὐρυσθεῖ, ἀτὰρ δὴ καὶ ἡμῖν ὑπουργῆσαι τὸν τρισκαιδέκατον τοῦτον ἆθλον καὶ Διαγόρᾳ τοῦτον παρασκευάσαι, κἆτ' αὐτὸν εἰς τὸ πῦρ ἐνέθηκεν ὡς ξύλον.

§. 25. Ἀκρότητες ἄρα ἀμαθίας ἀθεότης καὶ δεισιδαιμονία, ὧν ἐκτὸς μένειν σπουδαστέον. οὐχ ὁρᾷς τὸν ἱεροφάντην τῆς ἀληθείας Μωϋσέα προστάττοντα, „θλασίαν καὶ ἀποκεκομμένον μὴ ἐκκλησιάζειν“· καὶ προσέτι „τὸν ἐκ πόρνης“*); αἰνίττεται δὲ διὰ μὲν τῶν προτέρων τὸν ἄθεον τρόπον τὸν τῆς θείας καὶ γονίμου δυνάμεως ἐστερημένον· διὰ δὲ τοῦ λοιποῦ τοῦ τρίτου τὸν πολλοὺς ἐπιγραφόμενον ψευδωνύμους θεοὺς ἀντὶ τοῦ μόνου ὄντος θεοῦ, ὥσπερ ὁ ἐκ τῆς πόρνης τοὺς πολλοὺς ἐπιγράφεται πατέρας, ἀγνοίᾳ τοῦ πρὸς ἀλήθειαν πατρός. ἦν δέ τις ἔμφυτος ἀρχαία πρὸς οὐρανὸν ἀνθρώποις κοινωνία, ἀγνοίᾳ μὲν ἐσκοτισμένη, ἄφνω δέ που διεκθρώσκουσα τοῦ σκότους καὶ ἀναλάμπουσα. οἷον δὴ ἐκεῖνο λέλεκταί τινι τὸ

ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα,
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις.

καὶ τὸ

ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅστις πότ' εἶ σὺ δυστόπαστος εἰσιδεῖν·

καὶ ὅσα ἄλλα τοιαῦτα ποιητῶν ᾄδουσι παῖδες. ἔννοιαι δὲ ἡμαρτημέναι καὶ παρηγμέναι τῆς εὐθείας, P. 22 Pott. ὀλέθριαι ὡς ἀληθῶς, τὸ οὐράνιον φυτὸν, τὸν ἄνθρωπον, οὐρανίου ἐξέτρεψαν διαίτης καὶ ἐξετάνυσαν

*) Deut. 23, 1. 2.

ἐπὶ γῆς*), γηΐνοις προσανέχειν ἀναπείσασαι πλάσμασιν.

§. 26. Οἱ μὲν γὰρ εὐθέως ἀμφὶ τὴν οὐρανοῦ θέαν ἀπατώμενοι καὶ ὄψει μόνῃ πεπιστευκότες τῶν ἀστέρων τὰς κινήσεις ἐπιθεώμενοι, ἐθαύμασάν τε καὶ ἐξεθείασαν θεοὺς ἐκ τοῦ θεῖν ὀνομάσαντες τοὺς ἀστέρας καὶ προσεκύνησαν ἥλιον, ὡς Ἰνδοὶ, καὶ σελήνην, ὡς Φρύγες· οἱ δὲ τῶν ἐκ γῆς φυομένων τοὺς ἡμέρους δρεπόμενοι καρποὺς, Δηὼ τὸν σῖτον, ὡς Ἀθηναῖοι, καὶ Διόνυσον τὴν ἄμπελον, ὡς Θηβαῖοι, προσηγόρευσαν. ἄλλοι τὰς ἀμοιβὰς τῆς κακίας ἐπισκοπήσαντες θεοποιοῦσι τὰς ἀντιδόσεις προσκυνοῦντες καὶ τὰς συμφοράς. ἐντεῦθεν τὰς Ἐρινύας καὶ τὰς Εὐμενίδας, παλαμναίους τε καὶ προστροπαίους, ἔτι δὲ ἀλάστορας ἀναπεπλάκασιν οἱ ἀμφὶ τὴν σκηνὴν ποιηταί. φιλοσόφων δὲ ἤδη τινὲς καὶ αὐτοὶ μετὰ τοὺς ποιητικοὺς τῶν ἐν ὑμῖν παθῶν ἀνειδωλοποιοῦσι τύπους, τὸν φόβον καὶ τὸν ἔρωτα καὶ τὴν χαρὰν καὶ τὴν ἐλπίδα· ὥσπερ ἀμέλει καὶ Ἐπιμενίδης ὁ παλαιὸς, Ὕβρεως καὶ Ἀναιδείας Ἀθήνησιν ἀναστήσας βωμούς· οἱ δὲ ἐξ αὐτῶν ὁρμώμενοι τῶν πραγμάτων ἐκθεοῦνται τοῖς ἀνθρώποις καὶ σωματικῶς ἀναπλάττονται· Δίκη τις καὶ Κλωθὼ καὶ Λάχεσις καὶ Ἄτροπος καὶ Εἱμαρμένη, Αὐξώ τε καὶ Θαλλὼ, αἱ Ἀττικαί. ἕκτος ἐστὶν εἰσηγητικὸς τρόπος ἀπάτης, θεῶν περιποιητικὸς, καθ᾽ ὃν ἀριθμοῦσι θεοὺς τοὺς δώδεκα· ὧν καὶ θεογονίαν Ἡσίοδος ᾄδει τὴν αὑτοῦ, καὶ ὅσα θεολογεῖ Ὅμηρος. τελευταῖος δὲ ὑπολείπεται· ἑπτὰ γὰρ οἱ ἅπαντες οὗτοι τρόποι· ὁ ἀπὸ τῆς θείας εὐεργεσίας τῆς εἰς τοὺς ἀνθρώπους καταγινομένης ὁρμώμενος. τὸν γὰρ εὐεργετοῦντα μὴ συνιέντες θεὸν
P. 8 ἀνέπλασάν τινας σωτῆρας Διοσκούρους καὶ Ἡρα- P. 23
Sylb. κλέα ἀλεξίκακον καὶ Ἀσκληπιὸν ἰατρόν. Pott.

---

*) Cf. Homer. Iliad. ρ. 58.

§. 27. *Αὗται μὲν αἱ ὀλισθηραί τε καὶ ἐπιβλαβεῖς παρεκβάσεις τῆς ἀληθείας, καθέλκουσαι οὐρανόθεν τὸν ἄνθρωπον καὶ εἰς βάραθρον περιτρέπουσαι· ἐθέλω δὲ ὑμῖν ἐν χρῷ τοὺς θεοὺς αὐτοὺς ἐπιδεῖξαι, ὁποῖοι καὶ τίνες εἰσίν, ἵν᾽ ἤδη ποτὲ τῆς πλάνης λήξητε, αὖθις δὲ παλινδρομήσητε εἰς οὐρανόν. „ἦμεν γάρ που καὶ ἡμεῖς τέκνα ὀργῆς, ὡς καὶ οἱ λοιποί, ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς ὄντας ἤδη νεκροὺς τοῖς παραπτώμασιν, συνεζωοποίησεν τῷ Χριστῷ" *). ζῶν γὰρ ὁ λόγος καὶ συνταφεὶς Χριστῷ συνυψοῦται θεῷ. οἱ δὲ ἔτι ἄπιστοι τέκνα ὀργῆς ὀνομάζονται, τρεφόμενα ὀργῇ· ἡμεῖς δὲ οὐκ ὀργῆς θρέμματα ἔτι, οἱ τῆς πλάνης ἀπεσπασμένοι, ᾄσσοντες δὲ ἐπὶ τὴν ἀλήθειαν. ταύτῃ τοὶ ἡμεῖς οἱ τῆς ἀνομίας υἱοί ποτε διὰ τὴν φιλανθρωπίαν τοῦ λόγου νῦν υἱοὶ γεγόναμεν τοῦ θεοῦ· ὑμῖν δὲ καὶ ὁ ὑμέτερος ὑποδύεται ποιητὴς ὁ Ἀκραγαντῖνος Ἐμπεδοκλῆς·*

τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν
οὔ ποτε δειλαίων ἀχέων λωφήσετε θυμόν.

τὰ μὲν δὴ πλεῖστα μεμύθευται καὶ πέπλασται περὶ θεῶν ὑμῖν· τὰ δὲ καὶ ὅσα γεγενῆσθαι ὑπείληπται, ταῦτα δὲ περὶ ἀνθρώπων αἰσχρῶν καὶ ἀσελγῶς βεβιωκότων ἀναγέγραπται·

τύφῳ καὶ μανίῃ δὲ βαδίζετε καὶ τρίβον ὀρθὴν
εὐθεῖαν προλιπόντες ἀπήλθετε τὴν δι᾽ ἀκανθῶν
καὶ σκολόπων, τί πλανᾶσθε βροτοί; παύσασθε μάταιοι,
καλλίπετε σκοτίην νυκτός, φωτὸς δὲ λάβεσθε. **P. 24**

ταῦτα ἡμῖν ἡ προφητικὴ παρεγγυᾷ καὶ ποιητικὴ **Pott.**
Σίβυλλα, παρεγγυᾷ δὲ καὶ ἡ ἀλήθεια, γυμνοῦσα τῶν καταπληκτικῶν τουτωνὶ καὶ ἐκπληκτικῶν προσωπείων τὸν ὄχλον τῶν θεῶν, συνωνυμίαις τισὶ τὰς δοξοποιίας διελέγχουσα.

---

*) Ephes. 2, 3—5.

§. 28. *Αὐτίκα γοῦν εἰσὶν, οἳ τρεῖς τοὺς Ζῆνας ἀναγράφουσιν, τὸν μὲν Αἰθέρος, ἐν Ἀρκαδίᾳ· τὼ δὲ λοιπὼ τοῦ Κρόνου παῖδε. τούτοιν τὸν μὲν ἐν Κρήτῃ· θάτερον δὲ ἐν Ἀρκαδίᾳ πάλιν. εἰσὶ δὲ, οἳ πέντε Ἀθηνᾶς ὑποτίθενται, τὴν μὲν Ἡφαίστου, τὴν Ἀθηναίαν, τὴν δὲ Νείλου, τὴν Αἰγυπτίαν, τρίτην τὴν Κρόνου τὴν πολέμου εὑρέτιν, τετάρτην τὴν Διὸς, ἣν Μεσσήνιοι Κορυφασίαν ἀπὸ τῆς μητρὸς ἐπικεκλήκασιν· ἐπὶ πᾶσι τὴν Πάλλαντος καὶ Τιτανίδος τῆς Ὠκεανοῦ· ἣ τὸν πατέρα δυσσεβῶς καταθύσασα, τῷ πατρῴῳ κεκόσμηται δέρματι, ὥσπερ κῳδίῳ. καὶ μὴν Ἀπόλλωνα ὁ μὲν Ἀριστοτέλης πρῶτον Ἡφαίστου καὶ Ἀθηνᾶς — ἐνταῦθα δὴ οὐκέτι παρθένος ἡ Ἀθηνᾶ — δεύτερον ἐν Κρήτῃ, τὸν Κορύβαντος, τρίτον τὸν Διὸς καὶ τέταρτον τὸν Ἀρκάδα, τὸν Σιληνοῦ· νόμιος οὗτος κέκληται παρ᾽ Ἀρκάσιν. ἐπὶ τούτοις τὸν Λίβυν καταλέγει τὸν Ἄμμωνος· ὁ δὲ Δίδυμος ὁ γραμματικὸς τούτοις ἕκτον ἐπιφέρει, τὸν Μάγνητος. πόσοι δὲ καὶ νῦν Ἀπόλλωνες; ἀνάριθμητοι θνητοὶ καὶ ἐπίκουροί τινες ἄνθρωποί εἰσιν οἳ παραπλησίως τοῖς προειρημένοις ἐκείνοις κεκλημένοι.*

§. 29. *Τί δ᾽ εἴ σοι τοὺς πολλοὺς εἴποιμι Ἀσκληπιοὺς ἢ τοὺς Ἑρμᾶς τοὺς ἀριθμουμένους ἢ τοὺς Ἡφαίστους τοὺς μυθολογουμένους; μὴ καὶ περιττὸς εἶναι δόξω τὰς ἀκοὰς ὑμῶν τοῖς πολλοῖς τούτοις ἐπικλύζων ὀνόμασιν; ἀλλ᾽ αἵ γε πατρίδες αὐτοὺς καὶ αἱ τέχναι καὶ οἱ βίοι, πρὸς δέ γε καὶ οἱ τάφοι ἀνθρώπους γεγονότας διελέγχουσιν. Ἄρης γοῦν ὁ καὶ παρὰ τοῖς ποιηταῖς, ὡς οἷόν τε, τετιμημένος·*

Ἆρες, Ἄρες, βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα· *)

ὁ ἀλλοπρόσαλλος οὗτος καὶ ἀνάρσιος, ὡς μὲν Ἐπίχαρμός φησι, Σπαρτιάτης ἦν· Σοφοκλῆς δὲ P. 25 Pott. *Θρᾷκα οἶδεν αὐτόν· ἄλλοι δὲ Ἀρκάδα. τοῦτον δὲ Ὅμηρος δεδέσθαι φησὶν ἐπὶ μῆνας τρισκαίδεκα·*

---

*) Hom. Iliad. ε, 31.

τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης,
παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας *).

πολλὰ κἀγαθὰ Κᾶρες σχοῖεν, οἳ καταθύουσιν αὐτῷ τοὺς κύνας. Σκύθαι δὲ τοὺς ὄνους ἱερεύοντες μὴ παυέσθων, ὥς Ἀπολλόδωρός φησι καὶ Καλλίμαχος,

Φοῖβος Ὑπερβορέοισιν ὄνων ἐπιτέλλεται ἱροῖς.

ὁ αὐτὸς δὲ ἀλλαχοῦ·

τέρπουσιν λιπαραὶ Φοῖβον ὀνοσφαγίαι.

Ἥφαιστος δὲ, ὃν ἔρριψεν ἐξ Ὀλύμπου Ζεὺς βηλοῦ ἀπὸ θεσπεσίοιο, **) ἐν Λήμνῳ καταπεσὼν ἐχάλκευε, πηρωθεὶς τὼ πόδε·

— ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. ***)

§. 30. Ἔχεις καὶ ἰατρὸν, οὐχὶ χαλκέα μόνον ἐν θεοῖς. ὁ δὲ ἰατρὸς φιλάργυρος ἦν, Ἀσκληπιὸς ὄνομα αὐτῷ. καί σοι τὸν σὸν παραθήσομαι ποιητὴν, τὸν Βοιώτιον Πίνδαρον·

ἔτραπεν καὶ κεῖνον ἀγάνορι μι-
σθῷ χρυσὸς ἐν χερσὶν φανεὶς
[ἄνδρ' ἐκ θανάτου κομίσαι
ἤδη ἁλωκότα]. χερ-
σὶ δ' ἄρα Κρονίων
ῥίψαις δι' ἀμφοῖν, ἀμπνοὰς P. 26 Pott.
στέρνων καθέλεν
ὠκέως, αἴθων δὲ κεραυ-
νὸς ἐνέσκιμψεν μόρον.

Καὶ Εὐριπίδης·

Ζεὺς γὰρ κατακτὰς παῖδα τὸν ἐμὸν αἴτιος
Ἀσκληπιὸν, στέρνοισιν ἐμβαλὼν φλόγα.

P. 9 Sylb. οὗτος μὲν οὖν κεῖται κεραυνωθεὶς ἐν τοῖς Κυνοσούριδος ὁρίοις. Φιλόχορος δὲ ἐν Τήνῳ Ποσειδῶνά φησι τιμᾶσθαι ἰατρόν· Κρόνῳ δὲ ἐπικεῖσθαι

*) Ibid. ε. 385 sqq. **) Cf. Hom. Iliad. α. 591. ***) Ibid. σ, 410.

Σικελίαν καὶ ἐνταῦθα αὐτὸν τεθάφθαι. Πατροκλῆς τε ὁ Θούριος καὶ Σοφοκλῆς ὁ νεώτερος ἐν τρισὶ τραγῳδίαις, ἱστορεῖτον τῶν Διοσκούρων πέρι· ἀνθρώπω τινὲ τούτω τὼ Διοσκούρω ἐπικήρω γενέσθην, εἴ τῳ ἱκανὸς πιστώσασθαι Ὅμηρος τὸ λελεγμένον·

——τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ *).

Προσίτω δὲ καὶ ὁ τὰ Κυπριακὰ ποιήματα γράψας·

Κάστωρ μὲν θνητὸς, θανάτου δέ οἱ αἶσα πέπρωται·
αὐτὰρ ὅ γ' ἀθάνατος Πολυδεύκης, ὄζος Ἄρηος.

τοῦτο μὲν ποιητικῶς ἐψεύσατο· Ὅμηρος δὲ ἀξιοπιστότερος αὐτοῦ εἰπὼν περὶ ἀμφοῖν τοῖν Διοσκούροιν, πρὸς δὲ καὶ τὸν Ἡρακλέα εἴδωλον ἐλέγξας· φῶτα γὰρ Ἡρακλῆα μεγάλων ἐπιίστορα ἔργων **). Ἡρακλέα οὖν καὶ αὐτὸς Ὅμηρος θνητὸν οἶδεν ἄνθρωπον. Ἱερώνυμος δὲ ὁ φιλόσοφος καὶ τὴν σχέσιν αὐτοῦ ὑφηγεῖται τοῦ σώματος, μακρὸν, φριξότριχα, ῥωστικόν· Δικαίαρχος δὲ σχιζίαν, νευρώδη, μέλανα, γρυπὸν, ὑποχαροπὸν, τετανότριχα. οὗτος οὖν ὁ Ἡρακλῆς δύο πρὸς τοῖς πεντήκοντα ἔτη βεβιωκὼς κατέστρεψε τὸν βίον διὰ τῆς ἐν Οἴτῃ πυρᾶς κεκηδευμένος. P. 27 Pott.

§. 31. Τὰς δὲ Μούσας, ἃς Ἄλκανδρος Διὸς καὶ Μνημοσύνης γενεαλογεῖ καὶ οἱ λοιποὶ ποιηταὶ καὶ συγγραφεῖς ἐκθειάζουσι καὶ σέβουσιν, ἤδη δὲ καὶ ὅλαι πόλεις μουσεῖα τεμενίζουσιν αὐταῖς, Μούσας οὔσας θεραπαινίδας ταύτας ἐώνηται Μεγακλὼ ἡ θυγάτηρ Μάκαρος. ὁ δὲ Μάκαρ Λεσβίων μὲν ἐβασίλευεν, διεφέρετο δὲ ἀεὶ πρὸς τὴν γυναῖκα, ἠγανάκτει δὲ ἡ Μεγακλὼ ὑπὲρ τῆς μητρός· τί δ' οὐκ ἔμελλε; καὶ Μοίσας θεραπαινίδας ταύτας τοσαύτας τὸν ἀριθμὸν ὠνεῖται καὶ καλεῖ Μύσας κατὰ τὴν διάλεκτον τὴν Αἰολέων. ταύτας ἐδιδάξατο ᾄδειν καὶ κιθαρίζειν τὰς πράξεις τὰς παλαιὰς ἐμμελῶς. αἱ δὲ συνεχῶς κιθαρίζουσαι καὶ καλῶς κατεπᾴδουσαι τὸν Μάκαρα ἔθελγον καὶ κα-

*) Iliad. γ. 243. **) Odyss. φ. 26.

τέπανον τῆς ὀργῆς. οὗ δὴ χάριν ἡ Μεγακλὼ χαριστήριον αὐταῖς ὑπὲρ τῆς μητρὸς ἀνέθηκε στήλας χαλκᾶς καὶ ἀνὰ πάντα ἐκέλευσε τιμᾶσθαι τὰ ἱερά. καὶ αἱ μὲν Μοῦσαι τοιαίδε· ἡ δὲ ἱστορία παρὰ Μυρσίλῳ τῷ Λεσβίῳ.

§. 32. Ἀκούετε δὴ οὖν τῶν παρ' ὑμῖν θεῶν τοὺς ἔρωτας καὶ τὰς παραδόξους τῆς ἀκρασίας μυθολογίας καὶ τραύματα αὐτῶν καὶ δεσμὰ καὶ γέλωτας καὶ μάχας, δουλείας τε ἔτι καὶ συμπόσια, συμπλοκάς τ' αὖ καὶ δάκρυα καὶ πάθη καὶ μαχλώσας ἡδονάς. κάλει μοὶ τὸν Ποσειδῶ καὶ τὸν χορὸν τῶν διεφθαρμένων ὑπ' αὐτοῦ, τὴν Ἀμφιτρίτην, τὴν Ἀμυμώνην, τὴν Ἀλόπην, τὴν Μελανίππην, τὴν Ἀλκυόνην, τὴν Ἱπποθόην, τὴν Χιόνην, τὰς ἄλλας τὰς μυρίας· ἐν αἷς δὴ καὶ τοσαύταις οὔσαις ἔτι τοῦ Ποσειδῶνος ὑμῶν ἐστενοχωρεῖτο τὰ πάθη. κάλει μοὶ καὶ τὸν Ἀπόλλω· Φοῖβός ἐστιν οὗτος καὶ μάντις ἁγνὸς καὶ σύμβουλος ἀγαθός· ἀλλ' οὐ ταῦτα ἡ Στερόπη λέγει οὐδὲ ἡ Αἴθουσα οὐδὲ ἡ Ἀρσινόη οὐδὲ ἡ Ζευξίππη οὐδὲ ἡ Προθόη οὐδὲ ἡ Μάρπισσα οὐδὲ ἡ Ὑψιπύλη· Δάφνη γὰρ ἐξέφυγε μόνη καὶ τὸν μάντιν καὶ τὴν φθοράν. αὐτός τε ὁ Ζεὺς ἐπὶ πᾶσιν ἡκέτω, ὁ πατὴρ καθ' ὑμᾶς ἀνδρῶν τε θεῶν τε· ὃς τοσοῦτος περὶ τὰ ἀφροδίσια ἐξεχύθη, ὡς ἐπιθυμεῖν μὲν πασῶν, ἐκπληροῦν δὲ εἰς πάσας τὴν ἐπιθυμίαν. ἐνεπίμπλατο γοῦν γυναικῶν, οὐχ ἧττον ἢ αἰγῶν ὁ Θμουΐτῶν τράγος.

§. 33. Καὶ σοῦ, ὦ Ὅμηρε, τεθαύμακα τὰ ποιήματα· P. 28 Pott.

ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος,
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον *).

σεμνὸν ἀναπλάττεις, Ὅμηρε, τὸν Δία καὶ νεῦμα πε-

*) Iliad. α. 528 sqq.

ῥιάπτεις αὐτῷ τετιμημένον. ἀλλ' ἐὰν ἐπιδείξῃς μόνον, ἄνθρωπε, τὸν κεστὸν, ἐξελέγχεται καὶ ὁ Ζεὺς καὶ ἡ κόμη καταισχύνεται· εἰς ὅσον διελήλακεν ἀσελγείας ὁ Ζεὺς ἐκεῖνος ὁ μετ' Ἀλκμήνης τοσαύτας ἡδυπαθήσας νύκτας; οὐδὲ γὰρ αἱ νύκτες αἱ ἐννέα τῷ ἀκολάστῳ μακραὶ, ἅπας δὲ ἔμπαλιν ὁ βίος ἀκρασίᾳ βραχὺς ἦν, ἵνα δὴ ἡμῖν τὸν ἀλεξίκακον σπείρῃ θεόν. Διὸς υἱὸς Ἡρακλῆς, Διὸς ὡς ἀληθῶς, ὁ ἐκ μακρᾶς γεννώμενος νυκτὸς, τοὺς μὲν ἄθλους τοὺς δώδεκα πολλῷ ταλαιπωρησάμενος χρόνῳ, τὰς δὲ πεντήκοντα Θεστίου θυγατέρας νυκτὶ διαφθείρας μιᾷ, μοιχὸς ὁμοῦ καὶ νυμφίος τοσούτων γενόμενος παρθένων. οὔκουν ἀπεικότως οἱ ποιηταὶ σχέτλιον τοῦτον καὶ αἰσυλοεργὸν ἀποκαλοῦσιν *). μακρὸν δ' ἂν εἴη μοιχείας αὐτοῦ παντοδαπὰς καὶ παίδων διηγεῖσθαι φθοράς. οὐδὲ γὰρ οὐδὲ παίδων ἀπέσχοντο οἱ παρ' ὑμῖν θεοὶ, ὁ μέν τις Ὕλα, ὁ δὲ Ὑακίνθου, ὁ δὲ Πέλοπος, ὁ δὲ Χρυσίππου, ὁ δὲ Γανυμήδους ἐρῶντες. τούτους ὑμῶν αἱ γυναῖκες προσκυνούντων τοὺς θεοὺς, τοιούτους δὲ εὐχέσθων εἶναι τοὺς ἄνδρας τοὺς ἑαυτῶν, οὕτω σώφρονας, ἵνα ὦσιν ὅμοιοι τοῖς θεοῖς τὰ ἴσα ἐζηλωκότες· τοιούτους ἐθιζόντων οἱ παῖδες ὑμῶν σέβειν, ἵνα καὶ ἄνδρες γένωνται εἰκόνα πορνείας ἐναρ-
P. 10 Sylb. γῆ τοὺς θεοὺς παραλαμβάνοντες. ἀλλ' οἱ μὲν ἄρρενες αὐτοῖς τῶν θεῶν ἴσως μόνοι ἅττουσι περὶ τὰ ἀφροδίσια·

θηλύτεραι δὲ θεαὶ μένον αἰδοῖ οἴκοι ἑκάστη,

φησὶν Ὅμηρος· αἰδούμεναι αἱ θεαὶ διὰ σεμνότητα Ἀφροδίτην ἰδεῖν μεμοιχευμένην. αἱ δὲ ἀκολασταίνουσιν ἐμπαθέστερον ἐν τῇ μοιχείᾳ δεδεμέναι· Ἠὼς ἐπὶ Τιθωνῷ, Σελήνη [ἐπὶ] Ἐνδυμίωνι, Νηρηῒς ἐπὶ P. 29 Pott.
Αἰακῷ καὶ ἐπὶ Πηλεῖ Θέτις, ἐπὶ δὲ Ἰασίωνι Δημήτηρ καὶ ἐπὶ Ἀδώνιδι Φερεφάττα. Ἀφροδίτη δὲ ἐπ' Ἄρεϊ κατῃσχυμμένη μετῆλθεν ἐπὶ Κινύραν καὶ Ἀγχί-

*) Cf. Hom. Il. ε. 403.

σην ἔγημεν, καὶ Φάωνα ἐλόχα καὶ ἤρα Ἀδώνιδος, ἐφιλονείκει δὲ τῇ βοώπιδι καὶ ἀποδυσάμεναι διὰ μῆλον αἱ θεαὶ γυμναὶ προσεῖχον τῷ ποιμένι, εἴ τις αὐτῶν δόξει καλή.

§. 34. Ἴθι δὴ καὶ τοὺς ἀγῶνας ἐν βραχεῖ περιοδεύσωμεν καὶ τὰς ἐπιτυμβίους ταυτασὶ πανηγύρεις καταλύσωμεν, Ἴσθμιά τε καὶ Νέμεα καὶ Πύθια καὶ τὰ ἐπὶ τούτοις Ὀλύμπια. Πυθοῖ μὲν οὖν ὁ δράκων ὁ Πύθιος θρησκεύεται καὶ τοῦ ὄφεως ἡ πανήγυρις καταγγέλλεται Πύθια, Ἰσθμοῖ δὲ σκύβαλον προσέπτυσεν ἐλεεινὸν ἡ θάλασσα, καὶ Μελικέρτην ὀδύρεται τὰ Ἴσθμια, Νεμέασι δὲ ἄλλο παιδίον Ἀρχέμορος κεκήδευται καὶ τοῦ παιδίου ὁ ἐπιτάφιος προσαγορεύεται Νέμεα. Πίσα δὲ ὑμῖν τάφος ἐστὶν, ὦ πανέλληνες, ἡνιόχου Φρυγὸς, καὶ τοῦ Πέλοπος τὰς χοὰς τὰ Ὀλύμπια ὁ Φειδίου σφετερίζεται Ζεύς. μυστήρια ἦσαν ἄρα, ὡς ἔοικεν, οἱ ἀγῶνες ἐπὶ νεκροῖς διαθλούμενοι, ὥσπερ καὶ τὰ λόγια, καὶ δεδήμευνται ἄμφω. ἀλλὰ τὰ μὲν ἐπὶ Σάγρᾳ μυστήρια καὶ τὰ ἐν Ἀλιμοῦντι τῆς Ἀττικῆς Ἀθήνησιν περιώρισται· αἶσχος δὲ δὴ κοσμικὸν οἵ τε ἀγῶνες καὶ οἱ φαλλοὶ οἱ Διονύσῳ ἐπιτελούμενοι, κακῶς ἐπινενεμημένοι τὸν βίον. Διόνυσος γὰρ κατελθεῖν εἰς Ἅιδου γλιχόμενος ἠγνόει τὴν ὁδὸν, ὑπισχνεῖται δ' αὐτῷ φράσειν Πρόσυμνος τοὔνομα, οὐκ ἀμισθεί· ὁ δὲ μισθὸς οὐ καλὸς, ἀλλὰ **P. 30 Pott.** Διονύσῳ καλός· καὶ ἀφροδίσιος ἦν ἡ χάρις ὁ μισθὸς, ὃν ᾐτεῖτο Διόνυσος· βουλομένῳ δὲ τῷ θεῷ γέγονεν ἡ αἴτησις, καὶ δὴ ὑπισχνεῖται παρέξειν αὐτῷ, εἰ ἀναζεύξοι, ὅρκῳ πιστωσάμενος τὴν ὑπόσχεσιν. μαθὼν ἀπῆρεν, ἐπανῆλθεν αὖθις, οὐ καταλαμβάνει τὸν Πρόσυμνον — ἐτεθνήκει γάρ —, ἀφοσιούμενος τῷ ἐραστῇ ὁ Διόνυσος ἐπὶ τὸ μνημεῖον ὁρμᾷ καὶ πασχητιᾷ. κλάδον οὖν συκῆς, ὡς ἔτυχεν, ἐκτεμὼν ἀνδρείου μορίου σκευάζεται τρόπον, ἐφέζεταί τε τῷ κλάδῳ τὴν ὑπόσχεσιν ἐκτελῶν τῷ νεκρῷ. ὑπόμνημα τοῦ πάθους τούτου μυστικὸν φαλλοὶ κατὰ πόλεις ἀνί-

σταντι Διονύσῳ· εἰ μὴ γὰρ Διονύσῳ πομπὴν ἐποιοῦντο, καὶ ὕμνεον ᾆσμα, αἰδοίοισιν ἀναιδέστατα εἴργασται, φησὶν Ἡράκλειτος, ωὑτὸς δὲ Ἀΐδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ ληναΐζουσιν, οὐ διὰ τὴν μέθην τοῦ σώματος, ὡς ἐγὼ οἶμαι, τοσοῦτον, ὅσον διὰ τὴν ἐπονείδιστον τῆς ἀσελγείας ἱεροφαντίαν.

§. 35. Εἰκότως ἄρα οἱ τοιοίδε ὑμῶν θεοὶ δοῦλοι παθῶν γεγονότες, ἀλλὰ καὶ πρὸς τῶν Εἱλώτων καλουμένων τῶν παρὰ Λακεδαιμονίοις δούλειον ὑπεισῆλθεν ζυγὸν Ἀπόλλων Ἀδμήτῳ ἐν Φεραῖς, Ἡρακλῆς ἐν Σάρδεσιν Ὀμφάλῃ, Λαομέδοντι δ' ἐθήτευε Ποσειδῶν καὶ Ἀπόλλων, καθάπερ ἀχρεῖος οἰκέτης, μηδὲ ἐλευθερίας δήπουθεν δυνηθεὶς τυχεῖν παρὰ τοῦ προτέρου δεσπότου. τότε καὶ τὰ Ἰλίου τείχη ἀνῳκοδομησάτην τῷ Φρυγί. Ὅμηρος δὲ τὴν Ἀθηνᾶν οὐκ αἰσχύνεται παραφαίνειν λέγων τῷ Ὀδυσσεῖ χρύσεον λύχνον ἔχουσαν ἐν χεροῖν· [τὴν δὲ Ἀφροδίτην ἀνέγνωμεν, οἷον ἀκόλαστόν τι θεραπαινίδιον, παραθεῖναι φέρουσαν τῇ Ἑλένῃ τὸν δίφρον τοῦ μοιχοῦ κατὰ πρόσωπον, ὅπως αὐτὸν εἰς συνουσίαν ὑπαγάγηται *). Πανύασσις γὰρ πρὸς τούτοις καὶ ἄλλους παμπόλλους ἀνθρώποις λατρεῦσαι θεοὺς ἱστορεῖ, ὧδέ πως γράφων·

τλῆ μὲν Δημήτηρ, τλῆ δὲ κλυτὸς Ἀμφιγυήεις,
τλῆ δὲ Ποσειδάων, τλῆ δ' ἀργυρότοξος Ἀπόλλων,
ἀνδρὶ παρὰ θνητῷ θητευσέμεν εἰς ἐνιαυτόν·
τλῆ δὲ καὶ ὀβριμόθυμος Ἄρης ὑπὸ πατρὸς ἀνάγκης·

καὶ τὰ ἐπὶ τούτοις.

§. 36. Τούτοις οὖν εἰκότως ἕπεται τοὺς ἐρωτικοὺς ὑμῶν καὶ παθητικοὺς τούτους θεοὺς ἀνθρωποπαθεῖς ἐκ παντὸς εἰσάγειν τρόπου. καὶ γὰρ ἐῆν P. 31
κείνοις θνητὸς χρώς. τεκμηριοῖ δὲ Ὅμηρος μάλα ἀκριβῶς Ἀφροδίτην ἐπὶ τῷ τραύματι παρεισά- Pott.

*) Hom. Il. γ. 424 sqq.

γων ὀξὺ καὶ μέγα ἰάχουσαν*), αὐτόν τε τὸν πολεμικώτατον Ἄρη ὑπὸ τοῦ Διομήδους κατὰ τοῦ κενεῶνος**) οὐτασμένον διηγούμενος· Πολέμων δὲ καὶ τὴν Ἀθηνᾶν ὑπὸ Ὀρνύτου τρωθῆναι λέγει· ναὶ μὴν καὶ τὸν Ἀϊδωνέα ὑπὸ Ἡρακλέους τοξευθῆναι Ὅμηρος λέγει***), καὶ τὸν Ἠλεῖον Αὐγέαν Πανύασσις ἱστορεῖ. ἤδη δὲ καὶ τὴν Ἥραν τὴν ζυγίαν ἱστορεῖ ὑπὸ τοῦ αὐτοῦ Ἡρακλέους ὁ αὐτὸς οὗτος Πανύασσις ἐν Πύλῳ ἠμαθόεντι· Σωσίβιος δὲ καὶ τὸν Ἡρακλέα πρὸς τῶν Ἱπποκοωντιδῶν κατὰ τῆς χειρὸς οὐτασθῆναι λέγει. εἰ δὴ τραύματα καὶ αἵματα — οἱ γὰρ ἰχῶρες οἱ ποιητικοὶ εἰδεχθέστεροι καὶ τῶν αἱμάτων, σῆψις γὰρ αἵματος ἰχὼρ νοεῖται — ἀνάγκη τοίνυν θεραπείας καὶ τροφὰς παρεισάγειν αὐτοῖς, ὧν εἰσὶν ἐνδεεῖς. διὸ τράπεζαι καὶ μέθαι καὶ γέλωτες καὶ συνουσίαι οὐκ ἂν ἀφροδισίοις χρωμένων ἀνθρώποις οὐδὲ παιδοποιουμένων οὐδὲ μὴν ὑπνωσσόντων, εἰ ἀθάνατοι καὶ ἀνενδεεῖς καὶ ἀγήρως ὑπῆρχον. μετέλαβε δὲ καὶ τραπέζης ἀνθρωπίνης παρὰ τοῖς
P. 11 Αἰθίοψιν, ἀπανθρώπου δὲ καὶ ἀθέσμου αὐτὸς
Sylb. ὁ Ζεὺς παρὰ Λυκάονι τῷ Ἀρκάδι ἑστιώμενος. ἀνθρωπείων γοῦν ἐνεφορεῖτο σαρκῶν οὐχ ἑκών· ἠγνόει γὰρ ὁ θεός, ὡς ἄρα Λυκάων ὁ Ἀρκὰς ὁ ἑστιάτωρ αὐτοῦ τὸν παῖδα κατασφάξας τὸν αὐτοῦ — Νύκτιμος ὄνομα αὐτοῦ — παραθείη ὄψον τῷ Διί.

§. 37. Καλός γε ὁ Ζεὺς ὁ μαντικός, ὁ ξένιος, ὁ ἱκέσιος, ὁ μειλίχιος, ὁ πανομφαῖος, ὁ προστροπαῖος· μᾶλλον δὲ ὁ ἄδικος, ὁ ἄθεσμος, ὁ ἄνομος, ὁ ἀνόσιος, ὁ ἀπάνθρωπος, ὁ βίαιος, ὁ φθορεύς, ὁ μοιχός, ὁ ἐρωτικός. ἀλλὰ τότε μὲν ἦν ὅτε τοιοῦτος ἦν, ὅτε δὴ ἄνθρωπος ἦν, νῦν δὲ ἤδη μοι δοκοῦσι καὶ οἱ μῦθοι ὑμῖν γεγηρακέναι. δράκων ὁ Ζεὺς οὐκέτι, οὐ κύκνος ἐστίν, οὐκ ἀετός, οὐκ ἄνθρωπος ἐρωτικός· οὐχ ἵπταται θεός, οὐ παιδεραστεῖ, οὐ φιλεῖ, οὐ βιάζεται,

---

*) Il. ε. 330—343. **) Ibid. 855 sqq. ***) Ibid. ν. 395 sqq.

καίτοι πολλαὶ καὶ καλαὶ καὶ νῦν ἔτι γυναῖκες καὶ Λήδας εὐπρεπέστεραι καὶ Σεμέλης ἀκμαιότεραι· μειράκια δὲ ὡραιότερα καὶ πολιτικώτερα τοῦ Φρυγίου βουκόλου. ποῦ νῦν ἐκεῖνος ὁ ἀετός; ποῦ δὲ ὁ P. 32 κύκνος; ποῦ δὲ αὐτὸς ὁ Ζεύς; γεγήρακε μετὰ τοῦ Pott. πτεροῦ. οὐ γὰρ δήπου μετανοεῖ τοῖς ἐρωτικοῖς οὐδὲ παιδεύεται σωφρονεῖν· γυμνοῦται δὲ ὑμῖν ὁ μῦθος· ἀπέθανεν ἡ Λήδα, ἀπέθανεν ὁ κύκνος, ἀπέθανεν ὁ ἀετός. ζήτει σοὺ τὸν Δία· μὴ τὸν οὐρανὸν, ἀλλὰ τὴν γῆν πολυπραγμόνει. ὁ Κρής σοι διηγήσεται, παρ' ᾧ καὶ τέθαπται, Καλλίμαχος ἐν ὕμνοις·

——καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο.

τέθνηκε γὰρ ὁ Ζεὺς, μὴ δυσφόρει, ὡς Λήδα, ὡς κύκνος, ὡς ἀετὸς, ὡς ἄνθρωπος ἐρωτικὸς, ὡς δράκων.

§. 38. Ἤδη δὲ καὶ αὐτοὶ φαίνονται οἱ δεισιδαίμονες, ἄκοντες μὲν, ὅμως δ' οὖν συνιέντες τὴν πλάνην τὴν περὶ τοὺς θεούς. οὐ γὰρ ἀπὸ δρυός εἰσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης *), ἀλλ' ἀνδρῶν γένος εἰσί. μικρὸν δὲ ὕστερον καὶ δρύες ὄντες εὑρεθήσονται καὶ πέτραι. Ἀγαμέμνονα γοῦν τινὰ Δία ἐν Σπάρτῃ τιμᾶσθαι Στάφυλος ἱστορεῖ· Φανοκλῆς δὲ ἐν Ἔρωσιν ἢ Καλοῖς Ἀγαμέμνονα τὸν Ἑλλήνων βασιλέα Ἀργύννου νεὼν Ἀφροδίτης ἵστασθαι ἐπ' Ἀργύννῳ τῷ ἐρωμένῳ. Ἄρτεμιν δὲ Ἀρκάδες Ἀπαγχομένην καλουμένην προστρέπονται, ὥς φησι Καλλίμαχος ἐν Αἰτίοις· καὶ Κονδυλῖτις ἐν Μηθύμνῃ ἑτέρα τετίμηται Ἄρτεμις. ἔστι δὲ καὶ Ποδάγρας ἄλλης Ἀρτέμιδος ἐν τῇ Λακωνικῇ ἱερὸν, ὥς φησι Σωσίβιος. Πολέμων δὲ κεχηνότος Ἀπόλλωνος οἶδεν ἄγαλμα· καὶ ὀψοφάγου πάλιν Ἀπόλλωνος P. 33 ἄλλο ἐν Ἤλιδι τιμώμενον. ἐνταῦθα Ἀπομυίῳ Pott.

---

*) Cf. Hom. Odyss. τ. 163.

Διὶ θύουσιν Ἠλεῖοι· Ῥωμαῖοι δὲ Ἀπομυίῳ Ἡρακλεῖ καὶ Πυρετῷ δὲ καὶ Φόβῳ θύουσιν, οὓς καὶ αὐτοὺς μετὰ τῶν ἀμφὶ τὸν Ἡρακλέα ἐγγράφουσιν. ἐῶ δὲ Ἀργείους, οἳ Ἀφροδίτην τυμβωρύχον θρησκεύουσιν, Ἀργεῖοι καὶ Λάκωνες, καὶ Χελύτιδα δὲ Ἄρτεμιν Σπαρτιᾶται σέβουσιν· ἐπεὶ τὸ βήττειν „χελύττειν" καλοῦσιν.

§. 39. Οἴει πόθεν παραγέγραπται ταῦτά σοι κομίζεσθαι τὰ ὑφ᾽ ἡμῶν παρατιθέμενα; οὐδὲ τοὺς σοὺς γνωρίζειν ἔοικας συγγραφεῖς, οὓς ἐγὼ μάρτυρας ἐπὶ τὴν σὴν ἀπιστίαν καλῶ· ἀθέου χλεύης, ὦ δείλαιοι, τὸν πάντα ὑμῶν ἀβίωτον ὄντως βίον ἐμπεπληκότες. οὐχὶ μέντοι Ζεὺς φαλακρὸς ἐν Ἄργει, τιμωρὸς δὲ ἄλλος ἐν Κύπρῳ τετίμησθον; οὐχὶ δὲ Ἀφροδίτῃ περιβασίῃ μὲν Ἀργεῖοι, ἑταίρᾳ δὲ Ἀθηναῖοι καὶ καλλιπύγῳ θύουσιν Συρακούσιοι; ἣν Νίκανδρος ὁ ποιητὴς καλλίγλουτόν που κέκληκεν. Διόνυσον δὲ ἤδη σιωπῶ τὸν χοιροψάλαν· Σικυώνιοι τοῦτον προσκυνοῦσιν ἐπὶ τῶν γυναικείων τάξαντες τὸν Διόνυσον μορίων, ἔφορον αἴσχους καὶ τῆς ὕβρεως σεβάζοντες ἀρχηγόν. τοιοίδε μὲν αὐτοῖς οἱ θεοί, τοιοίδε καὶ αὐτοὶ παίζοντες ἐν θεοῖς, μᾶλλον δὲ ἐμπαίζοντες καὶ ἐνυβρίζοντες σφίσιν αὐτοῖς. καὶ πόσῳ βελτίους Αἰγύπτιοι κωμηδὸν καὶ κατὰ πόλεις τὰ ἄλογα τῶν ζώων ἐκτετιμηκότες, ἤπερ Ἕλληνες τοιούτους προσκυνοῦντες θεούς; τὰ μὲν γὰρ εἰ καὶ θηρία, ἀλλ᾽ οὐ μοιχικά, ἀλλ᾽ οὐ μάχλα, παρὰ φύσιν δὲ θηρεύει ἡδονὴν οὐδὲ ἕν. οἱ δὲ ὁποῖοι; τί καὶ χρὴ λέγειν ἔτι, ἀποχρώντως αὐτῶν διεληλεγμένων; ἀλλ᾽ οὖν γε Αἰγύπτιοι, ὧν νῦν δὴ ἐμνήσθην, κατὰ τὰς θρη- **P. 34 Pott.** σκείας τὰς σφῶν ἐσκέδανται· σέβουσι δὲ αὐτῶν Συηνῖται φάγρον τὸν ἰχθύν, μαιώτην δέ, ὃς ἄλλος οὗτος ἰχθύς, οἱ τὴν Ἐλεφαντίνην οἰκοῦντες, Ὀξυρυγχῖται τὸν φερώνυμον τῆς χώρας αὐτῶν, ὁμοίως ἰχθύν, ἔτι γε μὴν Ἡρακλεοπολῖται ἰχνεύμονα, Σαΐται δὲ καὶ Θηβαῖοι πρόβατον, Λυκοπολῖται δὲ λύκον, Κυνο-

πολῖται δὲ κύνα, τὸν Ἆπιν Μεμφῖται, Μενδήσιοι τὸν τράγον. ὑμεῖς δὲ οἱ πάντ᾽ ἀμείνους Αἰγυπτίων — ὀκνῶ δὲ εἰπεῖν χείρους —, οἳ τοὺς Αἰγυπτίους ὁσημέραι γελῶντες οὐ παύεσθε, ὁποῖοί τινες καὶ περὶ τὰ ἄλογα ζῶα; Θεσσαλοὶ μὲν ὑμῶν τοὺς πελάργους τετιμήκασι διὰ τὴν συνήθειαν, Θηβαῖοι δὲ τὰς γαλᾶς διὰ τὴν Ἡρακλέους γένεσιν. τί δαὶ πάλιν οἱ Θετταλοί; μύρμηκας ἱστοροῦνται σέβειν, ἐπεὶ τὸν Δία μεμαθήκασιν ὁμοιωθέντα μύρμηκι τῇ Κλήτορος θυγατρὶ Εὐρυμεδούσῃ μιγῆναι καὶ Μυρμηδόνα γεννῆσαι. Πολέμων δὲ τοὺς ἀμφὶ τὴν Τρωάδα κατοικοῦντας ἱστορεῖ τοὺς ἐπιχωρίους μῦς, οὓς σμίνθους καλοῦσιν, ὅτι τὰς νευρὰς τῶν πολεμίων διέτρωγον τῶν τόξων· καὶ Σμίνθιον Ἀπόλλωνα ἀπὸ τῶν μυῶν ἐκείνων ἐπεφήμισαν. Ἡρακλείδης δὲ ἐν κτίσεσιν ἱερῶν περὶ τὴν Ἀκαρνανίαν φησὶν, ἔνθα τὸ Ἄκτιόν ἐστιν ἀκρωτήριον καὶ τοῦ Ἀπόλλωνος τοῦ Ἀκτίου τὸ ἱερὸν, ταῖς μυίαις προθύεσθαι βοῦν. οὐδὲ μὴν Σαμίων ἐκλήσομαι· P. 12 Sylb. πρόβατον, ὥς φησιν Εὐφορίων, σέβουσι Σάμιοι· οὐδέ γε τῶν τὴν Φοινίκην Σύρων κατοικούντων, P. 35 Pott. ὧν οἱ μὲν τὰς περιστεράς, οἱ δὲ τοὺς ἰχθῦς οὕτω σέβουσι περιττῶς, ὡς Ἠλεῖοι τὸν Δία.

§. 40. Εἶεν δή· ἐπειδὴ οὐ θεοὶ, οὓς θρησκεύετε, αὖθις ἐπισκέψασθαί μοι δοκεῖ, εἰ ὄντως εἶεν δαίμονες, δευτέρᾳ ταύτῃ, ὥς ὑμεῖς φατὲ, ἐγκαταλεγόμενοι τάξει. εἰ γὰρ οὖν δαίμονες λίχνοι τε καὶ μιαροὶ, ἔστι μὲν ἐφευρεῖν καὶ ἀναφανδὸν οὕτω κατὰ πόλεις δαίμονας ἐπιχωρίους, τιμὴν ἐπιδρεπομένους· παρὰ Κυθνίοις Μενέδημον, παρὰ Τηνίοις Καλλισταγόραν, παρὰ Δηλίοις Ἄνιον, παρὰ Λάκωσιν Ἀστράβακον. τιμᾶται δέ τις καὶ Φαληροῖ κατὰ πρύμναν ἥρως· καὶ ἡ Πυθία συνέταξε θύειν Πλαταιεῦσιν Ἀνδροκράτει καὶ Δημοκράτει καὶ Κυκλαίῳ καὶ Λεύκωνι τῶν Μηδικῶν ἀκμαζόντων ἀγώνων.

§. 41. Ἔστι καὶ ἄλλους παμπόλλους συνιδεῖν δαίμονας τῷ γε καὶ σμικρὸν διαθρεῖν δυναμένῳ·

τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ
δαίμονες ἀθάνατοι, φύλακες μερόπων ἀνθρώπων*).

τίνες εἰσὶν οἱ φύλακες, ὦ Βοιώτιε, μὴ φθονέσῃς λέγειν. ἢ δῆλον ὡς οὗτοι καὶ οἱ τούτων ἐπιτιμότεροι, οἱ μεγάλοι δαίμονες, ὁ Ἀπόλλων, ἡ Ἄρτεμις, ἡ Λητὼ, ἡ Δημήτηρ, ἡ Κόρη, ὁ Πλούτων, ὁ Ἡρακλῆς, αὐτὸς ὁ Ζεύς· ἀλλ᾽ οὐκ ἀποδρᾶναι ἡμᾶς φυλάττουσιν, Ἀσκραῖε· μὴ ἁμαρτάνειν δὲ ἴσως, οἱ ἁμαρτιῶν δῆτα οὐ πεπειραμένοι. ἐνταῦθα δὴ τὸ παροιμιῶδες ἐπιφθέγξασθαι ἁρμόττει· πατὴρ ἀνουθέτητος παῖδα νουθετεῖ. εἰ δ᾽ ἄρα καὶ εἰσὶ φύλακες οὗτοι, οὐκ εὐνοίᾳ τῇ πρὸς ἡμᾶς περιπαθεῖς, τῆς δὲ ὑμεδαπῆς ἀπωλείας ἐχόμενοι, κολάκων δίκην ἐγχρίμπτονται τῷ βίῳ, δελεαζόμενοι καπνῷ. αὐτοί που ἐξομολογοῦνται οἱ δαίμονες τὴν γαστριμαργίαν τὴν αὐτῶν,

λοιβῆς τε κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας
ἡμεῖς **) P. 39

λέγοντες. τίνα δ᾽ ἂν φωνὴν ἄλλην, εἰ φωνὴν λάβοιεν Αἰγυπτίων θεοὶ, οἷα αἴλουροι καὶ γαλαῖ, προήσονται ἢ τὴν Ὁμηρικήν τε καὶ ποιητικὴν, τῆς κνίσης τε καὶ ὀψαρτυτικῆς φίλην; τοιοίδε μέντοι παρ᾽ ὑμῖν οἵ τε δαίμονες καὶ οἱ θεοὶ καὶ εἴ τινες ἡμίθεοι, ὥσπερ ἡμίονοι, κέκληνται· οὐδὲ γὰρ οὐδὲ ὀνομάτων ὑμῖν πενία πρὸς τὰς τῆς ἀσεβείας συνθέσεις. Pott.

Cap. III.

§. 42. Φέρε δὴ οὖν καὶ τοῦτο προσθῶμεν, ὡς ἀπάνθρωποι καὶ μισάνθρωποι δαίμονες εἶεν ὑμῶν οἱ θεοὶ καὶ οὐχὶ μόνον ἐπιχαίροντες τῇ φρενοβλαβείᾳ τῶν ἀνθρώπων, πρὸς δὲ καὶ ἀνθρωποκτονίας ἀπολαύοντες· νυνὶ μὲν τὰς ἐν σταδίοις ἐνόπλους φιλονει-

---

*) Hesiod. ἔργ. καὶ ἡμ. 250 sqq. **) Hom. Il. δ. 49.

κίας, νυνὶ δὲ τὰς ἐν πολέμοις ἀναρίθμους φιλοτιμίας, ἀφορμὰς σφίσιν ἡδονῆς ποριζόμενοι, ὅπως ὅτι μάλιστα ἔχοιεν ἀνθρωπείων ἀνέδην ἐμφορεῖσθαι φόνων· ἤδη δὲ κατὰ πόλεις καὶ ἔθνη, οἱονεὶ λοιμοὶ ἐπισκήψαντες, σπονδὰς ἀπήτησαν ἀνημέρους. Ἀριστομένης γοῦν ὁ Μεσσήνιος τῷ Ἰθωμήτῃ Διῒ τριακοσίους ἀπέσφαξε, τοσαύτας ὁμοῦ καὶ τοιαύτας καλλιερεῖν οἰόμενος ἑκατόμβας· ἐν οἷς καὶ Θεόπομπος ἦν Λακεδαιμονίων βασιλεὺς, ἱερεῖον εὐγενές. Ταῦροι δὲ τὸ ἔθνος, οἱ περὶ τὴν Ταυρικὴν χερρόνησον κατοικοῦντες, οὓς ἂν τῶν ξένων παρ' αὐτοῖς ἕλωσι, τούτων δὴ τῶν κατὰ θάλασσαν ἐπταικότων, αὐτίκα μάλα τῇ Ταυρικῇ καταθύουσιν Ἀρτέμιδι· ταύτας σοῦ τὰς θυσίας Εὐριπίδης ἐπὶ σκηνῆς τραγῳδεῖ. Μόνιμος δ' ἱστορεῖ ἐν τῇ τῶν θαυμασίων συναγωγῇ, ἐν Πέλλῃ τῆς Θετταλίας Ἀχαιὸν ἄνθρωπον Πηλεῖ καὶ Χείρωνι καταθύεσθαι· Λυκτίους γὰρ — Κρητῶν δὲ ἔθνος εἰσὶν οὗτοι — Ἀντικλείδης ἐν νόστοις ἀποφαίνεται ἀνθρώπους ἀποσφάττειν τῷ Διῒ, καὶ Λεσβίους Διονύσῳ τὴν ὁμοίαν προσάγειν θυσίαν Δωσίδας λέγει· Φωκαεῖς δὲ — οὐδὲ γὰρ αὐτοὺς παραπέμψομαι τούτους — Πυθοκλῆς ἐν τρίτῳ περὶ ὁμονοίας τῇ Ταυροπόλῳ Ἀρτέμιδι ἄνθρωπον ὁλοκαεῖν ἱστορεῖ. P. 37 Pott. Ἐρεχθεὺς δὲ ὁ Ἀττικὸς καὶ Μάριος ὁ Ῥωμαῖος τὰς αὑτῶν ἐθυσάτην θυγατέρας· ὧν ὁ μὲν τῇ Φερεφάττῃ, ὡς Δημάρατος ἐν πρώτῃ τραγῳδουμένων, ὁ δὲ τοῖς ἀποτροπαίοις, ὁ Μάριος, ὡς Δωρόθεος ἐν τῇ τετάρτῃ Ἰταλικῶν ἱστορεῖ. φιλάνθρωποί γε ἐκ τούτων καταφαίνονται οἱ δαίμονες· πῶς δὲ οὐχ ὅσιοι ἀναλόγως οἱ δεισιδαίμονες; οἱ μὲν σωτῆρες εὐφημούμενοι, οἱ δὲ σωτηρίαν αἰτούμενοι παρὰ τῶν ἐπιβούλων σωτηρίας. καλλιερεῖν γοῦν τοπάζοντες αὑτοῖς σφᾶς αὐτοὺς λελήθασιν ἀποσφάττοντες ἀνθρώπους. οὐ γὰρ οὖν παρὰ τὸν τόπον ἱερεῖον γίνεται ὁ φόνος· οὐδ' εἰ Ἀρτέμιδί τις καὶ Διῒ ἐν ἱερῷ δῆθεν χωρίῳ μᾶλλον ἢ ὀργῇ καὶ φιλαργυρίᾳ, ἄλλοις ὁμοίοις δαί-

μοσιν ἐπὶ βωμοῖς ἢ ἐν ὁδοῖς ἀποσφάττοι τὸν ἄνθρωπον, ἱερὸν ἱερεῖον ἐπιφημίσας· ἀλλὰ φόνος ἐστὶ καὶ ἀνδροκτασία ἡ τοιαύτη θυσία.

§. 43. Τί δὴ οὖν, ὦ σοφώτατοι τῶν ἄλλων ζώων ἄνθρωποι, τὰ μὲν θηρία περιφεύγομεν τὰ ἀνήμερα, κἄν που περιτύχωμεν ἄρκτῳ ἢ λέοντι, ἐκτρεπόμεθα,

ὡς δ᾽ ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη
οὔρεος ἐν βήσσης, ὑπό τε τρόμος ἔλλαβε γυῖα,
ἄψ τ᾽ ἀνεχώρησεν *)·

δαίμονας δὲ ὀλεθρίους καὶ ἀλιτηρίους, ἐπιβούλους τε
καὶ μισανθρώπους καὶ λυμεῶνας ὄντας προαισθό- P. 38
μενοι καὶ συνιέντες οὐκ ἐκτρέπεσθε οὐδὲ ἀποστρέ- Pott.
φεσθε; τί δ᾽ ἂν καὶ ἀληθεύσαιεν οἱ κακοὶ, ἢ τίνα
ἂν ὠφελήσαιεν; αὐτίκα γοῦν ἔχω σοὶ βελτίονα τῶν
ὑμεδαπῶν τούτων θεῶν, τῶν δαιμόνων, ἐπιδεῖξαι τὸν
P. 13 ἄνθρωπον· τοῦ Ἀπόλλωνος τοῦ μαντικοῦ τὸν Κύ-
Sylb. ρον καὶ τὸν Σόλωνα. φιλόδωρος ὑμῶν ὁ Φοῖβος, ἀλλ᾽ οὐ φιλάνθρωπος. προὔδωκε τὸν Κροῖσον τὸν φίλον καὶ τοῦ μισθοῦ ἐκλαθόμενος — οὕτω φιλόδοξος ἦν — ἀνήγαγε τὸν Κροῖσον διὰ τοῦ Ἅλυος ἐπὶ τὴν πυράν. οὕτω φιλοῦντες οἱ δαίμονες ὁδηγοῦσιν εἰς τὸ πῦρ. ἀλλ᾽ ὦ φιλανθρωπότερε καὶ ἀληθέστερε τοῦ Ἀπόλλωνος ἄνθρωπε, τὸν ἐπὶ τῆς πυρᾶς οἴκτειρον δεδεμένον, καὶ σὺ μὲν, ὦ Σόλων, μάντευσαι τὴν ἀλήθειαν, σὺ δὲ, ὦ Κῦρε, κέλευσον ἀποσβεσθῆναι τὴν πυρὰν, σωφρόνησον ὕστατον γοῦν, ὦ Κροῖσε, τῷ πάθει μεταμαθών· ἀχάριστός ἐστιν ὃν προσκυνεῖς· λαμβάνει τὸν μισθὸν καὶ μετὰ τὸ χρυσίον ψεύδεται. [ὦ Σόλων,] ὅρα πάλιν τέλος· ἄρα οὐχ ὁ δαίμων, ἀλλὰ ὁ ἄνθρωπός σοι λέγει. οὐ λοξὰ μαντεύεται Σόλων· τοῦτον εὖ θήσεις. ἀληθῆ μόνον, ὦ βάρβαρε, τὸν χρησμὸν τοῦτον ἐπὶ τῆς πυρᾶς δοκιμάσεις.

---

*) Hom. Il. γ. 33 sqq.

§. 44. Ὅθεν ἔπεισί μοι θαυμάζειν, τίσι ποτὲ φαντασίαις ἀπαχθέντες οἱ πρῶτοι πεπλανημένοι δεισιδαιμονίαν ἀνθρώποις κατήγγειλαν, δαίμονας ἀλιτηρίους νομοθετοῦντες σέβειν· εἴτε Φορωνεὺς ἐκεῖνος ἦν εἴτε Μέροψ εἴτε ἄλλος τις, οἱ νεὼς καὶ βωμοὺς ἀνέστησαν αὐτοῖς, πρὸς δὲ καὶ θυσίας παραστῆσαι μόνοι μεμύθευνται. καὶ γὰρ δὴ καὶ κατὰ χρόνους ὕστερον ἀνέπλαττον θεοὺς, οἷς προσκυνοῖεν. ἀμέλει τὸν Ἔρωτα τοῦτον ἐν τοῖς πρεσβυτάτοις τῶν θεῶν εἶναι λεγόμενον ἐτίμα πρότερον οὐδ᾽ εἷς, πρὶν ἢ Χάρμον μειράκιόν τι ἑλεῖν καὶ βωμὸν ἱδρύσασθαι ἐν Ἀκαδημίᾳ χαριστήριον ἐπιτελοῦς γενομένης ἐπιθυμίας· καὶ τῆς νόσου τὴν ἀσέλγειαν Ἔρωτα κεκλήκασι, θεοποιοῦντες ἀκόλαστον ἐπιθυμίαν. Ἀθηναῖοι δὲ οὐδὲ τὸν Πᾶνα ᾔδεσαν ὅστις ἦν, πρὶν ἢ Φιλιππίδην P. 39 Pott. εἰπεῖν αὐτοῖς. εἰκότως ἄρα ἀρχήν ποθεν ἡ δεισιδαιμονία λαβοῦσα κακίας ἀνοήτου γέγονε πηγή· εἶτα δὲ μὴ ἀνακοπεῖσα, ἀλλ᾽ εἰς ἐπίδοσιν ἐλθοῦσα καὶ πολλὴ δὴ ῥυεῖσα, δημιουργὸς πολλῶν καθίσταται δαιμόνων, ἑκατόμβας θύουσα καὶ πανηγύρεις ἐπιτελοῦσα καὶ ἀγάλματα ἀνιστᾶσα καὶ νεὼς ἀνοικοδομοῦσα. οὓς δὴ, οὐδὲ γὰρ οὐδὲ τούτους σιωπήσομαι, πρὸς δὲ καὶ αὐτοὺς ἐξελέγξω, νεὼς μὲν εὐφήμως ὀνομαζομένους, τάφους δὲ γενομένους, τουτέστι τοὺς τάφους νεὼς ἐπικεκλημένους. ὑμεῖς δὲ ἀλλὰ κἂν νῦν δεισιδαιμονίας ἐκλάθεσθε, τοὺς τάφους τιμᾶν αἰσχυνόμενοι.

§. 45. Ἐν τῷ νεῷ τῆς Ἀθηνᾶς ἐν Λαρίσσῃ ἐν τῇ ἀκροπόλει τάφος ἐστὶν Ἀκρισίου, Ἀθήνῃσι δὲ ἐν ἀκροπόλει Κέκροπος, ὥς φησιν Ἀντίοχος ἐν τῷ ἐννάτῳ τῶν ἱστοριῶν. τί δὲ Ἐριχθόνιος; οὐχὶ ἐν τῷ νεῷ τῆς Πολιάδος κεκήδευται; Ἴμμαρος δὲ ὁ Εὐμόλπου καὶ Δαείρας οὐχὶ ἐν τῷ περιβόλῳ τοῦ Ἐλευσινίου τοῦ ὑπὸ τῇ ἀκροπόλει; αἱ δὲ Κελεοῦ θυγατέρες οὐχὶ ἐν Ἐλευσῖνι τετάφαται; τί σοι καταλέγω τὰς Ὑπερβορέων γυναῖκας; Ὑπερόχη καὶ Λαοδίκη κέκλησθον,

ἐν τῷ Ἀρτεμισίῳ ἐν Δήλῳ κεκήδευσθον, τὸ δὲ ἐν τῷ Ἀπόλλωνος τοῦ Δηλίου ἐστὶν ἱερῷ. Λεάνδριος δὲ Κλέαρχον ἐν Μιλήτῳ τεθάφθαι ἐν τῷ Διδυμαίῳ φησίν. ἐνταῦθα τῆς Λευκοφρύνης τὸ μνημεῖον οὐκ ἄξιον παρελθεῖν ἑπομένους Ζήνωνι τῷ Μυνδίῳ, ἣ P. 40
ἐν τῷ ἱερῷ τῆς Ἀρτέμιδος ἐν Μαγνησίᾳ κεκήδευ- Pott.
ται, οὐδὲ μὴν τὸν ἐν Τελμισσῷ βωμὸν τοῦ Ἀπόλλωνος, [ὃν] μνῆμα εἶναι καὶ τοῦτον Τελμισσέως τοῦ μάντεως ἱστοροῦσιν. Πτολεμαῖος δὲ ὁ τοῦ Ἀγησάρχου ἐν τῷ πρώτῳ τῶν περὶ τὸν Φιλοπάτορα ἐν Πάφῳ λέγει ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ Κινύραν τε καὶ τοὺς Κινύρου ἀπογόνους κεκηδεῦσθαι. ἀλλὰ γὰρ ἐπιόντι μοὶ τοὺς προσκυνουμένους ὑμῖν τάφους, ἐμοὶ μὲν οὐδ' ὁ πᾶς ἂν ἀρκέσαι χρόνος· ὑμᾶς δὲ εἰ μὴ ὑπεισέρχεταί τις αἰσχύνη τῶν τολμωμένων νεκροὶ ἄρα τέλεον ὄντες, νεκροῖς ὄντως πεπιστευκότες περιέρχεσθε·

ἆ δειλοὶ, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί *).

Cap. IV.

§. 46. Εἰ δ' ἔτι πρὸς τούτοις φέρων ὑμῖν τὰ ἀγάλματα αὐτὰ ἐπισκοπεῖν παραθείην, ἐπιόντες ὡς ἀληθῶς λῆρον εὑρήσετε τὴν συνήθειαν, ἔργα χειρῶν ἀνθρώπων ἀναίσθητα προστρεπόμενοι. πάλαι μὲν οὖν οἱ Σκύθαι τὸν ἀκινάκην, οἱ Ἄραβες τὸν λίθον, οἱ Πέρσαι τὸν ποταμὸν προσεκύνουν, καὶ τῶν ἄλλων ἀνθρώπων οἱ ἔτι παλαιότεροι ξύλα ἱδρύοντο περιφανῆ καὶ κίονας ἵστων ἐκ λίθων· ἃ δὴ καὶ ξόανα προσηγορεύετο διὰ τὸ ἀπεξέσθαι τῆς ὕλης. ἀμέλει ἐν Ἰκάρῳ τῆς Ἀρτέμιδος τὸ ἄγαλμα ξύλον ἦν οὐκ

*) Hom. Od. υ. 351 sqq.

εἰργασμένον· καὶ τῆς Κιθαιρωνίας Ἥρας ἐν Θεσπίᾳ πρέμνον ἐκκεκομμένον· καὶ τὸ τῆς Σαμίας Ἥρας, ὥς φησιν Ἀέθλιος, πρότερον μὲν ἦν σανὶς, ὕστερον δὲ ἐπὶ Προκλέους ἄρχοντος ἀνδριαντοειδὲς ἐγένετο. ἐπεὶ δὲ ἀνθρώποις ἀπεικονίζεσθαι τὰ ξόανα ἤρξαν- P. 41
το, βρέτη τὴν ἐκ βροτῶν ἐπωνυμίαν ἐκαρπώσατο. Pott.
ἐν Ῥώμῃ δὲ τὸ παλαιὸν δόρυ φησὶν γεγονέναι τοῦ Ἄρεως τὸ ξόανον Οὐάρρων ὁ συγγραφεὺς, οὐδέπω τῶν τεχνιτῶν ἐπὶ τὴν εὐπρόσωπον ταύτην κακοτεχνίαν ὡρμηκότων. ἐπειδὴ δὲ ἤνθησεν ἡ τέχνη, ηὔξησεν ἡ πλάνη.

§. 47. Ὡς μὲν οὖν τοὺς λίθους καὶ τὰ ξύλα καὶ συνελόντι φάναι τὴν ὕλην ἀγάλματα ἀνδρίκελα ἐποιήσατε, οἷς ἐπιμορφάζετε εὐσέβειαν συκοφαντοῦντες τὴν ἀλήθειαν, ἤδη μὲν αὐτόθεν δῆλον· οὐ μὴν ἀλλὰ καὶ ἀποδείξεως ποσῆς ἐπιδεομένου τοῦ τόπου οὐ παραιτητέον. τὸν μὲν οὖν Ὀλυμπιάσι Δία καὶ τὴν Ἀθήνησιν Πολιάδα ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατασκευάσαι Φειδίαν παντί που σαφές· τὸ δὲ ἐν Σάμῳ τῆς Ἥρας ξόανον σμίλῃ τῇ Εὐκλείδου πεποιῆσθαι Ὀλύμπιχος ἐν Σαμιακοῖς ἱστορεῖ. μὴ οὖν ἀμφιβάλλετε, εἰ τῶν σεμνῶν Ἀθήνησιν καλουμένων
P. 14 θεῶν τὰς μὲν δύο Σκοπᾶς ἐποίησεν ἐκ τοῦ κα-
Sylb. λουμένου λυχνέως λίθου, Κάλως δὲ, ἣν μέσην αὐταῖν ἱστοροῦνται ἔχουσαι, Πολέμωνα δεικνύναι ἐν τῇ τετάρτῃ τῶν πρὸς Τίμαιον, μηδὲ τὰ ἐν Πατάροις τῆς Λυκίας ἀγάλματα Διὸς καὶ Ἀπόλλωνος, ἃ Φειδίας πάλιν ἐκεῖνα τὰ ἀγάλματα καθάπερ τοὺς λέοντας τοὺς σὺν αὐτοῖς ἀνακειμένους εἴργασται· εἰ δὲ, ὥς φασί τινες, Βρυάξιος ἦν τέχνη, οὐ διαφέρομαι, ἔχεις καὶ τοῦτον ἀγαλματουργόν· ὁπότερον αὐτοῖν βούλει, ἐπίγραφε. καὶ μὴν Τελεσίου τοῦ Ἀθηναίου, ὥς φησι Φιλόχορος, ἔργον εἰσὶν ἀγάλματα ἐννεαπήχη Ποσειδῶνος καὶ Ἀμφιτρίτης ἐν Τήνῳ προσκυνούμενα. Δημήτριος γὰρ ἐν δευτέρῳ τῶν Ἀργολικῶν τοῦ ἐν Τίρυνθι τῆς Ἥρας ξοάνου καὶ τὴν ὕλην

ὄγχνην καὶ τὸν ποιητὴν Ἄργον ἀναγράφει. πολλοὶ δ᾽ ἂν τάχα ποὺ θαυμάσειαν, εἰ μάθοιεν τὸ Παλ- P. 42 λάδιον τὸ διοπετὲς καλούμενον, ὃ Διομήδης καὶ Pott. Ὀδυσσεὺς ἱστοροῦνται μὲν ὑφελέσθαι ἀπὸ Ἰλίου, παρακαταθέσθαι δὲ Δημοφῶντι, ἐκ τῶν Πέλοπος ὀστῶν κατεσκευάσθαι, καθάπερ τὸν Ὀλύμπιον ἐξ ἄλλων ὀστῶν Ἰνδικοῦ θηρίου. καὶ δὴ τὸν ἱστοροῦντα Διονύσιον ἐν τῷ πέμπτῳ μέρει τοῦ κύκλου παρίστημι. Ἀπελλᾶς δὲ ἐν τοῖς Δελφικοῖς δύο φησὶ γεγονέναι τὰ Παλλάδια, ἄμφω δ᾽ ὑπ᾽ ἀνθρώπων δεδημιουργῆσθαι. ἀλλ᾽ ὅπως μηδεὶς ὑπολάβῃ καὶ ταῦτά με ἀγνοίᾳ παρεικέναι, παραθήσομαι τοῦ Μορύχου Διονύσου τὸ ἄγαλμα Ἀθήνησι γεγονέναι μὲν ἐκ τοῦ φελλάτα καλουμένου λίθου, ἔργον δὲ εἶναι Σίμωνος τοῦ Εὐπαλάμου, ὥς φησι Πολέμων ἔν τινι ἐπιστολῇ. ἐγενέσθην δὲ καὶ ἄλλω τινὲ δύω Κρητικὼ οἶμαι ἀνδριαντοποιὼ — Σκύλης καὶ Δίποινος ὠνομαζέσθην —, τούτω δὲ τὰ ἐν Ἄργει τοῖν Διοσκούροιν ἀγάλματα κατεσκευασάτην καὶ τὸν ἐν Τίρυνθι Ἡρακλέους ἀνδριάντα καὶ τὸ τῆς Μουνυχίας Ἀρτέμιδος ξόανον ἐν Σικυῶνι.

§. 48. Καὶ τί περὶ ταῦτα διατρίβω, ἐξὸν αὐτὸν τὸν μεγαλοδαίμονα ὑμῖν ἐπιδεῖξαι ὅστις ἦν; ὃν δὴ κατ᾽ ἐξοχὴν πρὸς πάντων σεβασμοῦ κατηξιωμένον ἀκούομεν, τοῦτον ἀχειροποίητον εἰπεῖν τετολμήκασιν, τὸν Αἰγύπτιον Σάραπιν. οἱ μὲν γὰρ αὐτὸν ἱστοροῦσι χαριστήριον ὑπὸ Σινωπέων Πτολεμαίῳ τῷ Φιλαδέλφῳ τῷ Αἰγυπτίων πεμφθῆναι βασιλεῖ, ὃς λιμῷ τρυχομένους αὐτοὺς, ἀπ᾽ Αἰγύπτου μεταπεμψάμενος σῖτον ὁ Πτολεμαῖος, ἀνεκτήσατο· εἶναι δὲ τὸ ξόανον τοῦτο ἄγαλμα Πλούτωνος, ὃς δεξάμενος τὸν ἀνδριάντα καθίδρυσεν ἐπὶ τῆς ἄκρας, ἣν νῦν Ῥακῶτιν καλοῦσιν, ἔνθα καὶ τὸ ἱερὸν τετίμηται τοῦ Σαράπιδος, γειτνιᾷ δὲ τοῖς τόποις τὸ χωρίον. Βλίστιχιν δὲ τὴν παλλακίδα τελευτήσασαν ἐν Κανώβῳ μεταγαγὼν ὁ Πτολεμαῖος ἔθαψεν ὑπὸ τὸν προδεδη-

λωμένον σηκόν. ἄλλοι δέ φασιν Ποντικὸν εἶναι βρέτας τὸν Σάραπιν, μετῆχθαι δὲ εἰς Ἀλεξάνδρειαν μετὰ τιμῆς πανηγυρικῆς. Ἰσίδωρος μόνος παρὰ Σελευκέων τῶν πρὸς Ἀντιόχειαν τὸ ἄγαλμα μεταχθῆναι λέγει, ἐν σιτοδείᾳ καὶ αὐτῶν γενομένων καὶ ὑπὸ P. 43 Pott. Πτολεμαίου διατραφέντων. ἀλλ᾽ ὅ γε Ἀθηνόδωρος ὁ τοῦ Σάνδωνος ἀρχαΐζειν τὸν Σάραπιν βουληθεὶς οὐκ οἶδ᾽ ὅπως περιέπεσεν, ἐλέγξας αὐτὸν ἄγαλμα εἶναι γενητόν· Σέσωστρίν φησι τὸν Αἰγύπτιον βασιλέα τὰ πλεῖστα τῶν παρ᾽ Ἕλλησι παραστησάμενον ἐθνῶν, ἐπανελθόντα εἰς Αἴγυπτον ἐπαγαγέσθαι τεχνίτας ἱκανούς· τὸν οὖν Ὄσιριν τὸν προπάτορα τὸν αὐτοῦ δαιδαλθῆναι ἐκέλευσεν αὐτὸς πολυτελῶς, κατασκευάζει δὲ αὐτὸν Βρύαξις ὁ δημιουργός, οὐχ ὁ Ἀθηναῖος, ἄλλος δέ τις ὁμώνυμος ἐκείνῳ τῷ Βρυάξιδι· ὃς ὕλῃ κατακέχρηται εἰς δημιουργίαν μικτῇ καὶ ποικίλῃ. ῥίνημα γὰρ χρυσοῦ ἦν αὐτῷ καὶ ἀργύρου, χαλκοῦ τε καὶ σιδήρου καὶ μολύβδου, πρὸς δὲ καὶ κασσιτέρου, λίθων δὲ Αἰγυπτίων ἐνέδει οὐδὲ εἷς, σαπφείρου καὶ αἱματίτου θραύσματα σμαράγδου τε, ἀλλὰ καὶ τοπαζίου. λεάνας οὖν τὰ πάντα καὶ ἀναμίξας ἔχρωσε κυάνῳ, οὗ δὴ χάριν μελάντερον τὸ χρῶμα τοῦ ἀγάλματος, καὶ τῷ ἐκ τῆς Ὀσίριδος καὶ τοῦ Ἄπιος κηδείας ὑπολελειμμένῳ φαρμάκῳ φυράσας τὰ πάντα διέπλασεν τὸν Σάραπιν· οὗ καὶ τοὔνομα αἰνίττεται τὴν κοινωνίαν τῆς κηδείας καὶ τὴν ἐκ τῆς ταφῆς δημιουργίαν, σύνθετον ἀπό τε Ὀσίριδος καὶ Ἄπιος γενόμενον Ὀσίραπις.

§. 49. Καινὸν δὲ ἄλλον ἐν Αἰγύπτῳ, ὀλίγου δεῖν καὶ παρ᾽ Ἕλλησι, σεβασμίως τεθείακε θεὸν ὁ βασιλεὺς ὁ Ῥωμαίων τὸν ἐρώμενον ὡραιότατον τῶν σφόδρα γενόμενον Ἀντίνοον, ὃν ἀνιέρωσεν οὕτως, ὡς Γανυμήδην ὁ Ζεύς· οὐ γὰρ κωλύεται ῥαδίως ἐπιθυμία φόβον οὐκ ἔχουσα· καὶ νύκτας ἱερὰς τὰς Ἀντινόου προσκυνοῦσιν ἄνθρωποι νῦν, ἃς αἰσχρὰς ἠπίστατο ὁ συναγρυπνήσας ἐραστής. τί μοι θεὸν καταλέγεις τὸν

πορνείᾳ τετιμημένον; τί δὲ καὶ ὡς υἱὸν θρηνεῖσθαι προσέταξας; τί δὲ καὶ τὸ κάλλος αὐτοῦ διηγῇ; αἰσχρόν ἐστι τὸ κάλλος ὕβρει μεμαραμμένον. μὴ τυραννήσῃς, ἄνθρωπε, τοῦ κάλλους μηδὲ ἐνυβρίσῃς ἀνθοῦντι τῷ νέῳ· τήρησον αὐτὸ καθαρὸν, ἵνα ᾖ καλόν. βασιλεὺς τοῦ κάλλους γενοῦ, μὴ τύραννος· ἐλεύθερος μεινάτω· τότε σοῦ γνωρίσω τὸ κάλλος, ὅτι καθαρὰν τετήρηκας τὴν εἰκόνα· τότε προσκυνήσω τὸ κάλ- P. 44 λος τὸ ἀληθινὸν, ὃ ἀρχέτυπόν ἐστι τῶν καλῶν. Pott. ἤδη δὲ ὁ τάφος τοῦ ἐρωμένου νεώς ἐστιν Ἀντινόου καὶ πόλις· καθάπερ γὰρ οἶμαι οἱ ναοὶ, οὕτω δὲ καὶ οἱ τάφοι θαυμάζονται, πυραμίδες καὶ μαυσώλια καὶ λαβύρινθοι· ἄλλοι ναοὶ τῶν νεκρῶν, ὡς ἐκεῖνοι τάφοι τῶν θεῶν.

§. 50. Διδάσκαλον δὲ ὑμῖν παραθήσομαι τὴν προφῆτιν Σίβυλλαν,

P. 15 οὐ ψεῦδος Φοίβου χρησμηγόρου, ὅν τε μάταιοι
Sylb. ἄνθρωποι θεὸν εἶπον, ἐπεψεύσαντο δὲ μάντιν·
ἀλλὰ θεοῦ μεγάλοιο, τὸν οὐ χέρες ἔπλασαν ἀνδρῶν,
εἰδώλοις ἀλάλοισι λιθοξέστοισιν ὅμοιον.

αὕτη μέντοι ἐρείπια τοὺς νεὼς προσαγορεύει, τὸν μὲν τῆς Ἐφεσίας Ἀρτέμιδος χάσμασι καὶ σεισμοῖς καταποντίσεσθαι προμηνύουσα οὕτως,

ὕπτια δ᾽ οἰμώξει Ἔφεσος κλαίουσα παρ᾽ ὄχθαις
καὶ νηὸν ζητοῦσα τὸν οὐκέτι ναιετάοντα·

τὸν δὲ Ἴσιδος καὶ Σαράπιδος ἐν Αἰγύπτῳ κατενεχθήσεσθαί φησι καὶ ἐμπρησθήσεσθαι·

Ἶσι, θεὰ τριτάλαινα, μενεῖς ἐπὶ χεύμασι Νείλου
μούνη, μαινὰς, ἄναυδος ἐπὶ ψαμάθοις Ἀχέροντος,

εἶτα ὑποβᾶσα·

καὶ σὺ, Σάραπι, λίθους ἀργοὺς ἐπικείμενε πολλοὺς,
κείσῃ πτῶμα μέγιστον ἐν Αἰγύπτῳ τριταλαίνῃ.

σὺ δὲ ἀλλ᾽ εἰ μὴ προφήτιδος ἐπακούεις, τοῦ γε σοῦ ἄκουσον φιλοσόφου, τοῦ Ἐφεσίου Ἡρακλείτου, τὴν ἀναισθησίαν ὀνειδίζοντος τοῖς ἀγάλμασι· καὶ τοῖσι

ἀγάλμασι τουτέοισι εὔχονται, ὁκοῖον εἴ τις τοῖσι δόμοισι λεσχηνεύοιτο. ἢ γὰρ οὐχὶ τερατώδεις οἱ λίθους προστρεπόμενοι· εἶτα μέντοι καὶ πρὸ τῶν πυλῶν ἱστάντες αὐτοὺς, ὡς ἐνεργεῖς, Ἑρμῆν προσκυνοῦσιν ὡς θεὸν καὶ τὸν Ἀγυιέα θυρωρὸν ἱστάντες; εἰ γὰρ ὡς ἀναισθήτους ὑβρίζουσιν, τί προσκυνοῦσιν ὡς θεούς; εἰ δὲ αἰσθήσεως αὐτοὺς μετέχειν οἴονται, τί τούτους ἱστᾶσι θυρωρούς;

§. 51. Ῥωμαῖοι δὲ τὰ μέγιστα κατορθώματα τῇ τύχῃ ἀνατιθέντες καὶ ταύτην μεγίστην οἰόμενοι P. 45 Pott. θεὸν, φέροντες εἰς τὸν κοπρῶνα ἀνέθηκαν αὐτὴν, ἄξιον νεὼν τὸν ἀφεδρῶνα νείμαντες τῇ θεῷ. ἀλλὰ γὰρ ἀναισθήτῳ λίθῳ καὶ ξύλῳ καὶ χρυσίῳ πλουσίῳ οὐδ᾽ ὁτιοῦν μέλει οὐ κνίσης, οὐχ αἵματος, οὐ καπνοῦ, ᾧ δὴ τιμώμενοι καὶ τυφόμενοι ἐκμελαίνονται· ἀλλ᾽ οὐδὲ τιμῆς, οὐχ ὕβρεως· τὰ δὲ καὶ παντός ἐστιν ἀτιμότερα ζώου, τὰ ἀγάλματα. καὶ ὅπως γε τεθείασται τὰ ἀναίσθητα, ἀπορεῖν ἔπεισί μοι καὶ κατελεεῖν τοὺς πλανωμένους τῆς ἀνοίας, ὡς δειλαίους· εἰ γὰρ καί τινα τῶν ζώων οὐχὶ πάσας ἔχει τὰς αἰσθήσεις, ὥσπερ εὐλαὶ καὶ κάμπαι καὶ ὅσα διὰ τῆς πρώτης γενέσεως εὐθὺς ἀνάπηρα φαίνεται, καθάπερ οἱ ἀσπάλακες καὶ ἡ μυγαλῆ, ἣν φησὶν ὁ Νίκανδρος τυφλήν τε σμερδνήν τε· ἀλλά γε ἀμείνους εἰσὶ τῶν ξοάνων τούτων καὶ τῶν ἀγαλμάτων, τέλεον ὄντων κωφῶν· ἔχουσιν γὰρ αἴσθησιν μίαν γέ τινα, φέρε εἰπεῖν ἀκουστικὴν ἢ ἁπτικὴν ἢ τὴν ἀναλογοῦσαν τῇ ὀσφρήσει ἢ τῇ γεύσει· τὰ δὲ οὐδὲ μιᾶς αἰσθήσεως μετέχει, τὰ ἀγάλματα· πολλὰ δέ ἐστι τῶν ζώων, ὅσα οὐδὲ ὅρασιν ἔχει οὔτε ἀκοὴν οὔτε μὴν φωνήν, οἷον καὶ τὸ τῶν ὀστρέων γένος· ἀλλὰ ζῇ γε καὶ αὔξεται, πρὸς δὲ καὶ τῇ σελήνῃ συμπάσχει· τὰ δὲ ἀγάλματα, ἀργὰ, ἄπρακτα, ἀναίσθητα, προσδεῖται καὶ προσκαθηλοῦται καὶ προσπήγνυται, χωνεύεται, ῥινᾶται, πρίεται, περιξέεται, γλύφεται. κωφὴν μὲν δὴ γαῖαν

ἀεικίζουσιν*) οἱ ἀγαλματοποιοί, τῆς οἰκείας ἐξιστάντες φύσεως, ὑπὸ τῆς τέχνης προσκυνεῖν ἀναπείθοντες· προσκυνοῦσι δὲ οἱ θεοποιοὶ οὐ θεοὺς καὶ δαίμονας κατά γε αἴσθησιν τὴν ἐμὴν, γῆν δὲ καὶ τέχνην, τὰ ἀγάλματα ὅπερ ἐστίν. ἔστιν γὰρ ὡς ἀληθῶς τὸ ἄγαλμα ὕλη νεκρὰ, τεχνίτου χειρὶ μεμορφωμένη· ἡμῖν δὲ οὐχ ὕλης αἰσθητῆς αἰσθητὸν, νοητὸν δὲ τὸ ἄγαλμά ἐστιν [νοητὸν, οὐκ αἰσθητόν ἐστι τὸ ἄγαλμα] ὁ θεὸς, ὁ μόνος ὄντως θεός.

§. 52. Καὶ δὴ ἔμπαλιν ἐν αὐταῖς που ταῖς περιστάσεσιν οἱ δεισιδαίμονες, οἱ τῶν λίθων προσκυ- P. 46 Pott. νηταὶ, ἔργῳ μαθόντες ἀναίσθητον ὕλην μὴ σέβειν, αὐτῆς ἡττώμενοι τῆς χρείας, ἀπόλλυνται ὑπὸ δεισιδαιμονίας· καταφρονοῦντες δ' ὅμως τῶν ἀγαλμάτων, φαίνεσθαι δὲ μὴ βουλόμενοι αὐτῶν ὅλως περιφρονοῦντες, ἐλέγχονται ὑπ' αὐτῶν τῶν θεῶν, οἷς δὴ τὰ ἀγάλματα ἐπιπεφήμισται. *Διονύσιος* μὲν γὰρ ὁ τύραννος ὁ νεώτερος θοιμάτιον τὸ χρύσεον περιελόμενος τοῦ *Διὸς* ἐν *Σικελίᾳ*, προσέταξεν αὐτῷ ἐρεοῦν περιτιθέναι, χαριέντως φήσας τοῦτο ἄμεινον εἶναι τοῦ χρυσίου, καὶ θέρους κουφότερον καὶ κρύους ἀλεεινότερον. *Ἀντίοχος* δὲ ὁ *Κυζικηνὸς* ἀπορούμενος χρημάτων τοῦ *Διὸς* τὸ ἄγαλμα τὸ χρυσοῦν, πεντεκαίδεκα πηχῶν τὸ μέγεθος ὂν, προσέταξε χωνεῦσαι καὶ τῆς ἄλλης τῆς ἀτιμοτέρας ὕλης ἄγαλμα παραπλήσιον ἐκείνῳ πετάλοις κεχρυσωμένον ἀναθεῖναι πάλιν. αἱ δὲ χελιδόνες καὶ τῶν ὀρνέων τὰ πλεῖστα κατεξερῶσιν αὐτῶν τῶν ἀγαλμάτων εἰσπετόμενα, οὐδὲν φροντίσαντα οὔτε *Ὀλυμπίου Διὸς* οὔτε *Ἐπιδαυρίου Ἀσκληπιοῦ* οὐδὲ μὴν *Ἀθηνᾶς Πολιάδος* ἢ *Σαράπιδος Αἰγυπτίου*· παρ' ὧν οὐδὲ αὐτῶν τὴν ἀναισθησίαν τῶν ἀγαλμάτων ἐκμανθάνετε. ἀλλ' εἰσὶ μὲν κακοῦργοί τινες ἢ πολέμιοι ἐπιθέμενοι, οἳ δι' αἰσχροκέρδειαν ἐδῄωσαν τὰ ἱερὰ καὶ τὰ ἀναθήματα ἐσύλη-

---

*) Cf. Hom. Iliad. ω. 54.

σαν ἢ καὶ αὐτὰ ἐχώνευσαν τὰ ἀγάλματα· καὶ εἰ Καμβύσης τις ἢ Δαρεῖος ἢ ἄλλος μαινόμενος τοιαῦ- P. 16 Sylb. τα ἄττα ἐπεχείρησεν καὶ εἰ τὸν Αἰγύπτιόν τις ἀπέκτεινεν Ἄπιν, γελῶ μὲν ὅτι τὸν θεὸν ἀπέκτεινεν αὐτῶν, ἀγανακτῶ δὲ εἰ κέρδους χάριν ἐπλημμέλει.

§. 53. Ἑκὼν οὖν ἐκλήσομαι τῆσδε τῆς κακουργίας, πλεονεξίας ἔργα, οὐχὶ δὲ ἀδρανείας τῶν εἰδώλων ἔλεγχον νομίζων. ἀλλ' οὔτι γε τὸ πῦρ καὶ οἱ σεισμοὶ κερδαλέοι οὐδὲ μὴν φοβοῦνται ἢ δυσωποῦνται οὐ τοὺς δαίμονας, οὐ τὰ ἀγάλματα, οὐ μᾶλλον ἢ τὰς ψηφῖδας τὰς παρὰ τοῖς αἰγιαλοῖς σεσωρευμένας τὰ κύματα. οἶδα ἐγὼ πῦρ ἐλεγκτικὸν καὶ P. 47 Pott. δεισιδαιμονίας ἰατρικόν· εἰ βούλει παύσασθαι τῆς ἀνοίας, φωταγωγήσει σε τὸ πῦρ. τοῦτο τὸ πῦρ καὶ τὸν ἐν Ἄργει νεὼν σὺν καὶ τῇ ἱερείᾳ κατέφλεξεν Χρυσίδι· καὶ τὸν ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος δεύτερον μετὰ Ἀμαζόνας καὶ τὸ ἐν Ῥώμῃ Καπιτώλιον ἐπινενέμηται πολλάκις· οὐκ ἀπέσχετο δὲ οὐδὲ τοῦ ἐν Ἀλεξανδρέων πόλει Σαράπιδος ἱεροῦ. Ἀθήνησι γὰρ τοῦ Διονύσου τοῦ Ἐλευθερέως κατήρειψε τὸν νεών· καὶ τὸν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος πρότερον ἥρπασεν θύελλα, ἔπειτα ἠφάνισε πῦρ σωφρονοῦν. τοῦτό σοι προοίμιον ἐπιδείκνυται ὧν ὑπισχνεῖται τὸ πῦρ· οἱ δὲ τῶν ἀγαλμάτων δημιουργοὶ οὐ δυσωποῦσιν ὑμῶν τοὺς ἔμφρονας τῆς ὕλης καταφρονεῖν; ὁ μὲν Ἀθηναῖος Φειδίας ἐπὶ τῷ δακτύλῳ τοῦ Διὸς τοῦ Ὀλυμπίου ἐπιγράψας ΠΑΝΤΑΡΚΗΣ ΚΑΛΟΣ, οὐ γὰρ καλὸς αὐτῷ ὁ Ζεύς, ἀλλ' ὁ ἐρώμενος ἦν· ὁ Πραξιτέλης δέ, ὡς Ποσίδιππος ἐν τῷ περὶ Κνίδου διασαφεῖ, τὸ τῆς Ἀφροδίτης ἄγαλμα τῆς Κνιδίας κατασκευάζων, τῷ Κρατίνης τῆς ἐρωμένης εἴδει παραπλήσιον πεποίηκεν αὐτήν, ἵν' ἔχοιεν οἱ δείλαιοι τὴν Πραξιτέλους ἐρωμένην προσκυνεῖν. Φρύνη δὲ ὁπηνίκα ἤνθει ἡ ἑταίρα ἡ Θεσπιακή, οἱ ζωγράφοι πάντες τὰς Ἀφροδίτης εἰκόνας πρὸς τὸ κάλλος ἀπεμιμοῦντο Φρύνης, ὥσπερ αὖ καὶ οἱ λιθοξόοι τοὺς Ἑρμᾶς Ἀθήνησιν πρὸς Ἀλ-

κιβιάδην ἀπείκαζον. ὑπολείπεται τῆς σῆς κρίσεως τὸ[1] ἔργον ἐπάξαι, εἰ βούλει, καὶ τὰς ἑταίρας προσκυνεῖν.

§. 54. Ἐντεῦθεν οἶμαι κινηθέντες οἱ βασιλεῖς οἱ παλαιοὶ, καταφρονοῦντες τῶν μύθων τούτων, ἀνέδην διὰ τὸ ἐξ ἀνθρώπων ἀκίνδυνον σφᾶς αὐτοὺς θεοὺς ἀνηγόρευον, ταύτῃ κἀκείνους διὰ τὴν δόξαν ἀπηθανατίσθαι διδάσκοντες· Κήϋξ μὲν ὁ Αἰόλου Ζεὺς ὑπὸ τῆς Ἀλκυόνης τῆς γυναικὸς, Ἀλκυόνη δὲ αὖθις ὑπὸ τοῦ ἀνδρὸς Ἥρα προσαγορευομένη. Πτολεμαῖος δὲ ὁ τέταρτος Διόνυσος ἐκαλεῖτο· καὶ Μι- P. 48 Pott.
θριδάτης ὁ Ποντικὸς Διόνυσος καὶ αὐτός· ἐβούλετο δὲ καὶ Ἀλέξανδρος Ἄμμωνος υἱὸς εἶναι δοκεῖν καὶ κερασφόρος ἀναπλάττεσθαι πρὸς τῶν ἀγαλματοποιῶν, τὸ καλὸν ἀνθρώπου ὑβρίσαι σπεύδων κέρατι. καὶ οὔτι γε βασιλεῖς μόνον, ἀλλὰ καὶ ἰδιῶται θείαις προσηγορίαις σφᾶς αὐτοὺς ἐσέμνυνον, ὡς Μενεκράτης ὁ ἰατρὸς, Ζεὺς οὗτος ἐπικεκλημένος. τί με δεῖ καταλέγειν Ἀλέξαρχον; γραμματικὸς οὗτος τὴν ἐπιστήμην γεγονὼς, ὡς ἱστορεῖ Ἄριστος ὁ Σαλαμίνιος, αὐτὸν κατεσχημάτιζεν εἰς Ἥλιον. τί δεῖ καὶ Νικαγόρου μεμνῆσθαι — Ζελείτης τὸ γένος ἦν κατὰ τοὺς Ἀλεξάνδρου γεγονὼς χρόνους — Ἑρμῆς προσηγορεύετο ὁ Νικαγόρας καὶ τῇ στολῇ τοῦ Ἑρμοῦ ἐκέχρητο, ὡς αὐτὸς μαρτυρεῖ· ὅπου γε καὶ ὅλα ἔθνη καὶ πόλεις αὔτανδροι, κολακείαν ὑποδυόμεναι, ἐξευτελίζουσι τοὺς μύθους τοὺς περὶ τῶν θεῶν, ἰσοθέους ἄνθρωποι κατασχηματίζοντες ἑαυτοὺς, ὑπὸ δόξης πεφυσημένοι, ἐπιψηφιζόμενοι τιμὰς ἑαυτοῖς ὑπερόγκους· νῦν μὲν τὸν Μακεδόνα τὸν ἐκ Πέλλης τὸν Ἀμύντορος Φίλιππον ἐν Κυνοσάργει νομοθετοῦντες προσκυνεῖν, τὸν τὴν κλεῖν κατεαγότα καὶ τὸ σκέλος πεπηρωμένον, ὃς ἐξεκόπη τὸν ὀφθαλμόν· αὖθις δὲ τὸν Δημήτριον θεὸν καὶ αὐτὸν ἀναγορεύοντες· καὶ ἔνθα μὲν ἀπέβη τοῦ ἵππου Ἀθήναζε εἰσιὼν, Καταιβάτου ἱερόν ἐστι Δημητρίου· βωμοὶ δὲ πανταχοῦ καὶ γάμος ὑπὸ Ἀθηναίων αὐτῷ ὁ τῆς Ἀθηνᾶς ἠυτρεπίζετο· ὁ δὲ τὴν

μὲν θεὸν ὑπερηφάνει, τὸ ἄγαλμα γῆμαι μὴ δυνάμενος· Λάμιαν δὲ τὴν ἑταίραν ἔχων εἰς ἀκρόπολιν ἀνήει καὶ τῷ τῆς Ἀθηνᾶς ἐνεφυρᾶτο παστῷ, τῇ παλαιᾷ παρθένῳ τὰ τῆς νέας ἐπιδεικνὺς ἑταίρας σχήματα.

§. 55. Οὐ νέμεσις τοίνυν οὐδὲ Ἵππωνι ἀπαθανατίζοντι τὸν θάνατον τὸν ἑαυτοῦ· ὁ Ἵππων γὰρ οὗτος ἐπιγραφῆναι ἐκέλευσεν τῷ μνήματι τῷ ἑαυτοῦ τόδε τὸ ἐλεγεῖον·

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν μοῖρα καταφθίμενον.

εὖγε, Ἵππων, ἐπιδεικνύεις ἡμῖν τὴν ἀνθρωπίνην πλάνην. εἰ γὰρ καὶ λαλοῦντί σοι μὴ πεπιστεύκασι, νεκροῦ γενέσθωσαν μαθηταί. χρησμὸς οὗτός ἐστιν Ἵππωνος· νοήσωμεν αὐτόν. οἱ προσκυνούμενοι παρ' P. 49 Pott. ὑμῖν, ἄνθρωποι γενόμενοί ποτε, εἶτα μέντοι τεθνᾶσιν· τετίμηκε δὲ αὐτοὺς ὁ μῦθος καὶ ὁ χρόνος. φιλεῖ γάρ πως τὰ μὲν παρόντα συνηθείᾳ καταφρονεῖσθαι, τὰ δὲ παρῳχηκότα τοῦ παραυτίκα ἐλέγχου κεχωρισμένα χρόνων ἀδηλείᾳ τετιμῆσθαι τῷ πλάσματι καὶ τὰ μὲν ἀπιστεῖσθαι, τὰ δὲ καὶ θαυμάζεσθαι. αὐτίκα γοῦν οἱ παλαιοὶ νεκροὶ τῷ πολλῷ τῆς πλάνης χρόνῳ σεμνυνόμενοι τοῖς ἔπειτα νομίζονται θεοί. πίστις ὑμῖν τῶνδε αὐτὰ ὑμῶν τὰ μυστήρια, αἱ πανηγύρεις, δεσμὰ καὶ τραύματα καὶ δακρύοντες θεοί.

ὤ μοι ἐγών, ὅτε μοὶ Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι*).

κεκράτηται τὸ θέλημα τοῦ Διὸς καὶ ὁ Ζεὺς ὑμῖν διὰ Σαρπηδόνα οἰμώζει νενικημένος· εἴδωλα γοῦν εἰκότως P. 17 Sylb. αὐτοὺς καὶ δαίμονας ὑμεῖς αὐτοὶ κεκλήκατε· ἐπεὶ καὶ τὴν Ἀθηνᾶν αὐτὴν καὶ τοὺς ἄλλους θεοὺς κακίᾳ τιμήσας Ὅμηρος δαίμονας προσηγόρευσεν·

*) Hom. Il. π. 433 sqq.

ἡ δ' Οὔλυμπόνδε βεβήκει,
δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους*).

πῶς οὖν ἔτι θεοὶ τὰ εἴδωλα καὶ οἱ δαίμονες, βδελυρὰ ὄντως καὶ πνεύματα ἀκάθαρτα, πρὸς πάντων ὁμολογούμενα γήϊνα καὶ δεισαλέα, κάτω βρίθοντα, περὶ τοὺς τάφους καὶ τὰ μνημεῖα καλινδούμενα; περὶ ἃ δὴ καὶ ὑποφαίνονται ἀμυδρῶς σκιοειδῆ φαντάσματα.

§. 56. Ταῦθ' ὑμῶν οἱ θεοὶ τὰ εἴδωλα, αἱ σκιαὶ καὶ πρὸς τούτοις χωλαὶ ἐκεῖναι καὶ ῥυσαὶ, παραβλῶπες ὀφθαλμώ**), αἱ Λιταὶ αἱ Θερσίτου μᾶλλον ἢ Διὸς θυγατέρες. ὥστε μοὶ δοκεῖν χαριέντως φάναι τὸν Βίωνα· πῶς ἂν ἐνδίκως οἱ ἄνθρωποι παρὰ τοῦ Διὸς αἰτήσωνται τὴν εὐτεκνίαν, ἣν οὐδ' P. 50
αὐτῷ παρασχεῖν ἴσχυσεν; οἴμοι τῆς ἀθεότητος· τὴν Pott.
ἀκήρατον οὐσίαν, τὸ ὅσον ἐφ' ὑμῖν, κατορύττετε καὶ τὸ ἄχραντον ἐκεῖνο καὶ τὸ ἅγιον τοῖς τάφοις ἐπικεχώκατε, τῆς ἀληθῶς ὄντως οὐσίας συλήσαντες τὸ θεῖον. τί δὴ οὖν τὰ τοῦ θεοῦ τοῖς οὐ θεοῖς προσενείματε γέρα; τί δαὶ καταλιπόντες τὸν οὐρανὸν τὴν γῆν τετιμήκατε; τί δ' ἄλλο χρυσὸς ἢ ἄργυρος ἢ ἀδάμας ἢ σίδηρος ἢ χαλκὸς ἢ ἐλέφας ἢ λίθος τίμιος, οὐχὶ γῆ τε καὶ ἐκ γῆς; οὐχὶ δὲ μιᾶς μητρὸς ἔκγονα, τῆς γῆς, τὰ πάντα ταῦτα, ὅσα ὁρᾷς; τί δὴ οὖν, ὦ μάταιοι καὶ κενόφρονες, — πάλιν γὰρ δὴ ἐπαναλήψομαι — τὸν ὑπερουράνιον βλασφημήσαντες τόπον εἰς τοὔδαφος κατεσύρατε τὴν εὐσέβειαν, χθονίους ὑμῖν ἀναπλάττοντες θεοὺς καὶ τὰ γεννητὰ ταῦτα πρὸ τοῦ ἀγεννήτου μετιόντες θεοῦ βαθυτέρῳ περιπεπτώκατε ζόφῳ; καλὸς ὁ Πάριος λίθος, ἀλλ' οὐδέπω Ποσειδῶν· καλὸς ὁ ἐλέφας, ἀλλ' οὐδέπω Ὀλύμπιος· ἐνδεὴς ἀεί ποτε ἡ ὕλη τῆς τέχνης, ὁ θεὸς δὲ ἀνενδεής. προῆλθεν ἡ τέχνη, περιβέβληται τὸ σχῆμα, ἡ ὕλη, καὶ τὸ πλούσιον τῆς οὐσίας πρὸς μὲν τὸ κέρδος ἀγώ-

*) Il. ά. 221 sqq. **) Cf. Hom. Il. ί. 502 sqq.

γιμον, μόνῳ δὲ τῷ σχήματι γίνεται σεβάσμιον. χρυσός ἐστι τὸ ἄγαλμά σου, ξύλον ἐστὶ, λίθος ἐστὶ, γῆ ἐστὶν, ἐὰν ἄνωθεν νοήσῃς, μορφὴν παρὰ τοῦ τεχνίτου προσλαβοῦσα, γῆν δὲ ἐγὼ πατεῖν, οὐ προσκυνεῖν μεμελέτηκα, οὐ γάρ μοι θέμις ἐμπιστεῦσαί ποτε τοῖς ἀψύχοις τὰς τῆς ψυχῆς ἐλπίδας.

§. 57. Ἰτέον οὖν ὡς ἔνι μάλιστα ἐγγυτάτω τῶν ἀγαλμάτων· ὡς οἰκεία ἡ πλάνη κἀκ τῆς προσόψεως ἐλέγχεται, ἐναπομέμακται γὰρ πάνυ δὴ σαφῶς τὰ εἴδη τῶν ἀγαλμάτων τὴν διάθεσιν τῶν δαιμόνων. εἰ γοῦν τις τὰς γραφὰς καὶ τὰ ἀγάλματα περινοστῶν θεῷτο, γνωριεῖ ὑμῶν παραυτίκα τοὺς θεοὺς ἐκ τῶν ἐπονειδίστων σχημάτων, τὸν Διόνυσον ἀπὸ τῆς στολῆς, τὸν Ἥφαιστον ἀπὸ τῆς τέχνης, τὴν Δηὼ ἀπὸ τῆς συμφορᾶς, ἀπὸ τοῦ κρηδέμνου τὴν Ἰνὼ, ἀπὸ τῆς τριαίνης τὸν Ποσειδῶ, ἀπὸ τοῦ κύκνου τὸν Δία· τὸν δὲ Ἡρακλέα δείκνυσιν ἡ πυρὰ, κἂν P. 51 Pott. γυμνὴν ἴδῃ τις ἀνάγραπτον γυναῖκα, τὴν χρυσῆν Ἀφροδίτην νοεῖ. οὕτως ὁ Κύπριος ὁ Πυγμαλίων ἐκεῖνος ἐλεφαντίνου ἠράσθη ἀγάλματος — τὸ ἄγαλμα Ἀφροδίτης ἦν καὶ γυμνὴ ἦν —, νικᾶται ὁ Κύπριος τῷ σχήματι καὶ συνέρχεται τῷ ἀγάλματι, καὶ τοῦτο Φιλοστέφανος ἱστορεῖ. Ἀφροδίτη δὲ ἄλλη ἐν Κνίδῳ λίθος ἦν καὶ καλὴ ἦν, ἕτερος ἠράσθη ταύτης καὶ μίγνυται τῇ λίθῳ, Ποσίδιππος ἱστορεῖ, ὁ μὲν πρότερος ἐν τῷ περὶ Κύπρου, ὁ δὲ ἕτερος ἐν τῷ περὶ Κνίδου. τοσοῦτον ἴσχυσεν ἀπατῆσαι τέχνη προαγωγὸς ἀνθρώποις ἐρωτικοῖς εἰς βάραθρον γενομένη. δραστήριος μὲν ἡ δημιουργικὴ, ἀλλ' οὐχ οἵα τε ἀπατῆσαι λογικὸν οὐδὲ μὴν οὐδὲ τοὺς κατὰ λόγον βεβιωκότας· ζωγραφίᾳ μὲν γὰρ δι' ὁμοιότητα σκιαγραφίας περιστεραῖς προσέπτησαν πελειάδες καὶ ἵπποις καλῶς γεγραμμέναις προσεχρεμέτισαν ἵπποι. ἐρασθῆναι κόρην εἰκόνος λέγουσιν καὶ νέον καλὸν Κνιδίου ἀγάλματος, ἀλλ' ἦσαν τῶν θεατῶν αἱ ὄψεις ἠπατημέναι ὑπὸ τῆς τέχνης. οὐδὲ γὰρ ἂν θεᾷ τις

συνεπλάκη οὐδ᾿ ἂν νεκρῷ τις συνετάφη οὐδ᾿ ἂν ἠράσθη δαίμονος καὶ λίθου ἄνθρωπος σωφρονῶν. ὑμᾶς δὲ ἄλλῃ γοητείᾳ ἀπατᾷ ἡ τέχνη, εἰ καὶ μὴ ἐπὶ τὸ ἐρᾶν προσάγουσα, ἀλλὰ ἐπὶ τὸ τιμᾶν καὶ προσκυνεῖν τά τε ἀγάλματα καὶ τὰς γραφὰς, ὁμοία γε ἡ γραφή. ἐπαινείσθω μὲν ἡ τέχνη, μὴ ἀπατάτω δὲ τὸν ἄνθρωπον, ὡς ἀληθείᾳ ἕστηκεν ὁ ἵππος ἡσυχῇ, ἡ πελειὰς ἀτρεμὴς, ἀργὸν τὸ πτερόν· ἡ δὲ βοῦς ἡ Δαιδάλου ἡ ἐκ τοῦ ξύλου πεποιημένη ταῦρον εἷλεν ἄγριον καὶ κατηνάγκασε τὸ θηρίον ἡ τέχνη πλανήσασα ἐρώσης ἐπιβῆναι γυναικός.

§. 58. Τοσοῦτον οἶστρον αἱ τέχναι κακοτεχνοῦσαι τοῖς ἀνοήτοις ἐνεποίησαν. ἀλλὰ τοὺς μὲν πιθήκους οἱ τούτων τροφεῖς καὶ μελεδωνοὶ τεθαυμάκασιν, ὅτι τῶν κηρίνων ἢ πηλίνων ὁμοιωμάτων καὶ κοροκοσμίων ἀπατᾷ τούτους οὐδὲν, ὑμεῖς δὲ ἆρα καὶ πιθήκων χείρους γενήσεσθε λιθίνοις καὶ ξυλίνοις καὶ χρυσέοις καὶ ἐλεφαντίνοις ἀγαλματίοις καὶ γραφαῖς προσανέχοντες; τοσούτων ὑμῖν οἱ δημιουργοὶ ἀθυρ- P. 52 Pott. μάτων ὀλεθρίων, οἱ λιθοξόοι καὶ οἱ ἀνδριαντοποιοὶ, γραφεῖς τε αὖ καὶ τέκτονες καὶ ποιηταὶ, πολύν τινα καὶ τοιοῦτον ὄχλον παρεισάγοντες, κατ᾿ ἀγροὺς μὲν Σατύρους καὶ Πᾶνας, ἀνὰ δὲ τὰς ὕλας Νύμφας τὰς ὀρειάδας καὶ τὰς ἁμαδρυάδας, ναὶ μὴν ἀλλὰ καὶ περὶ τὰ ὕδατα καὶ περὶ τοὺς ποταμοὺς καὶ τὰς πηγὰς τὰς Ναΐδας καὶ περὶ τὴν θάλασσαν τὰς Νηρεΐδας. μάγοι δὲ ἤδη ἀσεβείας τῆς σφῶν αὐτῶν ὑπηρέτας δαίμονας αὐχοῦσιν, οἰκέτας αὐτοὺς ἑαυτοῖς P. 18 Sylb. καταγράψαντες, τοὺς κατηναγκασμένους δούλους ταῖς ἐπαοιδαῖς πεποιηκότες· γάμοι τε οὖν ἔτι καὶ παιδοποιΐαι καὶ λοχεῖαι θεῶν μνημονευόμεναι καὶ μοιχεῖαι ᾀδόμεναι καὶ εὐωχίαι κωμῳδούμεναι καὶ γέλωτες παρὰ πότον εἰσαγόμενοι, προτρέπουσί με ἀνακραγεῖν, κἂν σιωπῆσαι θέλω· οἴ μοι τῆς ἀθεότητος· σκηνὴν πεποιήκατε τὸν οὐρανὸν καὶ τὸ θεῖον ὑμῖν δρᾶμα γεγένηται καὶ τὸ ἅγιον προσωπείοις

δαιμονίων κεκωμῳδήκατε, τὴν ἀληθῆ θεοσέβειαν δεισιδαιμονίᾳ σατυρίσαντες.

§. 59. *Αὐτὰρ ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν**).

ᾆσον ἡμῖν, Ὅμηρε, τὴν φωνὴν τὴν καλήν·
ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης·
ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισι,
λάθρῃ· πολλὰ δ' ἔδωκε, λέχος δ' ᾔσχυνε καὶ εὐνὴν
Ἡφαίστοιο ἄνακτος.

*κατάπαυσον Ὅμηρε τὴν ᾠδήν· οὐκ ἔστι καλὴ, μοιχείαν διδάσκει· πορνεύειν δὲ ἡμεῖς καὶ τὰ ὦτα παρῃτήμεθα· ἡμεῖς γὰρ, ἡμεῖς ἐσμὲν οἱ τὴν εἰκόνα τοῦ θεοῦ περιφέροντες ἐν τῷ ζῶντι καὶ κινουμένῳ τούτῳ ἀγάλματι, τῷ ἀνθρώπῳ, σύνοικον εἰκόνα, σύμβουλον, συνόμιλον, συνέστιον, συμπαθῆ, ὑπερπαθῆ· ἀνάθημα γεγόναμεν τῷ θεῷ ὑπὲρ Χριστοῦ· „ἡμεῖς τὸ γένος τὸ ἐκλεκτὸν, τὸ βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς περιούσιος· οἵ ποτε οὐ λαὸς, νῦν δὲ λαὸς τοῦ θεοῦ"***)· *οἱ κατὰ τὸν Ἰωάννην οὐκ ὄντες „ἐκ τῶν κάτω"****), *„παρὰ δὲ τοῦ ἄνωθεν ἐλθόντος*†) *τὸ πᾶν μεμαθηκότες*††), *οἱ τὴν οἰκονομίαν τοῦ θεοῦ καταvενοηκότες, οἱ ἐν καινότητι ζωῆς περιπατεῖν"*†††) *μεμελετηκότες.*

§. 60. *Ἀλλ' οὐ ταῦτα φρονοῖσιν οἱ πολλοί· ἀπορρίψαντες δὲ τὴν αἰδῶ καὶ τὸν φόβον οἴκοι τοὺς τῶν δαιμόνων ἐγγράφονται πασχητιασμούς. πινακίοις γοῦν τισὶ καταγράφοις μετεωρότερον ἀνακειμέ-* **P. 53**
νοις προσεσχηκότες ἀσελγείᾳ τοὺς θαλάμους κεκο- **Pott.**
σμήκασι, τὴν ἀκολασίαν εὐσέβειαν νομίζοντες· κἀπὶ τοῦ σκίμποδος κατακείμενοι παρ' αὐτὰς ἔτι τὰς περιπλοκὰς ἀφορῶσιν εἰς τὴν Ἀφροδίτην ἐκείνην τὴν γυμνὴν, τὴν ἐπὶ τῇ συμπλοκῇ δεδεμένην· καὶ τῇ Λήδᾳ περιποτώμενον τὸν ὄρνιν τὸν ἐρωτικὸν, τῆς

*) Hom. Od. ϑ. 266 — 270. **) Cf. 1 Petr. 2, 9. 10. ***) Ioann. 8, 23. †) Ibid. 3, 31. ††) Ibid. 4, 25. †††) Ep. ad. Rom. 6, 4.

θηλύτητος ἀποδεχόμενοι τὴν γραφὴν ἀποτυποῦσι ταῖς σφενδόναις, σφραγῖδι χρώμενοι καταλλήλῳ τῇ Διὸς ἀκολασίᾳ.

§. 61. Ταῦτα ὑμῶν τῆς ἡδυπαθείας τὰ ἀρχέτυπα, αὗται τῆς ὕβρεως αἱ θεολογίαι, αὗται τῶν συμπορνευόντων ὑμῖν θεῶν αἱ διδασκαλίαι· ὃ γὰρ βούλεται, τοῦθ᾽ ἕκαστος καὶ οἴεται κατὰ τὸν Ἀθηναῖον ῥήτορα. οἷαι δὲ αὖ καὶ ἄλλαι ὑμῶν εἰκόνες; πανίσκοι τινὲς καὶ γυμναὶ κόραι καὶ σάτυροι μεθύοντες καὶ μορίων ἐντάσεις, ταῖς γραφαῖς ἀπογυμνούμεναι, ἀπὸ τῆς ἀκρασίας ἐλεγχόμεναι. ἤδη δὲ ἀναφανδὸν τῆς ἀκολασίας ὅλης τὰ σχήματα ἀνάγραπτα πανδημεὶ θεώμενοι οὐκ αἰσχύνεσθε, φυλάττετε δὲ ἔτι μᾶλλον ἀνακείμενα, ὥσπερ ἀμέλει τῶν θεῶν ὑμῶν τὰς εἰκόνας στήλας ἀναισχυντίας καθιερώσαντες οἴκοι, ἐπ᾽ ἴσης ἐγγραφόμενοι τὰ Φιλαινίδος σχήματα, ὡς τὰ Ἡρακλέους ἀθλήματα. τούτων οὐ μόνον τῆς χρήσεως, πρὸς δὲ καὶ τῆς ὄψεως καὶ τῆς ἀκοῆς αὐτῆς ἀμνηστείαν καταγγέλλομεν. ἡταίρηκεν ὑμῖν τὰ ὦτα, πεπορνεύκασιν οἱ ὀφθαλμοὶ καὶ τὸ καινότερον πρὸ τῆς συμπλοκῆς αἱ ὄψεις ὑμῖν μεμοιχεύκασιν. ὦ βιασάμενοι τὸν ἄνθρωπον καὶ τὸ ἔνθεον τοῦ πλάσματος ἐλέγχει ἀπάρξαντες, πάντα ἀπιστεῖτε, ἵνα ἐκπαθαίνησθε καὶ πιστεύητε μὲν τοῖς εἰδώλοις, ζηλοῦντες αὐτῶν τὴν ἀκρασίαν· ἀπιστεῖτε δὲ τῷ θεῷ σωφροσύνην μὴ φέροντες καὶ τὰ μὲν κρείττω μεμισήκατε, τὰ δὲ ἥττω τετιμήκατε, ἀρετῆς μὲν θεαταί, κακίας δὲ ἀγωνισταὶ γεγενημένοι. **P. 54**

§. 62. Ὄλβιοι μόνοι τοίνυν, ὡς ἔπος εἰπεῖν, **Pott.**
ὁμοθυμαδὸν ἐκεῖνοι πάντες κατὰ τὴν Σίβυλλαν·

οἳ ναοὺς μὲν πάντας ἀπαρνήσονται ἰδόντες
καὶ βωμούς, εἰκαῖα λίθων ἱδρύματα κωφῶν,
καὶ λίθινα ξόανα καὶ ἀγάλματα χειροποίητα,
αἵματι ἐμψύχῳ μεμιασμένα καὶ θυσίαισι
τετραπόδων, διπόδων, πτηνῶν θηρῶν τε φόνοισι.

καὶ γὰρ δὴ καὶ ἀπηγόρευται ὑμῖν ἀναφανδὸν ἀπα-

τηλὸν ἐργάζεσθαι τέχνην. „οὐ γὰρ ποιήσεις“, φησὶν ὁ προφήτης, „παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ καὶ ὅσα ἐν τῇ γῇ κάτω“*). ἢ πού γ' ἂν ἔτι τὴν Πραξιτέλους Δήμητραν καὶ Κόρην καὶ τὸν Ἴακχον τὸν μυστικὸν θεοὺς ὑπολάβοιμεν ἢ τὰς Λυσίππου τέχνας ἢ τὰς χεῖρας τὰς Ἀπελλικάς, αἳ δὴ τῆς θεοδοξίας τὸ σχῆμα τῇ ὕλῃ περιτεθείκασιν, ἀλλ' ὑμεῖς μὲν ὅπως ποτὲ ὁ ἀνδριὰς ὅτι μάλιστα ὡραιότατος τεκταίνηται, προσκαρτερεῖτε, ὅπως δὲ αὐτοὶ μὴ ὅμοιοι δι' ἀναισθησίαν τοῖς ἀνδριάσιν ἀποτελεσθῆτε, οὐ φροντίζετε; πάνυ γοῦν ἐμφανῶς καὶ συντόμως ὁ προφητικὸς ἐλέγχει τὴν συνήθειαν λόγος, ὅτι „πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμονίων εἰσὶν εἴδωλα· ὁ δὲ θεὸς τοὺς οὐρανοὺς ἐποίησιν“**) καὶ τὰ ἐν τῷ οὐρανῷ.

§. 63. Πλανώμενοι γοῦν τινὲς ἐντεῦθεν οὐκ οἶδ' ὅπως θείαν μὲν τέχνην, πλὴν ἀλλ' οὐ θεὸν προσκυνοῦσιν, ἥλιόν τε καὶ σελήνην καὶ τὸν ἄλλον τῶν ἀστέρων χορόν, παραλόγως τούτους θεοὺς ὑπολαμβάνον-
P. 19 Sylb. τες, τὰ ὄργανα τοῦ χρόνου***). „τῷ γὰρ λόγῳ αὐτοῦ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν“†)· ἀλλ' ἡ μὲν ἀνθρωπεία τέχνη οἰκίας τε καὶ ναῦς καὶ πόλεις καὶ γραφὰς δημιουργεῖ· θεὸς δὲ πῶς ἂν εἴποιμι ὅσα ποιεῖ; ὅλον ἴδε τὸν κόσμον, ἐκείνου ἔργον ἐστίν, καὶ οὐρανὸς καὶ ἥλιος καὶ ἄγγελοι καὶ ἄνθρωποι „ἔργα P. 55 Pott.
τῶν δακτύλων αὐτοῦ“††). ὅση γε ἡ δύναμις τοῦ θεοῦ; μόνον αὐτοῦ τὸ βούλημα κοσμοποιία· μόνος γὰρ ὁ θεὸς ἐποίησεν, ἐπεὶ καὶ μόνος ὄντως ἐστὶ θεός· ψιλῷ τῷ βούλεσθαι δημιουργεῖ καὶ τῷ μόνον ἐθελῆσαι αὐτὸν ἕπεται τὸ γεγενῆσθαι. ἐνταῦθα φιλοσόφων παρατρέπεται χορὸς πρὸς μὲν τὴν οὐρανοῦ θέαν παγκάλως γεγονέναι τὸν ἄνθρωπον ὁμολογούντων, τὰ δὲ ἐν οὐρανῷ φαινόμενα καὶ ὄψει καταλαμβα-

---

*) Exod. 20, 4. **) Psalm. 96, 5. ***) Cf. Genes. 1, 14. †) Psalm. 33, 6. ††) Psalm. 102, 26.

νόμενα προσκυνούντων. εἰ γὰρ καὶ μὴ ἀνθρώπινα τὰ ἔργα τὰ ἐν οὐρανῷ, ἀλλὰ γοῦν ἀνθρώποις δεδημιούργηται. καὶ μὴ τὸν ἥλιόν τις ὑμῶν προσκυνείτω, ἀλλὰ τὸν ἡλίου ποιητὴν ἐπιποθείτω, μηδὲ τὸν κόσμον ἐκθειαζέτω, ἀλλὰ τὸν κόσμου δημιουργὸν ἐπιζητησάτω. μόνη ἄρα, ὡς ἔοικεν, καταφυγὴ τῷ μέλλοντι ἐπὶ τὰς σωτηρίους ἀφικνεῖσθαι θύρας ὑπολείπεται, σοφία θεϊκή· ἐντεῦθεν ὥσπερ ἐξ ἱεροῦ τινὸς ἀσύλου οὐδενὶ οὐκέτι ἀγώγιμος τῶν δαιμόνων ὁ ἄνθρωπος γίνεται σπεύδων εἰς σωτηρίαν.

Cap. V.

§. 64. Ἐπιδράμωμεν δέ, εἰ βούλει, καὶ τῶν φιλοσόφων τὰς δόξας, ὅσας αὐχοῦσι περὶ τῶν θεῶν, εἴ πως καὶ φιλοσοφίαν αὐτὴν κενοδοξίας ἕνεκεν ἀνειδωλοποιοῦσαν τὴν ὕλην ἐφεύρωμεν, εἰ καὶ δαιμόνια ἄττα ἐκθειάζουσαν κατὰ παραδρομὴν παραστῆσαι δυνηθῶμεν ὀνειρώττουσαν τὴν ἀλήθειαν. στοιχεῖα μὲν οὖν ἀρχὰς ἀπέλειπον ἐξυμνήσαντες, Θαλῆς ὁ Μιλήσιος τὸ ὕδωρ καὶ Ἀναξιμένης ὁ καὶ αὐτὸς Μιλήσιος τὸν ἀέρα, ᾧ Διογένης ὕστερον ὁ Ἀπολλωνιάτης κατηκολούθησεν. Παρμενίδης δὲ ὁ Ἐλεάτης θεοὺς εἰσηγήσατο πῦρ καὶ γῆν, θάτερον δὲ αὐτοῖν μόνον, τὸ πῦρ, θεὸν ὑπειλήφατον Ἵππασός τε ὁ Μεταποντῖνος καὶ ὁ Ἐφέσιος Ἡράκλειτος· Ἐμπεδοκλῆς γὰρ ὁ Ἀκραγαντῖνος εἰς πλῆθος ἐμπεσὼν πρὸς P. 56 τοῖς τέτταρσι στοιχείοις τούτοις νεῖκος καὶ φιλίαν Pott. καταριθμεῖται. ἄθεοι μὲν δὴ καὶ οὗτοι σοφίᾳ τινὶ ἀσόφῳ τὴν ὕλην προσκυνήσαντες καὶ λίθους μὲν ἢ ξύλα οὐ τιμήσαντες, γῆν δὲ τὴν τούτων μητέρα ἐκθειάσαντες καὶ Ποσειδῶνα μὲν οὐκ ἀναπλάττοντες, ὕδωρ δὲ αὐτὸ προστρεπόμενοι. τί γάρ ἐστι πρότερον Ποσειδῶν ἢ ὑγρά τις οὐσία ἐκ τῆς πόσεως ὀνο-

ματοποιουμένη; ὥσπερ ἀμέλει ὁ πολέμιος Ἄρης ἀπὸ τῆς ἄρσεως καὶ ἀναιρέσεως κεκλημένος. ἢ καὶ δοκοῦσί μοι πολλοὶ μάλιστα τὸ ξίφος μόνον πήξαντες, ἐπιθύειν ὡς Ἄρεϊ· ἔστι δὲ Σκυθῶν τὸ τοιοῦτον, καθάπερ Εὔδοξος ἐν δευτέρᾳ τῆς περιόδου λέγει. Σκυθῶν δὲ οἱ Σαυρομάται, ὥς φησιν Ἱκέσιος ἐν τῷ περὶ μυστηρίων, ἀκινάκην σέβουσιν. τοῦτό τοι καὶ οἱ ἀμφὶ τὸν Ἡράκλειτον τὸ πῦρ ὡς ἀρχέγονον σέβοντες πεπόνθασιν· τὸ γὰρ πῦρ τοῦτο ἕτεροι Ἥφαιστον ὠνόμασαν.

§. 65. Περσῶν δὲ οἱ μάγοι τὸ πῦρ τετιμήκασι καὶ τῶν τὴν Ἀσίαν κατοικούντων πολλοί, πρὸς δὲ καὶ Μακεδόνες, ὥς φησι Διογένης ἐν πρώτῳ Περσικῶν. τί μοι Σαυρομάτας καταλέγειν, οὓς Νυμφόδωρος ἐν νομίμοις βαρβαρικοῖς τὸ πῦρ σέβειν ἱστορεῖ, ἢ τοὺς Πέρσας καὶ τοὺς Μήδους καὶ τοὺς μάγους; θύειν ἐν ὑπαίθρῳ τούτους ὁ Δίνων λέγει, θεῶν ἀγάλματα μόνα τὸ πῦρ καὶ ὕδωρ νομίζοντας. οὐκ ἀπεκρυψάμην οὐδὲ τὴν τούτων ἄγνοιαν. εἰ γὰρ P. 57 Pott. καὶ τὰ μάλιστα ἀποφεύγειν οἴονται τῆς πλάνης, ἀλλ᾽ εἰς ἑτέραν κατολισθαίνουσιν ἀπάτην· ἀγάλματα μὲν θεῶν οὐ ξύλα καὶ λίθους ὑπειλήφασιν ὥσπερ Ἕλληνες, οὐδὲ μὴν ἴβιδας καὶ ἰχνεύμονας καθάπερ Αἰγύπτιοι, ἀλλὰ πῦρ τε καὶ ὕδωρ ὡς φιλόσοφοι. μετὰ πολλὰς μέντοι ὕστερον περιόδους ἐτῶν ἀνθρωποειδῆ ἀγάλματα σέβειν αὐτοὺς Βήρωσσος ἐν τρίτῃ Χαλδαϊκῶν παρίστησι, τοῦτο Ἀρταξέρξου τοῦ Δαρείου τοῦ Ὤχου εἰσηγησαμένου, ὃς πρῶτος τῆς Ἀφροδίτης Ταναΐδος τὸ ἄγαλμα ἀναστήσας ἐν Βαβυλῶνι καὶ Σούσοις καὶ Ἐκβατάνοις Πέρσαις καὶ Βάκτροις καὶ Δαμασκῷ καὶ Σάρδεσιν ὑπέδειξε σέβειν. ὁμολογούντων τοίνυν οἱ φιλόσοφοι τοὺς διδασκάλους τοὺς σφῶν Πέρσας ἢ Σαυρομάτας ἢ μάγους, παρ᾽ ὧν τὴν ἀθεότητα τῶν σεβασμίων αὐτοῖς μεμαθήκασιν ἀρχῶν, ἄρχοντα τὸν πάντων ποιητὴν καὶ τῶν ἀρχῶν αὐτῶν δημιουργὸν ἀγνοοῦντες, τὸν ἄναρχον θεόν· τὰ

δὲ „πτωχὰ“ ταῦτα καὶ „ἀσθενῆ“, ᾗ φησὶν ὁ ἀπό-
στολος*), τὰ εἰς τὴν ἀνθρώπων ὑπηρεσίαν πεποιη-
μένα στοιχεῖα προστρεπόμενοι.

§. 66. Τῶν δὲ ἄλλων φιλοσόφων ὅσοι τὰ
στοιχεῖα ὑπερβάντες ἐπολυπραγμόνησάν τι ὑψηλότε-
ρον καὶ περιττότερον, οἱ μὲν αὐτῶν τὸ ἄπειρον κα-
θύμνησαν, ὧν Ἀναξίμανδρος ὁ Μιλήσιος ἦν καὶ
Ἀναξαγόρας ὁ Κλαζομένιος καὶ ὁ Ἀθηναῖος Ἀρχέλα-
ος· τούτω μέν γε ἄμφω τὸν νοῦν ἐπεστησάτην τῇ
ἀπειρίᾳ· ὁ δὲ Μιλήσιος Λεύκιππος καὶ ὁ Χῖος Μη-
τρόδωρος διττάς, ὡς ἔοικεν, καὶ αὐτὼ ἀρχὰς ἀπε-
λειπέτην τὸ πλῆρες καὶ τὸ κενόν. προσέθηκε δὲ λα-
βὼν τούτοιν τοῖν δυεῖν τὰ εἴδωλα ὁ Ἀβδηρίτης P. 58
Δημόκριτος· ὁ γάρτοι Κροτωνιάτης Ἀλκμαίων Pott.
θεοὺς ᾤετο τοὺς ἀστέρας εἶναι ἐμψύχους ὄντας. οὐ
σιωπήσομαι οὐδὲ τὴν τούτων ἀναισχυντίαν· Ξενο-
κράτης Καρχηδόνιος οὗτος ἑπτὰ μὲν θεοὺς τοὺς
πλανήτας, ὄγδοον δὲ τὸν ἐκ πάντων αὐτῶν συνεστῶ-
P. 20 τα κόσμον αἰνίττεται. οὐδὲ μὴν τοὺς ἀπὸ τῆς Στοᾶς
Sylb. παρελεύσομαι διὰ πάσης ὕλης καὶ διὰ τῆς ἀτιμοτά-
της τὸ θεῖον διήκειν λέγοντας, οἳ καταισχύνουσιν ἀτε-
χνῶς τὴν φιλοσοφίαν. οὐδὲν δὲ οἶμαι χαλεπὸν ἐνταῦ-
θα γενόμενος καὶ τῶν ἐκ τοῦ Περιπάτου μνησθῆναι·
καὶ ὅ γε τῆς αἱρέσεως πατὴρ τῶν ὅλων οὐ νοήσας
τὸν πατέρα τὸν καλούμενον ὕπατον ψυχὴν εἶναι τοῦ
παντὸς οἴεται· τουτέστι τοῦ κόσμου τὴν ψυχὴν θεὸν
ὑπολαμβάνων, αὐτὸς αὑτῷ περιπείρεται. ὁ γάρτοι
μέχρι τῆς σελήνης αὐτῆς διορίζων τὴν πρόνοιαν, ἔπει-
τα τὸν κόσμον θεὸν ἡγούμενος περιτρέπεται, τὸν
ἄμοιρον τοῦ θεοῦ θεὸν δογματίζων. ὁ δὲ Ἐρέσιος
ἐκεῖνος Θεόφραστος ὁ Ἀριστοτέλους γνώριμος πὴ
μὲν οὐρανὸν, πὴ δὲ πνεῦμα τὸν θεὸν ὑπονοεῖ. Ἐπι-
κούρου μὲν γὰρ μόνου καὶ ἑκὼν ἐκλήσομαι, ὃς οὐδὲν
μέλειν οἴεται τῷ θεῷ, διὰ πάντων ἀσεβῶν. τί γὰρ

*) Ep. ad. Galat. 4, 9.

Ἡρακλείδης ὁ Ποντικός; οὐκ ἔσθ᾽ ὅπῃ οὐκ ἐπὶ τὰ Δημοκρίτου καὶ αὐτὸς κατασύρεται εἴδωλα.

Cap. VI.

§. 67. *Καὶ πολύς μοι ἐπιῤῥεῖ τοιοῦτος ὄχλος, οἱονεὶ μορμώ τινα, δαιμονίων παρεισάγων ξένων ἄτοπον σκιαγραφίαν μυθολόγων ὕθλῳ γραϊκῷ· πολλοῦ γε δεῖ ἀνδράσιν ἐπιτρέπειν ἀκροᾶσθαι τοιούτων λόγων, οἳ μηδὲ τοὺς παῖδας τοὺς ἑαυτῶν, τοῦτο δὴ τὸ λεγόμενον, κλαυθμυριζομένους ἐθίζομεν παρηγορεῖσθαι μυθίζοντες, ὀῤῥωδοῦντες συναναтρέφειν αὐτοῖς ἀθεότητα τὴν πρὸς τῶν δοκησισόφων δὴ τούτων καταγγελλομένην, μηδέν τι νηπίων μᾶλλον τἀληθὲς εἰδότων. τί γάρ, ὢ πρὸς τῆς ἀληθείας, τοὺς σοὶ πεπιστευκότας δεικνύεις ῥύσει καὶ φθορᾷ δειναῖς τε καὶ ἀτάκτοις ὑποβεβλημένους; τί δαί μοι εἰδώλων ἀναπίμπλης τὸν βίον, ἀνέμους τε ἢ ἀέρα ἢ γῆν ἢ λίθους ἢ ξύλα ἢ σίδηρον ἢ κόσμον τόνδε θεοὺς ἀναπλάττουσα, θεοὺς δὲ καὶ τοὺς ἀστέρας τοὺς πλανήτας τοῖς ὄντως πεπλανημένοις τῶν ἀνθρώπων διὰ τῆς πολυθρυλήτου ταύτης ἀστρολογίας, οὐκ ἀστρονομίας, μετεωρολογοῦσα καὶ ἀδολεσχοῦσα; τὸν κύ-* P. 59 Pott. *ριον τῶν πνευμάτων ποθῶ, τὸν κύριον τοῦ πυρὸς, τὸν κόσμου δημιουργὸν, τὸν ἡλίου φωταγωγόν· θεὸν ἐπιζητῶ, οὐ τὰ ἔργα τοῦ θεοῦ.*

§. 64. *Τίνα δὴ λάβω παρὰ σοῦ συνεργὸν τῆς ζητήσεως; οὐ γὰρ παντάπασιν ἀπεγνώκαμέν σε, εἰ βούλει, τὸν Πλάτωνα. πῇ δὴ οὖν ἐξιχνευτέον τὸν θεὸν, ὦ Πλάτων; τὸν γὰρ πατέρα καὶ ποιητὴν τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς ἅπαντας ἐξειπεῖν ἀδύνατον. διὰ τί δῆτα; ὢ πρὸς αὐτοῦ· ῥητέος γὰρ οὐδαμῶς ἐστίν. εὖ γε, ὦ Πλάτων, ἐπαφᾶσαι τῆς ἀληθείας· ἀλλὰ μὴ ἀποκάμῃς· ξύν μοι λαβοῦ τῆς ζητήσεως τἀγαθοῦ πέρι· πᾶσιν γὰρ ἁπαξ-*

ἁπλῶς ἀνθρώποις, μάλιστα δὲ τοῖς περὶ λόγους ἐνδιατρίβουσιν ἐνέστακταί τις ἀπόρροια θεϊκή. οὗ δὴ χάριν καὶ ἄκοντες μὲν ὁμολογοῦσιν ἕνα τε εἶναι θεὸν, ἀνώλεθρον καὶ ἀγέννητον τοῦτον, ἄνω πού περὶ τὰ νῶτα τοῦ οὐρανοῦ ἐν τῇ ἰδίᾳ καὶ οἰκείᾳ περιωπῇ ὄντως ὄντα ἀεί·

θεὸν δὲ ποῖον εἰπέ μοι νοητέον;
τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον,

Εὐριπίδης λέγει. πεπλανῆσθαι γοῦν ὁ Μένανδρός μοι δοκεῖ, ἔνθα φησίν·

ἥλιε, σὲ γὰρ δεῖ προσκυνεῖν πρῶτον θεῶν,
δι' ὃν θεωρεῖν ἔστι τοὺς ἄλλους θεούς·

οὐδὲ γὰρ ἥλιος ἐπιδείξειέ ποτ' ἂν τὸν θεὸν τὸν ἀληθῆ, ὁ δὲ λόγος ὁ ὑγιὴς, ὅς ἐστιν ἥλιος ψυχῆς, δι' οὗ μόνου ἔνδον ἀνατείλαντος ἐν τῷ βάθει τοῦ νοῦ καὶ τοῦ νοὸς αὐτοῦ καταυγάζεται τὸ ὄμμα· ὅθεν οὐκ ἀπεικότως ὁ Δημόκριτος τῶν λογίων ἀνθρώπων ὀλίγους φησὶν ἀνατείναντας τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες, πάντα Δία μυθεῖσθαι· καὶ πάντα οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρέεται καὶ βασιλεὺς οὗτος τῶν πάντων. ταύτῃ πῃ καὶ **P. 60 Pott.** Πλάτων διανοούμενος τὸν θεὸν αἰνίττεται· περὶ τὸν πάντων βασιλέα πάντ' ἐστὶ, κἀκεῖνος αἴτιον ἁπάντων καλῶν.

§. 69. *Τίς οὖν ὁ βασιλεὺς τῶν πάντων;* θεὸς τῆς τῶν ὄντων ἀληθείας τὸ μέτρον. ὥσπερ οὖν τῷ μέτρῳ καταληπτὰ τὰ μετρούμενα, οὑτωσὶ δὲ καὶ τῷ νοῆσαι τὸν θεὸν μετρεῖται καὶ καταλαμβάνεται ἡ ἀλήθεια; ὁ δὲ ἱερὸς ὄντως Μωϋσῆς, „οὐκ ἔσται", φησὶν, „ἐν τῷ μαρσίππῳ σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρὸν οὐδὲ ἔσται ἐν τῇ οἰκίᾳ σου μέτρον καὶ μέτρον, μέγα ἢ μικρὸν, ἀλλ' ἢ στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοί"*), στάθμιον καὶ μέτρον καὶ

*) **Deuteron. 25, 13—15.**

ἀριθμὸν τῶν ὅλων ὑπολαμβάνων τὸν θεόν· τὰ μὲν γὰρ ἄδικα καὶ ἄνισα εἴδωλα οἴκοι ἐν τῷ μαρσίππῳ καὶ ἐν τῇ ὡς ἔπος εἰπεῖν ῥυπώσῃ ψυχῇ κατακέκρυπται· τὸ δὲ μόνον δίκαιον μέτρον, ὁ μόνος ὄντως θεὸς, ἴσος ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων, μετρεῖται πάντα καὶ σταθμᾶται, οἱονεὶ τρυτάνῃ, τῇ δικαιοσύνῃ τὴν τῶν ὅλων ἀρρεπῶς περιλαμβάνων καὶ ἀνέχων φύσιν. ὁ μὲν δὴ θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων εὐθεία περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός.

§. 70. Πόθεν, ὦ Πλάτων, ἀλήθειαν αἰνίττῃ; πόθεν ἡ τῶν λόγων ἄφθονος χορηγία τὴν θεοσέβειαν μαντεύεται; σοφώτερα, φησὶν, τούτων βαρβάρων τὰ γένη. οἶδά σου τοὺς διδασκάλους κἂν ἀποκρύπτειν ἐθέλῃς· γεωμετρίαν παρ' Αἰγυπτίων μανθάνεις, ἀστρονομίαν παρὰ Βαβυλωνίων, ἐπῳδὰς τὰς ὑγιεῖς παρὰ Θρᾳκῶν λαμβάνεις, πολλά σε καὶ Ἀσσύριοι πεπαιδεύκασι, νόμους δὲ τοὺς ὅσοι ἀληθεῖς καὶ δόξαν τὴν τοῦ θεοῦ παρ' αὐτῶν ὠφέλησαι τῶν Ἑβραίων,

οἵτινες οὐκ ἀπάτῃσι κεναῖς, οὐδ' ἔργ' ἀνθρώπων
P. 21 χρύσεα καὶ χάλκεια καὶ ἀργύρου ἠδ' ἐλέφαντος
Sylb. καὶ ξυλίνων λιθίνων τε βροτῶν εἴδωλα θανόντων
τιμῶσιν, ὅσα πέρ τε βροτοὶ κενεόφρονι βουλῇ·
ἀλλὰ γὰρ ἐξαίρουσι πρὸς οὐρανὸν ὠλένας ἁγνὰς,
ὄρθριοι ἐξ εὐνῆς, αἰεὶ χρόα ἁγνίζοντες P. 61
ὕδασι, καὶ τιμῶσι μόνον τὸν ἀεὶ μεδέοντα Pott.
ἀθάνατον.

§. 71. Καί μοι μὴ μόνον, ὦ φιλοσοφία, ἕνα τοῦτον Πλάτωνα, πολλοὺς δὲ καὶ ἄλλους παραστῆσαι σπούδασον, τὸν ἕνα ὄντως μόνον θεὸν ἀναφθεγγομένους θεὸν κατ' ἐπίπνοιαν αὐτοῦ, εἴ που τῆς ἀληθείας ἐπιδράξαιντο. Ἀντισθένης μὲν γὰρ οὐ Κυνικὸν

δὴ τοῦτο ἐνενόησεν, Σωκράτους δὲ ἅτε γνώριμος θεὸν οὐδενὶ ἐοικέναι φησίν· διόπερ αὐτὸν οὐδεὶς ἐκμαθεῖν ἐξ εἰκόνος δύναται. Ξενοφῶν δὲ ὁ Ἀθηναῖος διαῤῥήδην ἂν καὶ αὐτὸς περὶ τῆς ἀληθείας ἀναγράφει τὶ μαρτυρῶν ὡς Σωκράτης, εἰ μὴ τὸ Σωκράτους ἐδεδίει φάρμακον· οὐδὲν δὲ ἧττον αἰνίττεται. ὁ γοῦν τὰ πάντα, φησὶ, σείων καὶ ἀτρεμίζων ὡς μὲν μέγας τις καὶ δυνατὸς φανερός· ὁποῖος δέ τις μορφὴν, ἀφανής, οὐδὲ μὴν ὁ παμφαὴς δοκῶν εἶναι ἥλιος οὐδ' αὐτὸς ἔοικεν ὁρᾶν αὐτὸν ἐπιτρέπειν, ἀλλ' ἤν τις ἀναιδῶς αὐτὸν θεάσηται, τὴν ὄψιν ἀφαιρεῖται. πόθεν ἄρα ὁ τοῦ Γρύλλου σοφίζεται ἢ δηλαδὴ παρὰ τῆς προφήτιδος τῆς Ἑβραίων θεσπιζούσης ὧδέ πως;

Τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ
ὀφθαλμοῖσιν ἰδεῖν θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ;
ἀλλ' οὐδ' ἀκτίνων κατεναντίον ἠελίοιο
ἄνθρωποι στῆναι δυνατοὶ, θνητοὶ γεγαῶτες.

§. 72. Κλεάνθης δὲ ὁ Πισαδεὺς, ὁ ἀπὸ τῆς Στοᾶς φιλόσοφος, ὃς οὐ θεογονίαν ποιητικὴν, θεολογίαν δὲ ἀληθινὴν ἐνδείκνυται, οὐκ ἀπεκρύψατο τοῦ θεοῦ πέρι ὅτι περ εἶχεν φρονῶν·

τἀγαθὸν ἐρωτᾷς μ' οἷόν ἐστ'· ἄκουε δή.
τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβὲς,
κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλὸν, δέον,
αὐστηρὸν, αὐθέκαστον, αἰεὶ συμφέρον, P. 62 Pott.
ἄφοβον, ἄλυπον, λυσιτελὲς, ἀνώδυνον,
ὠφέλιμον, εὐάρεστον, ἀσφαλὲς, φίλον,
ἔντιμον, ὁμολογούμενον, *** ***
εὐκλεὲς, ἄτυφον, ἐπιμελὲς, πρᾶον, σφοδρὸν,
χρονιζόμενον, ἄμεμπτον, αἰεὶ διαμένον.
ἀνελεύθερος πᾶς ὅστις εἰς δόξαν βλέπει,
ὡς δὴ παρ' ἐκείνης τευξόμενος καλοῦ τινός.

Ἐνταῦθα δὴ σαφῶς, οἶμαι, διδάσκει ὁποῖός ἐστιν ὁ θεός· καὶ ὡς ἡ δόξα ἡ κοινὴ καὶ ἡ συνήθεια τοὺς ἑπομένους αὐταῖν, ἀλλὰ μὴ τὸν θεὸν ἐπιζητοῦντας,

ἐξανδραποδιζέσθην. οὐκ ἀποκρυπτέον οὐδὲ τοὺς ἀμφὶ τὸν Πυθαγόραν, οἵ φασιν, ὁ μὲν θεὸς εἷς, χοὗτος δὲ οὐχ ὥς τινες ὑπονοοῦσιν, ἐκτὸς τᾶς διακοσμήσιος, ἀλλ' ἐν αὐτᾷ, ὅλος ἐν ὅλῳ τῷ κύκλῳ ἐπίσκοπος πάσας γενέσιος, κρᾶσις τῶν ὅλων, ἀεὶ ὢν καὶ ἐργάτας τῶν αὐτοῦ δυνάμιων καὶ ἔργων ἁπάντων, ἐν οὐρανῷ φωστὴρ καὶ πάντων πατὴρ, νοῦς καὶ ψύχωσις τῶ ὅλω κύκλω, πάντων κίνασις. ἀπόχρη καὶ τάδε εἰς ἐπίγνωσιν θεοῦ ἐπιπνοίᾳ θεοῦ πρὸς αὐτῶν μὲν ἀναγεγραμμένα, πρὸς δὲ ἡμῶν ἐξειλεγμένα τῷ γε καὶ σμικρὸν διαθρεῖν ἀλήθειαν δυναμένῳ.

Cap. VII.

§. 73. Ἴτω δὲ ἡμῖν — οὐ γὰρ αὐταρκεῖ μόνον ἡ φιλοσοφία — ἀλλὰ καὶ αὐτὴ ποιητικὴ ἡ περὶ τὸ ψεῦδος τὰ πάντα ἠσχολημένη· μόλις ποτὲ ἤδη ἀλήθειαν μαρτυρήσουσα, μᾶλλον δὲ ἐξομολογουμένη τῷ θεῷ τὴν μυθώδη παρέκβασιν· παρίτω δὴ ὅστις καὶ βούλεται ποιητὴς πρῶτος. Ἄρατος μὲν οὖν διὰ πάντων τὴν δύναμιν τοῦ θεοῦ διήκειν νοεῖ,

ὄφρ' ἔμπεδα πάντα φύωνται,
τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται·
χαῖρε, πάτερ, μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ*).

ταύτῃ τοὶ καὶ ὁ Ἀσκραῖος αἰνίττεται Ἡσίοδος τὸν θεόν· P. 63 Pott.

αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν,
ἀθανάτων τέ οἱ οὔτις ἐρήρισται κράτος ἄλλος**).

§. 74. Ἤδη δὲ καὶ ἐπὶ τῆς σκηνῆς παραγυμνοῦσι τὴν ἀλήθειαν· ὁ μὲν καὶ εἰς τὸν αἰθέρα καὶ εἰς

---

*) Arati Phaenom. v. 13—15. **) Hesiod. Fragm. LIII. p. 90. ed. L. Dind.

τὸν οὐρανὸν ἀναβλέψας τόνδε ἡγοῦ θεόν, φησὶν Εὐριπίδης. ὁ δὲ τοῦ Σοφίλλου Σοφοκλῆς,

εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν θεός,
ὃς οὐρανόν τ᾽ ἔτευξε καὶ γαῖαν μακρὰν
πόντου τε χαροπὸν οἶδμα κἀνέμων βίας·
θνητοὶ δὲ πολλοὶ καρδίᾳ πλανώμενοι
ἱδρυσάμεσθα πημάτων παραψυχὴν,
θεῶν ἀγάλματ᾽ ἐκ λίθων ἢ χαλκέων,
ἢ χρυσοτεύκτων ἢ ᾽λεφαντίνων τύπους·
θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις
νέμοντες, οὕτως εὐσεβεῖν νομίζομεν.

οὑτοσὶ μὲν ἤδη καὶ παρακεκινδυνευμένως ἐπὶ τῆς σκηνῆς τὴν ἀλήθειαν τοῖς θεαταῖς παρεισήγαγεν· ὁ δὲ Θρᾴκιος ἱεροφάντης καὶ ποιητὴς ἅμα, ὁ τοῦ Οἰάγρου Ὀρφεὺς, μετὰ τὴν τῶν ὀργίων ἱεροφαντίαν καὶ τῶν εἰδώλων τὴν θεολογίαν, παλινῳδίαν ἀληθείας εἰσάγει, τὸν ἱερὸν ὄντως ὀψέ ποτε, ὅμως δ᾽ οὖν ᾄδων λόγον·

φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ᾽ ἐπίθεσθε βεβήλοις
πάντες ὁμῶς· σὺ δ᾽ ἄκουε, φαεσφόρου ἔκγονε μήνης,
P. 22 Sylb. Μουσαῖ᾽, ἐξερέω γὰρ ἀληθέα, μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος, εὖ δ᾽ ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ᾽ ἐσόρα κόσμοιο ἄνακτα
ἀθάνατον.

εἶτα ὑποβὰς διαρρήδην ἐπιφέρει·

εἷς ἔστ᾽, αὐτοτελὴς, ἑνὸς ἔκγονα πάντα τέτυκται· P. 64 Pott.
ἐν δ᾽ αὐτοῖς αὐτὸς περινίσσεται· οὐ δέ τις αὐτὸν
εἰσοράᾳ θνητῶν· αὐτὸς δέ γε πάντας ὁρᾶται.

οὕτως μὲν δὴ Ὀρφεύς· χρόνῳ τέ ποτε συνῆκεν πεπλανημένος.

ἀλλὰ σὺ μὴ μέλλων, βροτὲ ποικιλόμητι, βράδυνε·
ἀλλὰ παλίμπλαγκτος στρέψας, θεὸν ἱλάσκοιο.

εἰ γὰρ καὶ τὰ μάλιστα ἐναύσματά τινα τοῦ λόγου τοῦ θείου λαβόντες Ἕλληνες, ὀλίγα ἄττα τῆς ἀληθείας ἐφθέγξαντο, προσμαρτυροῦσι μὲν τὴν δύναμιν αὐτῆς οὐκ ἀποκεκρυμμένην· σφᾶς δὲ αὐτοὺς ἐλέγχουσιν, ἀσθενεῖς, οὐκ ἐφικόμενοι τοῦ τέλους.

§. 75. Ἤδη γὰρ οἶμαι παντί τῳ δῆλον γεγονέναι, ὡς τῶν χωρὶς τοῦ λόγου τῆς ἀληθείας ἐνεργούντων τὶ ἢ καὶ φθεγγομένων, ὁμοίων ὄντων τοῖς χωρὶς βάσεως βαδίζειν βιαζομένοις· δυσωπούντων δέ σε εἰς σωτηρίαν καὶ οἱ περὶ τοὺς θεοὺς ὑμῶν ἔλεγχοι, οὓς διὰ τὴν ἀλήθειαν ἐκβιαζόμενοι κωμῳδοῦσι ποιηταί. Μένανδρος γοῦν ὁ κωμικὸς ἐν Ἡνιόχῳ, ἐν ὑποβολιμαίῳ τῷ δράματι·

οὐδείς μ᾽ ἀρέσκει, φησί, περιπατῶν ἔξω θεὸς
μετὰ γραὸς, οὐδ᾽ εἰς οἰκίας παρεισιὼν
ἐπὶ τοῦ σανιδίου μητραγύρτης.

τοιοῦτοι γὰρ οἱ μητραγύρται. ὅθεν εἰκότως ὁ Ἀντισθένης ἔλεγεν αὐτοῖς μεταιτοῦσιν, οὐ τρέφω τὴν μητέρα τῶν θεῶν, ἣν οἱ θεοὶ τρέφουσιν. πάλιν δὲ ὁ αὐτὸς κωμῳδοποιὸς ἐν Ἱερείᾳ τῷ δράματι χαλεπαίνων πρὸς τὴν συνήθειαν, διελέγχειν πειρᾶται τὸν ἄθεον τῆς πλάνης τῦφον, ἐπιφθεγγόμενος ἐμφρόνως·

εἰ γὰρ ἕλκει τὸν θεὸν
τοῖς κυμβάλοις ἄνθρωπος, εἰς ὃ βούλεται,
ὁ τοῦτο ποιῶν ἐστὶ μείζων τοῦ θεοῦ·
ἀλλ᾽ ἔστι τόλμης καὶ βίου ταῦτ᾽ ὄργανα P. 65
εὑρημέν᾽, ἀνθρώποισιν. Pott.

§. 76. Καὶ οὐχὶ μόνος ὁ Μένανδρος, ἀλλὰ καὶ Ὅμηρος καὶ Εὐριπίδης καὶ ἄλλοι συχνοὶ ποιηταὶ διελέγχουσιν ὑμῶν τοὺς θεοὺς καὶ λοιδορεῖσθαι οὐ δεδίασιν οὐδὲ καθ᾽ ὁπόσον αὐτοῖς. αὐτίκα τὴν Ἀθηνᾶν κυνόμυιαν· καὶ τὸν Ἥφαιστον ἀμφιγύην καλοῦσιν, τῇ δὲ Ἀφροδίτῃ ἡ Ἑλένη φησί,

μηκέτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον *).

ἐπὶ δὲ τοῦ Διονύσου ἀναφανδὸν Ὅμηρος γράφει·

ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
σεῦε κατ' ἠγάθεον Νυσήιον· αἱ δ' ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευαν, ὑπ' ἀνδροφόνοιο Λυκούργου **).

ἄξιος ὡς ἀληθῶς Σωκρατικῆς διατριβῆς ὁ Εὐριπίδης εἰς τὴν ἀλήθειαν ἀπιδὼν καὶ τοὺς θεατὰς ὑπεριδών· ποτὲ μὲν τὸν Ἀπόλλωνα,

ὃς μεσομφάλους ἕδρας
ναίει βροτοῖσι στόμα νέμων σαφέστατα,

διελέγχων·

κείνῳ πιθόμενος, τὴν τεκοῦσαν ἔκτανον,
ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον καὶ κτείνετε·
ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ,
ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.

τοτὲ δ' ἐμμανῆ εἰσάγων Ἡρακλέα καὶ μεθύοντα, ἀλλαχόθι καὶ ἄπληστον· πῶς γὰρ οὐχί; ὃς ἑστιώμενος τοῖς κρέασι

χλωρὰ σῦκ' ἐπήσθιεν
ἄμουσ' ὑλακτῶν ὥστε βαρβάρῳ μαθεῖν.

ἤδη δὲ ἐν Ἴωνι τῷ δράματι γυμνῇ τῇ κεφαλῇ ἐκκυκλεῖ τῷ θεάτρῳ τοὺς θεούς·

πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας αὐτοὺς ἀδικίας ὀφλισκάνειν;
εἰ δ', οὐ γὰρ ἔσται, τῷ λόγῳ δὲ χρήσομαι,
δίκας βιαίων δώσετ' ἀνθρώποις γάμων,
σὺ καὶ Ποσειδῶν Ζεύς θ', ὃς οὐρανοῦ κρατεῖ,
ναοὺς τίνοντες ἀδικίας κενώσετε.

Cap. VIII.

§. 77. Ὥρα τοίνυν τῶν ἄλλων ἡμῖν τῇ τάξει προδιηνυσμένων ἐπὶ τὰς προφητικὰς ἰέναι γραφάς·

*) Il. γ. 405. **) Il. ζ. 132 sqq.

καὶ γὰρ οἱ χρησμοὶ τὰς εἰς τὴν θεοσέβειαν ἡμῖν P. 66 Pott. ἀφορμὰς ἐναργέστατα προτείνοντες θεμελιοῦσι τὴν ἀλήθειαν, γραφαὶ δὲ αἱ θεῖαι καὶ πολιτεῖαι σώφρονες σύντομοι σωτηρίας ὁδοί· γυμναὶ κομμωτικῆς καὶ τῆς ἐκτὸς καλλιφωνίας καὶ στωμυλίας καὶ κολακείας ὑπάρχουσαι ἀνιστῶσιν ἀγχόμενον ὑπὸ κακίας τὸν ἄνθρωπον, ὑπεριδοῦσαι τὸν ὄλισθον τὸν βιωτικὸν, μιᾷ καὶ τῇ αὐτῇ φωνῇ πολλὰ θεραπεύουσαι, ἀποτρέπουσαι μὲν ἡμᾶς τῆς ἐπιζημίου ἀπάτης, προτρέπουσαι δὲ ἐμφανῶς εἰς πρoῦπτον σωτηρίαν. αὐτίκα γοῦν ἡ προφῆτις ἡμῖν ᾀσάτω πρώτη Σίβυλλα τὸ ᾆσμα τὸ σωτήριον·

P. 23 Sylb. οὗτος ἰδοὺ πάντεσσι σαφὴς, ἀπλάνητος ὑπάρχει·
ἔλθετε, μὴ σκοτίην δὲ διώκετε καὶ ζόφον αἰεὶ,
ἠελίου γλυκυδερκὲς, ἰδοὺ, φάος ἔξοχα λάμπει.
γνῶτε δὲ κατθέμενοι σοφίην ἐν στήθεσιν ὑμῶν.
εἷς θεός ἐστι, βροχὰς, ἀνέμους, σεισμούς τ' ἐπιπέμπων,
ἀστεροπὰς, λιμοὺς, λοιμοὺς καὶ κήδεα λυγρὰ
καὶ νιφετοὺς, κρύσταλλά τε· τί καθ' ἓν ἐξαγορεύω;
οὐρανοῦ ἡγεῖται, γαίης κρατεῖ, αὐτὸς ὑπάρχει.

ἐνθέως σφρόδρα τὴν μὲν ἀπάτην ἀπεικάζουσα τῷ σκότει, τὴν δὲ γνῶσιν ἡλίῳ καὶ φωτὶ τοῦ θεοῦ· ἄμφω δὲ παραθεμένη τῇ συγκρίσει τὴν ἐκλογὴν διδάσκει, τὸ γὰρ ψεῦδος οὐ ψιλῇ τῇ παραθέσει τἀληθοῦς διασκεδάννυται, τῇ δὲ χρήσει τῆς ἀληθείας ἐκβιαζόμενον φυγαδεύεται.

§. 78. Ἱερεμίας δὲ ὁ προφήτης ὁ πάνσοφος, μᾶλλον δὲ ἐν Ἱερεμίᾳ τὸ ἅγιον πνεῦμα ἐπιδείκνυσι τὸν θεόν. „θεὸς ἐγγίζων ἐγώ εἰμι", φησὶ, „καὶ οὐχὶ θεὸς πόρρωθεν. εἰ ποιήσει τι ἄνθρωπος ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; ἢ οὐχὶ τοὺς οὐρανοὺς καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει κύριος" *). πάλιν δὲ αὖ διὰ Ἡσαΐου, „τίς μετρήσει", φησὶ, „τὸν οὐρανὸν

*) Ierem. 23, 23. 24.

σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί“ *); *ὅρα τὸ μέγεθος τοῦ θεοῦ καὶ καταπλάγηθι. τοῦτον προσκυνήσωμεν, ἐφ᾽ οὗ φησὶν ὁ προφήτης, „ἀπὸ προσώπου σοῦ ὄρη τακήσονται, ὡς ἀπὸ προσώπου πυρὸς τήκεται κηρός“* **). *„οὗτος, φησὶν, ἐστὶν ὁ θεὸς, οὗ θρόνος μέν ἐστιν ὁ οὐρανὸς, ὑποπόδιον δὲ ἡ γῆ, ὃς ἐὰν ἀνοίξῃ τὸν οὐρανὸν, τρόμος σὲ λήψεται“* ***). *βούλει καὶ περὶ τῶν εἰδώλων ἀκοῦσαι τί φησὶν προφήτης οὗτος; „παραδειγματισθήσονται ἔμπροσθεν τοῦ* P. 67 Pott. *ἡλίου καὶ ἔσται τὰ θνησιμαῖα αὐτῶν βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ σαπήσεται ὑπὸ τοῦ ἡλίου καὶ τῆς σελήνης, ἃ αὐτοὶ ἠγάπησαν καὶ οἷς αὐτοὶ ἐδούλευσαν καὶ ἐμπρησθήσεται ἡ πόλις αὐτῶν“* †). *φθαρήσεσθαι δὲ καὶ τὰ στοιχεῖα καὶ τὸν κόσμον σὺν καὶ αὐτοῖς λέγει· „ἡ γῆ“, φησὶ, „παλαιωθήσεται καὶ ὁ οὐρανὸς παρελεύσεται, τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα“* ††).

§. 79. *Τί δαὶ ὅταν πάλιν ἑαυτὸν δεικνύναι ὁ θεὸς βουληθῇ διὰ Μωϋσέως· „ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι καὶ οὐκ ἔστι θεὸς ἕτερος πλὴν ἐμοῦ. ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου“* †††). *ἀλλὰ καὶ ἑτέρου ἐπακοῦσαι θέλεις χρησμῳδοῦ; ἔχεις τὸν χορὸν πάντα τὸν προφητικὸν, τοὺς συνθιασώτας τοῦ Μωϋσέως. τί φησὶν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον διὰ Ὠσηὲ, οὐκ ὀκνήσω λέγειν· „ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα, οὗ αἱ χεῖρες καὶ τὴν στρατιὰν τοῦ οὐρανοῦ ἐθεμελίωσαν“* ††††). *ἔτι δὲ καὶ διὰ Ἡσαΐου καὶ ταύτην ἀπομνημονεύσω σοὶ τὴν φωνήν· „ἐγώ εἰμι [, ἐγώ εἰμι“, φησὶν, „ὁ] κύριος ὁ λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν· συνάχθητε καὶ ἥκετε· βουλεύσασθε ἅμα, οἱ σωζόμενοι ἀπὸ τῶν ἐθνῶν. οὐκ ἔγνωσαν οἱ*

---

*) Ies. 40, 12. **) Ibid. 64, 1. 2. ***) Ibid. 66, 1. cl. 64, 1. †) Ierem. 8, 2. 34, 20. 4, 26. ††) Ies. 40, 8. 51, 6. †††) Deuteron. 32, 39. ††††) Amos 4, 13; cl. Psalm, 8, 3.

αἴροντες τὸ ξύλον, γλύμμα αὐτῶν· καὶ προσευχόμενοι θεοῖς, οἳ οὐ σώσουσιν αὐτούς" *). εἶθ᾽ ὑποβάς, „ἐγώ", φησίν, „ὁ θεός, καὶ οὐκ ἔστι πλὴν ἐμοῦ δίκαιος καὶ σωτήρ· οὐκ ἔστι παρὲξ ἐμοῦ· ἐπιστράφητε πρός με καὶ σωθήσεσθε οἱ ἀπ᾽ ἐσχάτου τῆς γῆς. ἐγώ εἰμι ὁ θεὸς καὶ οὐκ ἔστιν ἄλλος· κατ᾽ ἐμοῦ ὀμνύω" **). τοῖς δὲ εἰδωλολάτραις δυσχεραίνει λέγων, „τίνι ὡμοιώσατε κύριον; ἢ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησεν τέκτων; ἢ χρυσοχόος χωνεύσας χρυσίον, περιεχρύσωσεν αὐτόν" ***); καὶ τὰ ἐπὶ τούτοις. μὴ οὖν ἔτι ὑμεῖς εἰδωλολάτραι· ἀλλὰ κἂν νῦν φυλάξασθε τὰς ἀπειλάς· „ὀλολύξει γὰρ τὰ γλυπτὰ καὶ τὰ χειροποίητα" †), μᾶλλον δὲ οἱ ἐπ᾽ αὐτοῖς πεποιθότες, ἀναίσθητος γὰρ ἡ ὕλη. ἔτι, φησίν, „ὁ κύριος σείσει πόλεις κατοικουμένας καὶ τὴν οἰκουμένην ὅλην καταλήψεται τῇ χειρί, ὡς νοσσιάν" ††).

§. 80. Τί σοι σοφίας ἀναγγέλλω μυστήρια καὶ ῥήσεις ἐκ παιδὸς Ἑβραίου σεσοφισμένου; „κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ" †††), καὶ „κύριος δίδωσι σοφίαν καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις" *). „ἕως πότε, ὀκνηρέ, κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; ἐὰν δὲ ἄοκνος ῇς, ἥξει σοὶ ὥσπερ πηγὴ ὁ ἄμητός σου, ὁ λόγος ὁ πατρικός, P. 68 Pott. ὁ ἀγαθὸς λύχνος, ὁ κύριος ἐπάγων τὸ φῶς, τὴν πίστιν πᾶσι καὶ σωτηρίαν" **). „κύριος" γὰρ „ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὥς φησιν Ἱερεμίας, ἀνώρθωσεν τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ" ***). προπεσόντας γὰρ ἡμᾶς ἐπὶ τὰ εἴδωλα ἡ σοφία, ἥ ἐστιν ὁ λόγος αὐτοῦ, ἀνορθοῖ ἐπὶ τὴν ἀλήθειαν. καὶ αὕτη πρώτη τοῦ παραπτώματος ἀνάστασις· ὅθεν ἀποτρέπων εἰδωλολατρείας ἁπάσης ὁ θεσπέσιος παγκάλως ἀνακέκραγε Μωϋσῆς· „ἄκουε Ἰσραήλ· κύριος ὁ θεός

---

*) Ies. 45, 19. 20. **) Ibid. 21, 22. 23. ***) Ibid. 40, 18. 19. †) Ibid. 10, 10. ††) Ibid. v. 14. †††) Proverb. 8, 22. *) Ibid. 2, 6. **) Ibid. 6, 9. 10. 20. 22. 23. ***) Ierem. 10, 12.

σου, κύριος εἷς ἐστίν" *)· καὶ „κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις" **), νῦν δὴ οὖν σεύετε, ω ἄνθρωποι, κατὰ τὸν μακάριον ψαλμῳδὸν ἐκεῖνον τὸν Δαβίδ· „δράξασθε παιδείας, μή ποτε ὀργισθῇ κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας, ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ. μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ" ***).

§. 81. Ἤδη δὲ ὑπεροικτείρων ἡμᾶς ὁ κύριος τὸ σωτήριον ἐνδίδωσι μέλος, οἷον ἐμβατήριον ῥυθμόν· P. 24 Sylb. „υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος †); τίς οὖν ἡ ματαιότης καὶ τί τὸ ψεῦδος; ὁ ἅγιος ἀπόστολος τοῦ κυρίου τοὺς Ἕλληνας αἰτιώμενος ἐξηγήσεταί σοι, „ὅτι γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα" ††). καὶ μὴν ὅ γε θεὸς οὗτος, ὃς „ἐν ἀρχῇ ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν"· σὺ δὲ τὸν μὲν θεὸν οὐ νοεῖς, τὸν δὲ οὐρανὸν προσκυνεῖς καὶ πῶς οὐκ ἀσεβεῖς; ἄκουε πάλιν προφήτου λέγοντος· „ἐκλείψει μὲν ὁ ἥλιος καὶ ὁ οὐρανὸς σκοτισθήσεται, λάμψει δὲ ὁ παντοκράτωρ εἰς τὸν αἰῶνα καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται καὶ οἱ οὐρανοὶ εἱλιγήσονται, ὡς δέρρις, ἐκτεινόμενοι καὶ συστελλόμενοι" — αὗται γὰρ αἱ προφητικαὶ φωναί — „καὶ ἡ γῆ φεύξεται ἀπὸ προσώπου κυρίου" †††).

---

*) Deuterm. 6, 4. **) Ibid. 6, 13. 10, 20. ***) Psalm. 2, 12. †) Psalm. 4, 2. ††) Ep. ad Rom. 1, 21. 23. 25. †††) *His similia leguntur Psalm.* 102, 26. Ies. 13, 10. *Ezech.* 33, 7. *Ioel.* 2, 10. 31. 3, 15. *Ipsa verba, quae habet Clemens, nondum inueni.* Pott.

Cap. IX.

§. 82. *Καὶ μυρίας ἂν ἔχοιμί σοι γραφὰς παραφέρειν, ὧν οὐδὲ „κεραία παρελεύσεται μία" *), μὴ οὐχὶ ἐπιτελὴς γενομένη· τὸ γὰρ στόμα κυρίου, τὸ ἅγιον πνεῦμα, ἐλάλησεν ταῦτα. „μὴ τοίνυν μηκέτι", φησὶν, „υἱέ μου, ὀλιγώρει παιδείας κυρίου, μηδ' ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος" **). ὢ τῆς ὑπερβαλλούσης φιλανθρωπίας· οὐδ' ὡς μαθηταῖς ὁ διδάσκαλος οὐδ' ὡς οἰκέταις ὁ κύριος οὐδ' ὡς θεὸς ἀνθρώποις, „πα- P. 69 Pott. τὴρ δὲ ὡς ἤπιος" νουθετεῖ υἱούς· εἶτα Μωϋσῆς μὲν ὁμολογεῖ „ἔμφοβος εἶναι καὶ ἔντρομος" ***), ἀκούων περὶ τοῦ λόγου, σὺ δὲ τοῦ λόγου ἀκροώμενος τοῦ θείου οὐ δέδιας; οὐκ ἀγωνιᾷς; οὐχὶ ἅμα τε εὐλαβῇ καὶ σπεύδεις ἐκμαθεῖν, τουτέστιν σπεύδεις εἰς σωτηρίαν, φοβούμενος τὴν ὀργὴν, ἀγαπήσας τὴν χάριν, ζηλώσας τὴν ἐλπίδα, ἵνα ἐκκλίνῃς τὴν κρίσιν; ἥκετε, ἥκετε, ὦ νεολαία ἡ ἐμή· „ἢν γὰρ μὴ αὖθις ὡς τὰ παιδία γένησθε καὶ ἀναγεννηθῆτε" †), ὥς φησιν ἡ γραφὴ, τὸν ὄντως ὄντα πατέρα οὐ μὴ ἀπολάβητε, „οὐδ' οὐ μὴ εἰσελεύσησθέ ποτε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν". πῶς γὰρ εἰσελθεῖν ἐπιτέτραπται τῷ ξένῳ; ἀλλ' ὅταν, οἶμαι, ἐγγραφῇ καὶ πολιτευθῇ καὶ τὸν πατέρα ἀπολάβῃ, τότε ἐν τοῖς τοῦ πατρὸς γενήσεται, τότε κληρονομῆσαι καταξιωθήσεται, τότε τῆς βασιλείας τῆς πατρῴας κοινωνήσει τῷ γνησίῳ, „τῷ ἠγαπημένῳ" ††). αὕτη γὰρ „ἡ πρωτότοκος ἐκκλησία" †††), ἡ ἐκ πολλῶν ἀγαθῶν συγκειμένη „παιδίων·" ταῦτ' ἔστι „τὰ πρωτότοκα τὰ ἐναπογεγραμμένα ἐν οὐρανοῖς καὶ τοσαύταις μυριάσιν ἀγγέλων συμπανηγυρίζοντα·" πρωτότοκοι δὲ παῖδες ἡμεῖς οἱ τρόφιμοι τοῦ θεοῦ, οἱ τοῦ πρωτοτόκου γνήσιοι φίλοι, οἱ πρῶτοι τῶν ἄλλων ἀν-*

---

*) Euang. Matth. 5, 18. Luc. 16, 17. **) Prouerb. 3, 13. Ep. ad Hebr. 12, 5. ***) Ep. ad Hebr. 12, 21. †) Matth. 18, 3. Luc. 18, 17. Ioann. 3, 5. ††) Matth. 3, 17. †††) Hebr. 12, 22. 23.

θρώπων τὸν θεὸν νενοηκότες, οἱ πρῶτοι τῶν ἁμαρτιῶν ἀπεσπασμένοι, οἱ πρῶτοι τοῦ διαβόλου κεχωρισμένοι.

§. 83. Νυνὶ δὲ τοσούτῳ τινές εἰσιν ἀθεώτεροι, ὅσῳ φιλανθρωπότερος ὁ θεός· ὁ μὲν γὰρ ἐκ δούλων υἱοὺς ἡμᾶς γενέσθαι βούλεται, οἱ δὲ καὶ υἱοὶ γενέσθαι ὑπερηφανήκασιν. ὢ τῆς ἀπονοίας τῆς πολλῆς· τὸν κύριον ἀπαισχύνεσθε; ἐλευθερίαν ἐπαγγέλλεται, ὑμεῖς δὲ εἰς δουλείαν ἀποδιδράσκετε; σωτηρίαν χαρίζεται, ὑμεῖς δὲ εἰς ἄνθρωπον ὑποφέρεσθε; ζωὴν δωρεῖται αἰώνιον, ὑμεῖς δὲ „τὴν κόλασιν“ ἀναμένετε καὶ „τὸ πῦρ δὲ προσκοπεῖτε, ὃ ἡτοίμασεν ὁ κύριος τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ“*); διὰ τοῦτο ὁ μακάριος ἀπόστολος, „μαρτύρομαι ἐν κυρίῳ“, φησὶν, „μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ ὄντες καὶ ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες ἑαυτοὺς παρέ- P. 70 Pott.
δωκαν ἀπηλγηκότες τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης καὶ πλεονεξίας“**).

§. 84. Τοιούτου μάρτυρος ἐλέγχοντος τὴν τῶν ἀνθρώπων ἄνοιαν, τὸν θεὸν ἐπιβοωμένου, τί δὴ ἕτερον ὑπολείπεται τοῖς ἀπίστοις, ἢ κρίσις καὶ καταδίκη; οὐκ ἀμέλει δὲ ὁ κύριος παραινῶν, ἐκφοβῶν, προτρέπων, διεγείρων, νουθετῶν· ἀφυπνίζει γέ τοι καὶ τοῦ σκότους αὐτοῦ τοὺς πεπλανημένους διανίστησιν· „ἔγειραι“, φησὶν, „ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν· καὶ ἐπιφαύσει σοὶ ὁ Χριστὸς κύριος“***), ὁ τῆς ἀναστάσεως ἥλιος, „ὁ πρὸ ἑωσφόρου γεννώμενος“†), ὁ ζωὴν χαρισάμενος ἀκτῖσιν ἰδίαις. μὴ οὖν περιφρονείτω τὶς τοῦ λόγου, μὴ λάθῃ καταφρονῶν ἑαυτοῦ. λέγει γάρ που ἡ γραφή· „Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκού-

---

*) Matth. 25, 41. 46. **) Ephes. 4, 17. 18. 19. ***) Ephes. 5, 14. †) Psalm. 109, 4.

σητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, ου ἐπείρασάν με οἱ πατέρες ὑμῶν ἐν δοκιμασίᾳ" *). ἡ δὲ δοκιμασία τίς ἐστιν εἰ θέλεις μαθεῖν, τὸ ἅγιόν σοι πνεῦμα ἐξηγήσεται· „καὶ εἶδον τὰ ἔργα μου", φησὶ, „τεσσαράκοντα ἔτη· διὸ προσώχθισα τῇ γενεᾷ ταύτῃ καὶ εἶπον, „„ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου", „ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν ἀνάπαυσίν μου" **). ὁρᾶτε τὴν ἀπειλήν· ὁρᾶτε τὴν προτροπήν· ὁρᾶτε τὴν τιμήν· τί δὴ οὖν ἔτι τὴν χάριν εἰς ὀργὴν μεταλλάσσομεν καὶ οὐχὶ ἀναπεπταμέναις ταῖς ἀκοαῖς καταδεχόμενοι τὸν λόγον, ἐν ἁγναῖς ξενοδοχοῦμεν ψυχαῖς τὸν θεόν· μεγάλη γὰρ τῆς ἐπαγγελίας αὐτοῦ ἡ χάρις, „ἐὰν σήμερον τῆς φωνῆς αὐτοῦ ἀκούσωμεν," τὸ δὲ σήμερον καθ' ἑκάστην αὐτοῦ αὔξεται τὴν ἡμέραν, ἔστ' ἂν ἡ σήμερον ὀνομάζηται. μέχρι δὲ συντελείας καὶ ἡ σήμερον καὶ ἡ μάθησις διαμένει· καὶ τότε ἡ ὄντως σήμερον ἡ ἀνελλειπὴς τοῦ θεοῦ ἡμέρα τοῖς αἰῶσι συνεκτείνεται. ἀεὶ οὖν τῆς φωνῆς ὑπακούωμεν τοῦ θείου λόγου· ἡ σήμερον γὰρ ἀΐδιος αἰὼν ἐστιν
P. 25 εἰκὼν, σύμβολον δὲ τοῦ φωτὸς, ἡ ἡμέρα, φῶς δὲ
Sylb. ὁ λόγος ἀνθρώποις ***), δι' οὗ καταυγαζόμεθα τὸν θεόν.

§. 85. Εἰκότως ἄρα πιστεύσασι μὲν καὶ ὑπακούουσιν „ἡ χάρις ὑπερπλεονάσει" †), ἀπειθήσασι δὲ καὶ „πλανωμένοις κατὰ καρδίαν, ὁδούς τε τὰς κυριακὰς μὴ ἐγνωκόσιν" ††), ἃς εὐθείας ποιεῖν καὶ εὐτρεπίζειν παρήγγειλεν Ἰωάννης, τούτοις δὲ προσώχθισεν ὁ θεὸς καὶ ἀπειλεῖ· καὶ δὴ καὶ τὸ τέλος τῆς ἀπειλῆς αἰνιγματωδῶς ἀπειλήφασιν οἱ παλαιοὶ τῶν Ἑ- P. 71
βραίων πλανῆται· οὐ γὰρ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν Pott.

---

*) Psalm. 95, 7—9. **) Ibid. v. 9—11. ***) Cf. Ioann. 1, 9. †) Ep. ad. Timoth. I, 1, 14. ††) Psalm. 95, 10.

λέγονται διὰ τὴν ἀπιστίαν *), πρὶν ἢ σφᾶς αὐτοὺς κατακολουθήσαντας τῷ Μωϋσέως διαδόχῳ ὀψέ ποτε ἔργῳ μαθεῖν, οὐκ ἂν ἄλλως σωθῆναι, μὴ οὐχὶ ὡς Ἰησοῖ πεπιστευκότας. φιλάνθρωπος δὲ ὢν ὁ κύριος πάντας ἀνθρώπους εἰς ἐπίγνωσιν τῆς ἀληθείας παρακαλεῖ, ὁ τὸν παράκλητον ἀποστέλλων. τίς οὖν ἡ ἐπίγνωσις; θεοσέβεια· „θεοσέβεια δὲ πρὸς πάντα ὠφέλιμος" κατὰ τὸν Παῦλον **), „ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης" ***). πόσου ὡμολογήσατε, ὦ ἄνθρωποι, εἰ ἐπιπράσκετο σωτηρία ἀΐδιος, ὠνήσασθαι ἄν; οὐδὲ εἰ τὸν Πακτωλόν τις ὅλον τοῦ χρυσίου τὸ ῥεῦμα τὸ μυθικὸν ἀπομετρήσαι, ἀντάξιον σωτηρίας μισθὸν ἀριθμήσει.

§. 86. Μὴ οὖν ἀποκάμητε· ἔξεστιν ὑμῖν, ἢν ἐθέλητε, ἐξωνήσασθαι τὴν πολυτίμητον σωτηρίαν οἰκείῳ θησαυρῷ, ἀγάπῃ καὶ πίστει ζωῆς, ὅς ἐστιν ἀξιόλογος μισθός. ταύτην ἡδέως τὴν τιμὴν ὁ θεὸς λαμβάνει· „ἠλπίκαμεν γὰρ ἐπὶ θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν" †). οἱ δὲ ἄλλοι περιπεφυκότες τῷ κόσμῳ, οἷα φύκιά τινα ἐνάλοις πέτραις, ἀθανασίας ὀλιγωροῦσιν· καθάπερ ὁ Ἰθακήσιος γέρων οὐ τῆς ἀληθείας καὶ τῆς ἐν οὐρανῷ πατρίδος, πρὸς δὲ καὶ τοῦ ὄντως ὄντος ἱμειρόμενος φωτὸς, ἀλλὰ τοῦ καπνοῦ ††). θεοσέβεια δὲ ἐξομοιοῦσα τῷ θεῷ κατὰ τὸ δυνατὸν τὸν ἄνθρωπον, κατάλληλον ἐπιγράφεται διδάσκαλον θεὸν τὸν καὶ μόνον ἀπεικάσαι κατ' ἀξίαν δυνάμενον ἄνθρωπον θεῷ.

§. 87. Ταύτην ὁ ἀπόστολος τὴν διδασκαλίαν θείαν ὄντως ἐπιστάμενος „σὺ δὲ, ὦ Τιμόθεε", φησὶν, „ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως ἐν Χριστῷ" †††). ἱερὰ γὰρ ὡς ἀληθῶς τὰ ἱεροποιοῦντα καὶ

---

*) Ep. ad Hebr. 3, 18. 19. **) Ep. ad Timoth. I, 2, 4. ***) Ibid. 4, 8. †) Ibid. v. 10. ††) Cf. Hom. Odyss. α. 57 sqq. †††) Ep. ad Timoth. II, 14, 15.

θεοποιοῦντα γράμματα. ἐξ ὧν γραμμάτων καὶ συλλαβῶν τῶν ἱερῶν τὰς συγκειμένας γραφὰς, τὰ συντάγματα, ὁ αὐτὸς ἀκολούθως ἀπόστολος „θεοπνεύστου" καλεῖ, „ὠφελίμους οὔσας πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτημένος" *). οὐκ ἄν τις οὕτως ἐκπλαγείη τῶν ἄλλων ἁγίων τὰς προτροπὰς, ὡς αὐτὸν τὸν κύριον τὸν φιλάνθρωπον· οὐδὲν γὰρ ἀλλ' P. 72 Pott. ἢ τοῦτο ἔργον μόνον ἐστὶν αὐτῷ σώζεσθαι τὸν ἄνθρωπον. βοᾷ γοῦν ἐπείγων εἰς σωτηρίαν αὐτὸς „ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν" **)· ἐπιστρέφει τοὺς ἀνθρώπους πλησιάζοντας τῷ φόβῳ. ταύτῃ καὶ ὁ ἀπόστολος τοῦ κυρίου παρακαλῶν τοὺς Μακεδόνας ἑρμηνεὺς γίνεται τῆς θείας φωνῆς· „ὁ κύριος ἤγγικεν", λέγων, „εὐλαβεῖσθε μὴ καταληφθῶμεν κενοί" ***). ὑμεῖς δὲ ἐς τοσοῦτον ἀδεεῖς, μᾶλλον δὲ ἄπιστοι, μήτε αὐτῷ πειθόμενοι τῷ κυρίῳ μήτε τῷ Παύλῳ καὶ ταῦτα ὑπὲρ Χριστοῦ δεομένῳ †) γεύσασθε καὶ ἴδετε, ὅτι Χριστὸς ὁ θεὸς ††).

§. 88. Ἡ πίστις εἰσάξει, ἡ πεῖρα διδάξει, ἡ γραφὴ παιδαγωγήσει „δεῦτε, ὦ τέκνα", λέγουσα, „ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς" †††). εἶτα ὡς ἤδη πεπιστευκόσι συντόμως ἐπιλέγει, „τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς" *); ἡμεῖς ἐσμὲν, φήσομεν, οἱ τἀγαθοῦ προσκυνηταὶ, οἱ τῶν ἀγαθῶν ζηλωταί. ἀκούσατε οὖν „οἱ μακρὰν" **), ἀκούσατε „οἱ ἐγγύς·" οὐκ ἀπεκρύβη τινὰς ὁ λόγος· φῶς ἐστι κοινὸν, ἐπιλάμπει πᾶσιν ἀνθρώποις ***)· οὐδεὶς Κιμμέριος ἐν λόγῳ· σπεύσωμεν εἰς σωτηρίαν, ἐπὶ τὴν παλιγγενεσίαν, εἰς μίαν ἀγάπην συναχθῆναι οἱ πολλοὶ, κατὰ τὴν τῆς μοναδικῆς

*) Ep. ad Timoth. II, 16, 17. **) Matth. 4, 17. ***) Philipp. 4, 5. †) Ep. ad Cor. II, 5, 20. ††) Psalm. 34, 8. †††) Ibid. v. 11. *) Ibid. v. 12. **) Esth. 9, 20. Dan. 9, 7. Ephes. 2, 17. ***) Ioann. 1, 9.

οὐσίας ἕνωσιν σπεύσωμεν ἀγαθοεργούμενοι, ἀναλόγως ἑνότητα διώκωμεν τὴν ἀγαθὴν ἐκζητοῦντες μονάδα. ἡ δὲ ἐκ πολλῶν ἕνωσις ἐκ πολυφωνίας καὶ διασπορᾶς ἁρμονίαν λαβοῦσα θεϊκὴν μία γίνεται συμφωνία, ἑνὶ χορευτῇ καὶ διδασκάλῳ τῷ λόγῳ ἑπομένη, ἐπ᾽ αὐτὴν τὴν ἀλήθειαν ἀναπαυομένη, „Ἀββᾶ" λέγουσα „ὁ πατήρ" *)· ταύτην ὁ θεὸς τὴν φωνὴν τὴν ἀληθινὴν ἀσπάζεται παρὰ τῶν αὐτοῦ παίδων πρώτην καρπούμενος.

Cap. X.

§. 89. Ἀλλ᾽ ἐκ πατέρων, φατὲ, παραδεδομένον ἡμῖν ἔθος ἀνατρέπειν οὐκ εὔλογον. καὶ τί δὴ οὐχὶ τῇ πρώτῃ τροφῇ τῷ γάλακτι χρώμεθα, ᾧ δήπουθεν συνείθισαν ἡμᾶς ἐκ γενετῆς αἱ τίτθαι; τί δαὶ αὔξάνομεν ἢ μειοῦμεν τὴν πατρῴαν οὐσίαν, P. 73 Pott. καὶ οὐχὶ τὴν ἴσην, ὡς παρειλήφαμεν, διαφυλάττομεν; τί δαὶ οὐκέτι τοῖς κόλποις τοῖς πατρῴοις ἐναποβλύζομεν ἢ καὶ τὰ ἄλλα, ἃ νηπιάζοντες ὑπὸ μητράσιν τε ἐκτρεφόμενοι γέλωτα ὤφλομεν, ἐπιτελοῦμεν ἔτι, ἀλλὰ σφᾶς αὐτοὺς καὶ εἰ μὴ παιδαγωγῶν ἐτύχομεν ἀγαθῶν, ἐπανωρθώσαμεν; εἶτα ἐπὶ τῶν παθῶν αἱ παρεκβάσεις καίτοι ἐπιζήμιοι καὶ ἐπισφαλεῖς οὖσαι, ὅμως γλυκεῖαί πως προσπίπτουσιν, ἐπὶ δὲ τοῦ βίου οὐχὶ τὸ ἔθος καταλείποντες τὸ πονηρὸν καὶ ἐμπαθὲς καὶ ἄθεον, κἂν οἱ πατέρες χαλεπαίνωσιν, οὐκ ἐπὶ τὴν ἀλήθειαν ἐκκλινοῦμεν καὶ τὸν ὄντως ὄντα πατέρα ἐπιζητήσομεν, οἷον δηλητήριον φάρμακον τὴν P. 26 Sylb. συνήθειαν ἀπωσάμενοι; τοῦτ᾽ αὐτὸ γάρτοι τὸ κάλλιστον τῶν ἐγχειρουμένων ἐστὶν ὑποδεῖξαι ὑμῖν, ὡς ἀπὸ μανίας καὶ τοῦ τρισαθλίου τούτου ἔθους ἐμισή-

*) Marc. 14, 36. Rom. 8, 15.

θη ἡ θεοσέβεια· οὐ γὰρ ἂν ἐμισήθη ποτὲ ἢ ἀπηγορεύθη ἀγαθὸν τοσοῦτον, οὗ μεῖζον οὐδὲν ἐκ θεοῦ δεδώρηταί πω τῇ τῶν ἀνθρώπων γενέσει, εἰ μὴ συναρπαζόμενοι τῷ ἔθει, εἶτα μέντοι ἀποβύσαντες τὰ ὦτα ἡμῖν, οἷον ἵπποι σκληραύχενες ἀφηνιάζοντες, τοὺς χαλινοὺς ἐνδακόντες, ἀποφεύγετε τοὺς λόγους, ἀποσείσασθαι μέντοι τοὺς ἡνιόχους ὑμῶν τοῦ βίου ἡμᾶς ἐπιποθοῦντες, ἐπὶ δὲ τοὺς κρημνοὺς τῆς ἀπωλείας ὑπὸ τῆς ἀνοίας φερόμενοι ἐναγῆ τὸν ἅγιον ὑπολαμβάνετε τοῦ θεοῦ λόγον.

§. 90. Ἕπεται τοιγαροῦν ὑμῖν κατὰ τὸν Σοφοκλέα τὰ ἐπίχειρα τῆς ἐκλογῆς,

Νοῦς φροῦδος, ὦτ᾽ ἀχρεῖα, φροντίδες κεναί,

καὶ οὐκ ἴστε ὡς παντὸς μᾶλλον τοῦτο ἀληθές, ὅτι ἄρα οἱ μὲν ἀγαθοὶ καὶ θεοσεβεῖς ἀγαθῆς τῆς ἀμοιβῆς τεύξονται τἀγαθὸν τετιμηκότες, οἱ δὲ ἐκ τῶν ἐναντίων πονηροὶ τῆς καταλλήλου τιμωρίας, καὶ τῷ γε ἄρχοντι τῆς κακίας ἐπήρτηται κόλασις. ἀπειλεῖ γοῦν αὐτῷ ὁ προφήτης Ζαχαρίας· „ἐπιτιμήσαι ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός" *); τίς οὖν ἔτι τοῖς **P. 74 Pott.** ἀνθρώποις ὄρεξις ἔγκειται θανάτου ἑκουσίου; τί δαὶ τῷ δαλῷ τῷ θανατηφόρῳ τούτῳ προσφεύγουσι, μεθ᾽ οὗ καταφλεγήσονται, ἐξὸν βιῶναι καλῶς κατὰ τὸν θεόν, οὐ κατὰ τὸ ἔθος; θεὸς μὲν γὰρ ζωὴν χαρίζεται, ἔθος δὲ πονηρὸν κατὰ τὴν ἐνθένδε ἀπαλλαγὴν μετάνοιαν κενὴν ἅμα τιμωρίᾳ προστρίβεται·

παθὼν δέ τε νήπιος ἔγνω **),

ὡς ἀπολλύει δεισιδαιμονία καὶ σώζει θεοσέβεια.

§. 91. Ἰδέτω τὶς ὑμῶν τοὺς παρὰ τοῖς εἰδώλοις λατρεύοντας, κόμῃ ῥυπῶντας, ἐσθῆτι πιναρᾷ καὶ κατερρωγυίᾳ καθυβρισμένους, λουτρῶν μὲν παντάπασιν ἀπειράτους, ταῖς δὲ τῶν ὀνύχων ἀκμαῖς ἐκτεθηριωμένους, πολλοὺς δὲ καὶ τῶν αἰδοίων ἀφῃρημένους, ἔργῳ δεικνύντας τῶν εἰδώλων τὰ τεμένη, τάφους τι-

---

*) Zachar. 3, 2. **) Hesiod. ἔργ. v. 216.

νὰς ἢ δεσμωτήρια· οὗτοί μοι δοκοῦσι πενθεῖν, οὐ θρησκεύειν τοὺς θεοὺς, ἐλέου μᾶλλον ἢ θεοσεβείας ἄξια πεπονθότες. καὶ ταῦτα ὁρῶντες ἔτι τυφλώττετε καὶ οὐχὶ πρὸς τὸν δεσπότην τῶν πάντων καὶ κύριον τῶν ὅλων ἀναβλέψετε; οὐχὶ δὲ καταφεύξεσθε ἐκ τῶν ἐνταῦθα δεσμωτηρίων, ἐκφεύγοντες ἐπὶ τὸν ἔλεον τὸν ἐξ οὐρανῶν; ὁ γὰρ θεὸς ἐκ πολλῆς τῆς φιλανθρωπίας ἀντέχεται τοῦ ἀνθρώπου, ὥσπερ ἐκ καλιᾶς ἐκπίπτοντος νεοττοῦ ἡ μήτηρ ὄρνις ἐφίπταται· εἰ δέ που καὶ θηρίον ἑρπυστικὸν περιχάνοι τῷ νεοττῷ,

μήτηρ δ᾽ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα *)·

ὁ δὲ θεὸς πατὴρ καὶ ζητεῖ τὸ πλάσμα καὶ ἰᾶται τὸ παράπτωμα καὶ διώκει τὸ θηρίον καὶ τὸν νεοττὸν αὖθις ἀναλαμβάνει ἐπὶ τὴν καλιὰν ἀναπτῆναι παρορμῶν.

§. 92. Εἶτα κύνες μὲν ἤδη πεπλανημένοι, ὀδμαῖς ῥινηλατοῦντες ἐξίχνευσαν τὸν δεσπότην καὶ ἵπποι τὸν ἀναβάτην ἀποσεισάμενοι ἑνί που συρίγματι ὑπήκουσαν τῷ δεσπότῃ· „ἔγνω δὲ", φησὶ, „βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω" **). τί οὖν ὁ κύριος; οὐ μνησικακεῖ, ἔτι ἐλεεῖ, ἔτι τὴν μετάνοιαν ἀπαιτεῖ. ἐρέσθαι δὲ ὑμᾶς βούλομαι, εἰ οὐκ ἄτοπον ὑμῖν δοκεῖ πλάσμα ὑμᾶς τοὺς ἀνθρώπους ἐπιγεγονότας τοῦ θεοῦ καὶ παρ᾽ αὐτοῦ τὴν ψυχὴν εἰληφότας καὶ ὄντας ὅλως τοῦ θεοῦ ἑτέρῳ δουλεύειν δεσπότῃ, πρὸς δὲ καὶ θεραπεύειν ἀντὶ μὲν τοῦ βασιλέως τὸν τύραννον, ἀντὶ δὲ τοῦ ἀγαθοῦ τὸν πονηρόν. τίς γὰρ, ὢ πρὸς τῆς ἀληθείας, σωφρονῶν γε τἀγαθὸν καταλείπων κακίᾳ σύνεστιν; τίς δαὶ, ὅστις τὸν θεὸν ἀποφεύγων δαιμονίοις συμβιοῖ; τίς δαὶ υἱὸς εἶναι δυνάμενος τοῦ θεοῦ δουλεύειν ἥδεται; ἢ τίς οὐρανοῦ **P. 75**
πολίτης εἶναι δυνάμενος ἔρεβος διώκει, ἐξὸν πα- **Pott.**
ράδεισον γεωργεῖν καὶ οὐρανὸν περιπολεῖν καὶ τῆς

---

*) **Hom. Iliad. β, 315.** **) **Ies. 1, 3.**

ζωτικῆς καὶ ἀκηράτου μεταλαμβάνειν πηγῆς, κατ' ἴχνος ἐκείνης τῆς φωτεινῆς ἀεροβατοῦντα νεφέλης*), ὥσπερ ὁ Ἠλίας, θεωροῦντα τὸν ὑετὸν τὸν σωτήριον; οἱ δὲ σκωλήκων δίκην περὶ τέλματα καὶ βορβόρους τὰ ἡδονῆς ῥεύματα καλινδούμενοι ἀνονήτους καὶ ἀνοήτους ἐκβόσκονται τρυφάς, ὑώδεις τινὲς ἄνθρωποι. ὕες γάρ, φησίν, ἥδονται βορβόρῳ μᾶλλον ἢ καθαρῷ ὕδατι καὶ ἐπὶ φορυτῷ μαργαίνουσιν κατὰ Δημόκριτον. μὴ δῆτα οὖν, μὴ δῆτα ἐξανδραποδισθῶμεν μηδὲ ὑώδεις γενώμεθα, ἀλλ' ὡς τέκνα φωτὸς**) γνήσια, ἀναθρήσωμεν καὶ ἀναβλέψωμεν εἰς τὸ φῶς, μὴ νόθους ἡμᾶς ἐξελέγξῃ ὁ κύριος, ὥσπερ ὁ ἥλιος τοὺς ἀετούς.

§. 93. Μετανοήσωμεν οὖν καὶ μεταστῶμεν ἐξ ἀμαθίας εἰς ἐπιστήμην, ἐξ ἀφροσύνης εἰς φρόνησιν, ἐξ ἀκρασίας εἰς ἐγκράτειαν, ἐξ ἀδικίας εἰς δικαιοσύνην, ἐξ ἀθεότητος εἰς θεόν. καλὸς ὁ κίνδυνος αὐτομολεῖν πρὸς θεόν, πολλῶν δὲ καὶ ἄλλων ἔστιν ἀπολαῦσαι ἀγαθῶν τοὺς δικαιοσύνης ἐραστάς, οἳ τὴν ἀΐδιον διώκομεν σωτηρίαν, ἀτὰρ δὴ καὶ ὧν αὐτὸς αἰνίττεται ὁ θεὸς διὰ Ἡσαΐου λαλῶν, „ἔστι κληρονομία τοῖς θεραπεύουσι κύριον" ***), καλή γε καὶ ἐράσμιος ἡ κληρονομία, οὐ χρυσίον, οὐκ ἄργυρος, οὐκ ἐσθής, ἔνθα που σὴς καὶ τὰ τῆς γῆς, λῃστὴς †) που καταδύεται περὶ τὸν χαμαίζηλον πλοῦτον ὀφθαλμιῶν, ἀλλ' ἐκεῖνος ὁ θησαυρὸς τῆς σωτηρίας, πρὸς ὅν γε ἐπείγεσθαι χρὴ φιλολόγους γενομένους. συναπαίρει δὲ ἡμῖν ἐνθένδε τὰ ἔργα τὰ ἀστεῖα καὶ συνίπταται τῷ τῆς ἀληθείας πτερῷ.

§. 94. Ταύτην ἡμῖν τὴν κληρονομίαν ἐγχειρίζει ἡ ἀΐδιος διαθήκη τοῦ θεοῦ τὴν ἀΐδιον δωρεὰν χορηγοῦσα· ὁ δὲ φιλόστοργος οὗτος ἡμῶν πατήρ, ὁ ὄντως πατήρ, οὐ παύεται προτρέπων, νουθετῶν,

---

*) Cf. Reg. III, 18, 44. 45. et Matth. 17, 5. **) Ephes. 5, 8. ***) Ies. 54, 17. †) Matth. 6, 19. 20.

p. 27 Sylb. παιδεύων, φιλῶν· οὐδὲ γὰρ σώζων παύεται, συμβουλεύει δὲ τὰ ἄριστα· „δίκαιοι γένεσθε, λέγει κύριος· οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσατε καὶ ἀγοράσατε καὶ πίετε ἄνευ ἀργυρίου" *). ἐπὶ τὸ λουτρὸν, ἐπὶ τὴν σωτηρίαν, ἐπὶ τὸν φωτισμὸν παρακαλεῖ μονονουχὶ βοῶν P. 76 Pott. καὶ λέγων· γῆν σοὶ δίδωμι καὶ θάλασσαν, παιδίον, οὐρανόν τε καὶ τὰ ἐν αὐτοῖς πάντα ζῶά σοι χαρίζομαι· μόνον, ὦ παιδίον, „δίψησον" τοῦ πατρὸς, ἀμισθεί σοι δειχθήσεται ὁ θεός· οὐ „καπηλεύεται" **) ἡ ἀλήθεια, δίδωσί σοι καὶ τὰ πτηνὰ καὶ τὰ νηκτὰ καὶ τὰ ἐπὶ τῆς γῆς· ταῦτά σου ταῖς εὐχαρίστοις τρυφαῖς δεδημιούργηκεν ὁ πατήρ· ἅπερ ἀργυρίῳ μὲν ὠνήσεται ὁ νόθος, ὃς ἀπωλείας ἐστὶ παιδίον ***), ὃς μαμωνᾷ δουλεύειν †) προῄρηται, σοὶ δὲ τὰ σὰ ἐπιτρέπει, τῷ γνησίῳ λέγει, τῷ φιλοῦντι τὸν πατέρα, δι' ὃν ἔτι ἐργάζεται ††), ᾧ μόνῳ καὶ ὑπισχνεῖται λέγων· „καὶ ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν" †††)· οὐ γὰρ κυροῦται τῇ φθορᾷ· ἐμὴ γάρ ἐστιν πᾶσα ἡ γῆ ἔστι δὲ καὶ σὴ, ἐὰν ἀπολάβῃς τὸν θεόν. ὅθεν ἡ γραφὴ εἰκότως εὐαγγελίζεται τοῖς πεπιστευκόσιν· οἱ δὲ ἅγιοι κυρίου κληρονομήσουσι τὴν δόξαν τοῦ θεοῦ καὶ τὴν δύναμιν αὐτοῦ. ποίαν, ὦ μακάριε, δόξαν; εἰπέ μοι· „ἣν ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσεν οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· καὶ χαρήσονται ἐπὶ τῇ βασιλείᾳ τοῦ κυρίου αὐτῶν εἰς τοὺς αἰῶνας, ἀμήν" *).

§. 95. Ἔχετε, ὦ ἄνθρωποι, τὴν θείαν τῆς χάριτος ἐπαγγελίαν, ἀκηκόατε καὶ τὴν ἄλλην τῆς κολάσεως ἀπειλὴν, δι' ὧν ὁ κύριος σώζει, φόβῳ καὶ χάριτι παιδαγωγῶν τὸν ἄνθρωπον· τί μέλλομεν; τί οὐκ ἐκκλίνομεν τὴν κόλασιν; τί οὐ καταδεχόμεθα τὴν δωρεάν; τί δαὶ οὐχ αἱρούμεθα τὰ βελτίονα, θεὸν

*) Ies. 54, 17. 55, 1. **) Cor. II, 2, 17. ***) Ioann. 17, 12. Thess. II, 2, 3. †) Matth. 6, 24. Luc. 16, 13. ††) Ioann. 5, 17. †††) Leuit. 25, 23. *) Cor. I, 2, 9.

ἀντὶ τοῦ πονηροῦ καὶ σοφίαν εἰδωλολατρίας προκρίνομεν καὶ ζωὴν ἀντικαταλλασσόμεθα θανάτῳ; „ἰδοὺ τέθεικα πρὸ προσώπου ὑμῶν", φησὶ, „τὸν θάνατον καὶ τὴν ζωήν" *). πειράζει σε ὁ κύριος ἐκλέξασθαι τὴν ζωὴν, συμβουλεύει σοὶ ὡς πατὴρ πείθεσθαι τῷ θεῷ. „ἐὰν γὰρ ἀκούσητέ μου", φησὶ, „καὶ θελήσητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ὑπακοῆς ἡ χάρις· ἐὰν δὲ μὴ ὑπακούσητέ μου μηδὲ θελήσητε, μάχαιρα ὑμᾶς καὶ πῦρ κατέδεται" **), παρακοῆς ἡ κρίσις. „τὸ γὰρ στόμα κυρίου ἐλάλησεν ταῦτα" ***)· νόμος ἀληθείας λόγος κυρίου· βούλεσθε ὑμῖν ἀγαθὸς γένωμαι P. 77
σύμβουλος; ἀλλ' ὑμεῖς μὲν ἀκούσατε· ἐγὼ δὲ, εἰ Pott.
δυνατὸν, ἐνδείξομαι· ἐχρῆν μὲν ὑμᾶς, ὦ ἄνθρωποι, αὐτοῦ πέρι ἐννοουμένους τοῦ ἀγαθοῦ ἔμφυτον ἐπάγεσθαι μάρτυρα ἀξιόχρεων, πίστιν αὐτόθεν οἴκοθεν περιφανῶς αἱρουμένην τὸ βέλτιστον, μηδὲ ζητεῖν εἰ μεταδιωκτέον ἐκπονεῖν. καὶ γὰρ εἴ τῳ μεθυστέον, φέρε εἰπεῖν, ἀμφιβάλλειν χρή· ἡμεῖς δὲ πρὶν ἢ ἐπισκέψασθε, μεθύετε· καὶ εἰ ὑβριστέον, οὐ πολυπραγμονεῖτε, ἀλλ' ᾗ τάχος ὑβρίζετε. μόνον δ' ἄρα εἰ θεοσεβητέον, ζητεῖτε καὶ εἰ τῷ σοφῷ τούτῳ δὴ τῷ θεῷ καὶ τῷ Χριστῷ κατακολουθητέον, τοῦτο δὲ βουλῆς καὶ σκέψεως ἀξιοῦτε, οὐδ' ὃ πρέπει θεῷ, ὅ τί ποτέ ἐστι, νενοηκότες.

§. 96. Πιστεύσατε ἡμῖν κἂν ὡς μέθῃ, ἵνα σωφρονήσητε· πιστεύσατε κἂν ὡς ὕβρει, ἵνα ζήσητε. εἰ δὲ καὶ πείθεσθαι βούλεσθε τὴν ἐναργῆ τῶν ἀρετῶν ὑποπτεύσαντες πίστιν, φέρε ὑμῖν ἐκ περιουσίας τὴν περὶ τοῦ λόγου παραθήσομαι πειθώ. ὑμεῖς δὲ, οὐ γὰρ τὰ πάτρια ὑμᾶς ἔτι τῆς ἀληθείας ἀπασχολεῖ ἔθη προκατεσχημένους, ἀκούοιτ' ἂν ἤδη τὸ μετὰ τοῦτο ὅπως ἔχει· καὶ δὴ μή τις ὑμᾶς τοῦδε τοῦ ὀνόματος αἰσχύνη προκαταλαμβανέτω, ἥτ' ἄνδρας μέγα σίνεται †), παρατρέπουσα σωτηρίας. ἀποδυσάμενοι δ'

---

*) Deuteron. 30, 15, 19. **) Ies. 1, 19. ***) Ibid. 1, 20. 33, 11. †) Hesiod. ἔργ. 316.

οὖν περιφανῶς ἐν τῷ τῆς ἀληθείας σταδίῳ γνησίως ἀγωνιζώμεθα, βραβεύοντος μὲν τοῦ λόγου τοῦ ἁγίου, ἀγωνοθετοῦντος δὲ τοῦ δεσπότου τῶν ὅλων. οὐ γὰρ σμικρὸν ἡμῖν τὸ ἆθλον, ἀθανασία πρόκειται. μὴ οὖν ἔτι φροντίζετε μηδὲ εἰ ὀλίγον τι ὑμᾶς ἀγορεύουσι σύρφακές τινες ἀγοραῖοι, δεισιδαιμονίας ἄθεοι χορευταί, ἀνοίᾳ καὶ παρανοίᾳ ἐπ' αὐτὸ ὠθούμενοι τὸ βάραθρον, εἰδώλων ποιηταὶ καὶ λίθων προσκυνηταί· οἵδε γὰρ ἀνθρώπους ἀποθεοῦν τετολμήκασι, τρισκαιδέκατον Ἀλέξανδρον τὸν Μακεδόνα ἀναγράφοντες θεὸν, ὃν Βαβυλὼν ἤλεγξε νεκρόν.

§. 97. Ἄγαμαι τοίνυν τὸν θεῖον σοφιστὴν, Θεόκριτος ὄνομα αὐτῷ· μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπισκώπτων ὁ Θεόκριτος τὰς δόξας τὰς κενὰς τῶν ἀνθρώπων ἃς εἶχον περὶ θεῶν, πρὸς τοὺς πολίτας, P. 78
ἄνδρες, εἶπεν, θαρρεῖτε ἄχρις ἂν ὁρᾶτε τοὺς Pott.
θεοὺς πρότερον τῶν ἀνθρώπων ἀποθνήσκοντας. θεοὺς δὲ δὴ τοὺς ὁρατοὺς καὶ τὸν σύγκλυδα τῶν γενητῶν τούτων ὄχλον ὁ προσκυνῶν καὶ προσεταιριζόμενος, αὐτῶν ἐκείνων τῶν δαιμόνων ἀθλιώτερος μακρῷ. θεὸς γὰρ οὐδαμῇ οὐδαμῶς ἄδικος, ὥσπερ οἱ δαίμονες, ἀλλ' ὡς οἷόν τε δικαιότατος καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν, ἢ ὅστ' ἂν ἡμῶν γένηται ὅτι δικαιότατος.

βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεὼς,
οἳ τὴν Διὸς γοργῶπιν ἐργάνην στατοῖς
λίκνοισι προστρέπεσθε,

ἠλίθιοι τῶν λίθων δημιουργοί τε καὶ προσκυνηταί.

§. 98. Ὁ Φειδίας ὑμῶν καὶ ὁ Πολύκλειτος ἡκόντων, Πραξιτέλης τε αὖ καὶ Ἀπελλῆς καὶ ὅσοι τὰς βαναύσους μετέρχονται τέχνας, γήϊνοι γῆς ὄντες ἐργάται. τότε γάρ φησί τις προφητεία δυστυχήσειν τὰ τῇδε πράγματα, ὅταν ἀνδριάσι πιστεύσωσιν. ἡκόντων οὖν αὖθις, οὐ γὰρ ἀνήσω καλῶν, οἱ μικροτέχναι. οὐδείς που τούτων ἔμπνουν εἰκόνα δεδημιούργηκεν οὐδὲ μὴν ἐκ γῆς μαλθακὴν ἐμάλαξε σάρκα. τίς

ἔτηξε μυελόν; ἢ τίς ἔπηξεν ὀστέα; τίς νεῦρα διέτεινεν; τίς φλέβας ἐφύσησεν; τίς αἷμα ἐνέχεεν ἐν αὐ- P.28 ταῖς; ἢ τίς δέρμα περιέτεινεν; ποῦ δ᾽ ἄν τις αὐ- Sylb. τῶν ὀφθαλμοὺς ποιῆσαι βλέποντας; τίς ἐνεφύσησε ψυχήν; τίς δικαιοσύνην ἐδωρήσατο; τίς ἀθανασίαν ὑπέσχηται; μόνος ὁ τῶν ὅλων δημιουργός, ὁ ἀριστοτέχνας πατήρ, τοιοῦτον ἄγαλμα ἔμψυχον ἡμᾶς τὸν ἄνθρωπον ἔπλασεν· ὁ δὲ Ὀλύμπιος ὑμῶν, εἰκόνος εἰκών, πολύ τι τῆς ἀληθείας ἀπᾴδων, ἔργον ἐστὶ κωφὸν χειρῶν Ἀττικῶν. εἰκὼν μὲν γὰρ τοῦ θεοῦ ὁ λόγος αὐτοῦ, καὶ υἱὸς τοῦ νοῦ γνήσιος ὁ θεῖος λόγος, φωτὸς ἀρχέτυπον φῶς· εἰκὼν δὲ τοῦ λόγου ὁ ἄνθρωπος· P.79 ἀληθινὸς ὁ νοῦς ὁ ἐν ἀνθρώπῳ ὁ κατ᾽ εἰκόνα τοῦ Pott. θεοῦ καὶ καθ᾽ ὁμοίωσιν διὰ τοῦτο γεγενῆσθαι*) λεγόμενος, τῇ κατὰ καρδίαν φρονήσει τῷ θείῳ παρεικαζόμενος λόγῳ καὶ ταύτῃ λογικός. ἀνθρώπου δὲ τοῦ ὁρωμένου τοῦ γηγενοῦς γήϊνος εἰκὼν τὰ ἀγάλματα τὰ ἀνδροείκελα πόρρω τῆς ἀληθείας ἐπίκαιρον ἐκμαγεῖον καταφαίνεται.

§. 99. Οὐδὲν οὖν ἀλλ᾽ ἢ μανίας ἔμπλεως ὁ βίος ἔδοξέ μοι γεγονέναι, τοσαύτῃ σπουδῇ περὶ τὴν ὕλην καταγινόμενος. ἐπιτέτραπται δὲ ὑπὸ κενῆς δόξης ἡ συνήθεια δουλείας μὲν γεύσασα ὑμᾶς καὶ ἀλόγου περιεργασίας, νομίμων δὲ ἀνόμων καὶ ἀπατηλῶν ὑποκρίσεων ἄγνοια αἰτία ἤδη κατασκευασθεῖσα τῷ τῶν ἀνθρώπων γένει κηρῶν ὀλεθρίων καὶ εἰδώλων ἐπιστυγῶν, πολλὰς τῶν δαιμόνων ἐπινοήσασα μορφάς, κηλῖδα τοῖς ἑπομένοις αὐτῇ ἐναπεμάξατο θανάτου μακροῦ. λάβετε οὖν ὕδωρ λογικόν, λούσασθε οἱ μεμολυσμένοι, περιρράνατε αὑτοὺς ἀπὸ τῆς συνηθείας ταῖς ἀληθιναῖς σταγόσιν· καθαροὺς εἰς οὐρανοὺς ἀναβῆναι δεῖ. ἄνθρωπος εἶ, τὸ κοινότατον, ἐπιζήτησον τὸν δημιουργήσαντά σε· υἱὸς εἶ, τὸ ἰδιαίτατον, ἀναγνώρισον τὸν πατέρα. σὺ δὲ ἔτι ταῖς ἁμαρ-

---

*) Genes. 1, 26.

τίαις παραμένεις, προστετηκὼς ἡδοναῖς; τίνι λαλήσει κύριος „ὑμῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν"*), ὑμῶν ἐστιν, ἐὰν θελήσητε, τῶν πρὸς τὸν θεὸν τὴν προαίρεσιν ἐσχηκότων ὑμῶν, ἐὰν θελήσητε πιστεῦσαι μόνον καὶ τῇ συντομίᾳ τοῦ κηρύγματος ἕπεσθαι, ᾗ ὑπακούσαντες οἱ Νινευῖται τῆς προσδοκηθείσης ἁλώσεως μετανοίᾳ γνησίῳ τὴν καλὴν ἀντικατηλλάξαντο σωτηρίαν.

§. 100. Πῶς οὖν ἀνέλθω, φησὶν, εἰς οὐρανούς; „ὁδός"**) ἐστιν ὁ κύριος, „στενὴ"***) μὲν, ἀλλ' „ἐξ οὐρανῶν"†), στενὴ μὲν, ἀλλ' εἰς οὐρανοὺς ἀναπέμπουσα· στενὴ ἐπὶ γῆς ὑπερορωμένη, πλατεῖα ἐν οὐρανοῖς προσκυνουμένη. εἶθ' ὁ μὲν ἄπυστος τοῦ λόγου συγγνώμην τῆς πλάνης ἔχει τὴν ἄγνοιαν, ὁ δὲ εἰς ὦτα βαλλόμενος καὶ τῇ ψυχῇ παρὰ τῆς γνώμης φέρει τὴν ἀπείθειαν καὶ ὅσῳ γε φρονιμώτερος εἶναι δόξει, πρὸς κακοῦ ἡ σύνεσις αὐτῷ, ὅτι τῇ φρονήσει P. 80 Pott. κέχρηται κατηγόρῳ τὸ βέλτιστον οὐχ ἑλόμενος· πέφυκε γὰρ ἄλλως ὁ ἄνθρωπος οἰκείως ἔχειν πρὸς θεόν. ὥσπερ οὖν τὸν ἵππον ἀροῦν οὐ βιαζόμεθα οὐδὲ τὸν ταῦρον κυνηγετεῖν, πρὸς ὃ πέφυκε δὲ ἕκαστον τῶν ζώων περιέλκομεν, οὕτως ἀμέλει καὶ τὸν ἄνθρωπον ἐπὶ τὴν οὐρανοῦ γενόμενον θέαν, φυτὸν οὐράνιον ὡς ἀληθῶς, ἐπὶ τὴν γνῶσιν παρακαλοῦμεν τοῦ θεοῦ, τὸ οἰκεῖον αὐτοῦ καὶ ἐξαίρετον καὶ ἰδιωματικὸν παρὰ τὰ ἄλλα ζῶα κατειλημμένοι αὔταρκες ἐφόδιον αἰώνων, θεοσέβειαν, παρασκευάζεσθαι συμβουλεύοντες. γεώργει, φαμὲν, εἰ γεωργὸς εἶ, ἀλλὰ γνῶθι τὸν θεὸν γεωργῶν, καὶ πλῆθι ὁ τῆς ναυτιλίας ἐρῶν, ἀλλὰ τὸν οὐράνιον κυβερνήτην παρακαλῶν· στρατευόμενόν σε κατείληφεν ἡ γνῶσις, τοῦ δίκαια σημαίνοντος ἄκουε στρατηγοῦ.

§. 101. Καθάπερ οὖν κάρῳ καὶ μέθῃ βεβαρη-

---

*) Matth. 5, 3. 10. **) Ioann. 14, 6. ***) Matth. 7, 13. 14. †) Ioann. 3, 13. 31.

μένοι ἀνανήψατε καὶ διαβλέψαντες ὀλίγον ἐννοήθητε, τί θέλουσιν ὑμῖν οἱ προσκυνούμενοι λίθοι καὶ ἃ περὶ τὴν ὕλην κενοσπούδως δαπανᾶτε· εἰς ἄγνοιαν καὶ τὰ χρήματα καὶ τὸν βίον, ὡς τὸ ζῆν ὑμῶν εἰς θάνατον καταναλίσκετε, τοῦτο μόνον τῆς ματαίας ὑμῶν ἐλπίδος εὑράμενοι τὸ πέρας, οὐδὲ αὐτοὺς οἷοί τε ὄντες οἰκτεῖραι, ἀλλ᾽ οὐδὲ τοῖς κατελεοῦσιν ὑμᾶς τῆς πλάνης ἐπιτήδειοι πείθεσθαι γίνεσθε, συνηθείᾳ κακῇ δεδουλωμένοι, ἧς ἀπηρτημένοι αὐθαίρετοι μέχρι τῆς ἐσχάτης ἀναπνοῆς εἰς ἀπώλειαν ὑποφέρεσθε· „ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς" *), ἐξὸν ἀπομάξασθαι τὰ ἐμποδὼν τῇ σωτηρίᾳ καὶ τὸν τῦφον καὶ τὸν πλοῦτον καὶ τὸν φόβον ἐπιφθεγγομένους τὸ ποιητικὸν δὴ τοῦτο·

πῆ δὴ χρήματα πολλὰ φέρω τάδε; πῆ δὲ καὶ αὐτὸς
πλάζομαι **);

εἰ βούλεσθε οὖν τὰς φαντασίας ταύτας τὰς κενὰς ἀπορρίψαντες τῇ συνηθείᾳ αὐτῇ ἀποτάξασθαι, κενοδοξίᾳ ἐπιλέγετε,

ψευδεῖς ὄνειροι χαίρετ᾽, οὐδὲν ἦτ᾽ ἄρα. P. 81 Pott.

§. 102. Τί γὰρ ἡγεῖσθε, ὦ ἄνθρωποι, τὸν Τυφῶνα Ἑρμῆν καὶ τὸν Ἀνδοκίδην καὶ τὸν Ἀμύητον; ἢ παντί τῳ δῆλον ὅτι λίθους, ὥσπερ καὶ τὸν Ἑρμῆν; ὡς δὲ οὐκ ἔστι θεὸς ἡ ἅλως καὶ ὡς οὐκ ἔστι θεὸς ἡ ἶρις, ἀλλὰ πάθη ἀέρων καὶ νεφῶν, καὶ ὃν τρόπον οὐκ ἔστιν ἡμέρα θεός, οὐδὲ μὴν οὐδὲ ἐνιαυτὸς οὐδὲ χρόνος ὁ ἐκ τούτων συμπληρούμενος· οὕτως οὐδὲ ἥλιος οὐδὲ σελήνη, οἷς ἕκαστον τῶν προειρημένων διορίζεται. τίς ἂν οὖν τὴν εὔθυναν καὶ τὴν κόλασιν καὶ τὴν δίκην καὶ τὴν νέμεσιν εὖ φρονῶν ὑπολάβοι θεούς; οὐδὲ γὰρ οὐδ᾽ ἐρινῦς οὐδὲ μοῖραι οὐδὲ εἱμαρμένη, ἐπεὶ μηδὲ πολιτεία μηδὲ δόξα μηδὲ πλοῦτος θεοί, ὃν καὶ ζωγράφοι τυφλὸν ἐπι-

*) Ioann. 3, 19. **) Hom. Odyss. ν. 203 sqq.

δεικνύουσιν· εἰ δὲ αἰδῶ καὶ ἔρωτα καὶ ἀφροδίτην ἐκθειάζετε, ἀκολουθούντων αὐτοῖς αἰσχύνη καὶ ὁρμὴ καὶ κάλλος καὶ συνουσία. οὔκουν ἔτ' ἂν εἰκότως ὕπνος καὶ θάνατος θεὼ διδυμάονε παρ' ὑμῖν νομίζοιντο, πάθη ταῦτα περὶ τὰ ζῶα συμβαίνοντα φυσικῶς· οὐδὲ μὴν κῆρα οὐδὲ εἱμαρμένην οὐδὲ μοίρας
29 θεὰς ἐνδίκως ἐρεῖτε. εἰ δὲ ἔρις καὶ μάχη οὐ θεοί,
b. οὐδὲ Ἄρης οὐδὲ Ἐνυώ. ἔτι τε εἰ αἱ ἀστραπαὶ καὶ οἱ κεραυνοὶ καὶ οἱ ὄμβροι οὐ θεοί, πῶς τὸ πῦρ καὶ τὸ ὕδωρ θεοί; πῶς δαὶ καὶ οἱ διαΐσσοντες καὶ οἱ κομῆται διὰ πάθος ἀέρος γεγενημένοι; ὁ δὲ τὴν τύχην θεὸν λέγων καὶ τὴν πρᾶξιν λεγέτω θεόν.

§. 103. Εἰ δὴ οὖν τούτων οὐδὲ ἓν θεὸς εἶναι νομίζεται, οὐδὲ μὴν ἐκείνων τῶν χειροκμήτων καὶ ἀναισθήτων πλασμάτων· πρόνοια δέ τις περὶ ἡμᾶς καταφαίνεται δυνάμεως θεϊκῆς· λείπεται οὐδὲν ἄλλο ἢ τοῦτο ὁμολογεῖν, ὅτι ἄρα μόνος ὄντως ἔστι τε καὶ ὑφέστηκεν ὁ μόνος ὄντως ὑπάρχων θεός. ἀλλὰ γὰρ μανδραγόραν ἤ τι ἄλλο φάρμακον πεπωκόσιν ἀνθρώποις ἐοίκασιν ἀνόητοι· θεὸς δὲ ὑμῖν ἀνανῆψαι δοίη ποτὲ τοῦδε τοῦ ὕπνου καὶ συνιέναι θεὸν μηδὲ χρυσὸν ἢ λίθον ἢ δένδρον ἢ πρᾶξιν ἢ πάθος ἢ νόσον ἢ φόβον ἰνδάλλεσθαι ὡς θεόν. τρὶς γὰρ μύριοί εἰσιν, ὡς ἀληθῶς, ἐπὶ χθονὶ πουλυβοτείρῃ δαίμονες *) οὐκ ἀθάνατοι οὐδὲ μὴν θνητοί — οὐδὲ γὰρ αἰσθήσεως, ἵνα καὶ θανάτου μετειλήφασιν — λίθινοι δὲ καὶ ξύλινοι δεσπόται ἀνθρώπων, ὑβρίζοντες καὶ παρασπονδοῦντες τὸν βίον διὰ τῆς συνηθείας. „ἡ γῆ P. 81
δὲ τοῦ κυρίου", φησί, „καὶ τὸ πλήρωμα αὐτῆς" **). Pott.
εἶτα τί τολμᾷς ἐν τοῖς τοῦ κυρίου τρυφῶν ἀγνοεῖν τὸν δεσπότην; κατάλειπε τὴν γῆν τὴν ἐμήν, ἐρεῖ σοὶ ὁ κύριος, μὴ θίγῃς τοῦ ὕδατος, ὃ ἐγὼ ἀναδίδωμι, τῶν καρπῶν ὧν ἐγὼ γεωργῶ μηδὲ μεταλάμβανε· ἀπόδος, ἄνθρωπε, τὰ τροφεῖα τῷ θεῷ, ἐπίγνωθί σου

---

*) Hesiod. ἔργ. 250 sqq. **) Psalm. 24, 1. Cor. I, 10, 26.

τὸν δεσπότην, ἴδιον εἶ πλάσμα τοῦ θεοῦ· τὸ δὲ οἰκεῖον αὐτοῦ πῶς ἂν ἐνδίκως ἀλλότριον γένοιτο; τὸ γὰρ ἀπηλλοτριωμένον, στερόμενον τῆς οἰκειότητος, στέρεται τῆς ἀληθείας. ἢ γὰρ οὐχὶ Νιόβης τρόπον τινά, μᾶλλον δὲ ἵνα μυστικώτερον πρὸς ὑμᾶς ἀποφθέγξωμαι, γυναικὸς τῆς Ἑβραίας δίκην—Λὼτ ἐκάλουν αὐτὴν οἱ παλαιοὶ—εἰς ἀναισθησίαν μετατρέπεσθε; λελιθωμένην ταύτην παρειλήφαμεν τὴν γυναῖκα διὰ τὸ Σοδόμων ἐρᾶν· Σοδομῖται δὲ οἱ ἄθεοι καὶ οἱ πρὸς τὴν ἀσέβειαν ἐπιστρεφόμενοι σκληροκάρδιοί τε καὶ ἠλίθιοι.

§. 104. Ταύτας οἴου θεόθεν ἐπιλέγεσθαί σοι τὰς φωνάς· μὴ γὰρ οἴου λίθους μὲν εἶναι ἱερὰ καὶ ξύλα καὶ ὄρνεα καὶ ὄφεις, ἀνθρώπους δὲ μή· πολὺ δὲ τοὐναντίον ἱεροὺς μὲν ὄντως τοὺς ἀνθρώπους ὑπολαμβάνετε, τὰ δὲ θηρία καὶ τοὺς λίθους ὅπερ εἰσίν. οἱ γάρτοι δείλαιοι τῶν ἀνθρώπων καὶ ἄθλιοι διὰ μὲν κόρακος καὶ κολοιοῦ νομίζουσι τὸν θεὸν ἐμβοᾶν, διὰ δὲ ἀνθρώπου σιωπᾶν, καὶ τὸν μὲν κόρακα τετιμήκασιν ὡς ἄγγελον θεοῦ, τὸν δὲ ἄνθρωπον τοῦ θεοῦ διώκουσιν, οὐ κρώζοντα, οὐ κλώζοντα, φθεγγόμενον δέ· οἴ μοι, λογικῶς καὶ φιλανθρώπως κατηχοῦντα ἀποσφάττειν ἀπανθρώπως ἐπιχειροῦσιν, ἐπὶ τὴν δικαιοσύνην καλοῦντα οὔτε τὴν χάριν τὴν ἄνωθεν ἀπεκδεχόμενοι οὔτε τὴν κόλασιν ἐκτρεπόμενοι. οὐ γὰρ πιστεύουσι τῷ θεῷ οὐδὲ ἐκμανθάνουσι τὴν δύναμιν αὐτοῦ· οὗ δὲ ἄρρητος ἡ φιλανθρωπία, τούτου ἀχώρητος ἡ μισοπονηρία. τρέφει δὲ ὁ μὲν θυμὸς τὴν κόλασιν ἐπὶ ἁμαρτίᾳ, εὖ ποιεῖ δὲ ἐπὶ μετανοίᾳ ἡ φιλανθρωπία. οἰκτρότατον δὲ τὸ στέρεσθαι τῆς παρὰ τοῦ θεοῦ ἐπικουρίας. ὀμμάτων μὲν οὖν ἡ πήρωσις καὶ τῆς ἀκοῆς ἡ κώφωσις ἀλγεινοτέρα παρὰ τὰς λοιπὰς τοῦ πονηροῦ πλεονεξίας· ἡ μὲν γὰρ αὐτῶν ἀφῄρηται τῆς οὐρανίου προσόψεως, ἡ δὲ τῆς θείας μαθήσεως ἐστέρηται.

§. 105. Ὑμεῖς δὲ πρὸς τὴν ἀλήθειαν ἀνάπηροι

καὶ τυφλοὶ μὲν τὸν νοῦν, κωφοὶ δὲ τὴν σύνεσιν ὄντες οὐκ ἀλγεῖτε, οὐκ ἀγανακτεῖτε, οὐ τὸν οὐρανὸν ἰδεῖν καὶ τὸν τοῦ οὐρανοῦ ποιητὴν ἐπεθυμήσατε, οὐδὲ P. 83 Pott. τὸν τῶν πάντων δημιουργὸν καὶ πατέρα ἀκοῦσαι καὶ μαθεῖν ἐξεζητήσατε, τὴν προαίρεσιν τῇ σωτηρίᾳ συνάψαντες· ἐμποδὼν γὰρ ἵσταται οὐδὲν τῷ σπεύδοντι πρὸς γνῶσιν θεοῦ, οὐκ ἀπαιδία, οὐ πενία, οὐκ ἀδοξία, οὐκ ἀκτημοσύνη· οὐδέ τις τὴν ὄντως ἀληθῆ σοφίαν χαλκῷ δῃώσας μεταλλάξαι εὔχεται οὐδὲ σιδήρῳ· εὖ γάρτοι παντὸς μᾶλλον τοῦτο εἴρηται· ὁ Χριστός ἐστι πανταχοῦ σωτήριος· ὁ γὰρ τοῦ δικαίου ζηλωτὴς, ὡς ἂν τοῦ ἀνενδεοῦς ἐραστὴς, ὀλιγοδεὴς, οὐκ ἐν ἄλλῳ τινὶ ἢ ἐν αὑτῷ καὶ τῷ θεῷ τὸ μακάριον θησαυρίσας*), ἔνθα οὐ σὴς, οὐ λῃστὴς, οὐ πειρατὴς, ἀλλ' ὁ τῶν ἀγαθῶν ἀΐδιος δοτήρ. ἆρα οὖν εἰκότως ὡμοίωσθε τοῖς ὄφεσιν ἐκείνοις, οἷς τὰ ὦτα πρὸς τοὺς κατεπᾴδοντας ἀποκέκλεισται; „θυμὸς γὰρ αὐτοῖς", φησὶν ἡ γραφὴ, „κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων" **).

§. 106. Ἀλλ' ὑμεῖς γε κατεπᾴσθητε τὴν ἁγιότητα καὶ παραδέξασθε τὸν ἥμερον καὶ ἡμέτερον λόγον καὶ τὸν ἰὸν ἀποπτύσατε τὸν δηλητήριον, ὅπως ὅτι μάλιστα ὑμῖν τὴν φθορὰν, ὡς ἐκείνοις τὸ γῆρας, ἀποδύσασθαι δοθῇ. ἀκούσατέ μου καὶ μὴ τὰ ὦτα ἀποβύσητε μηδὲ τὰς ἀκοὰς ἀποφράξητε, ἀλλ' εἰς νοῦν βάλεσθε τὰ λεγόμενα. καλόν ἐστι τὸ φάρμακον τῆς ἀθανασίας· στήσατέ ποτε τοὺς ὁλκοὺς τοὺς ἑρπυστικούς· „οἱ γὰρ ἐχθροὶ κυρίου χοῦν λείξουσι" ***), φησὶν, ἡ γραφὴ λέγει· ἀνανεύσατε τῆς γῆς εἰς αἰθέρα, ἀναβλέψατε εἰς οὐρανὸν, θαυμάσατε, παύσασθε καραδοκοῦντες τῶν δικαίων τὴν πτέρναν καὶ τὴν ὁδὸν τῆς ἀληθείας †) ἐμποδίζοντες·

---

*) Matth. 6, 20. 21. **) Psalm. 58, 4. 5. ***) Ibid. 72, 9. †) Pet. II, 2, 2.

φρόνιμοι γένεσθε καὶ ἀβλαβεῖς· τάχα ποὺ ὁ κύριος ἁπλότητος ὑμῖν δωρήσεται πτερόν· πτερῶσαι γὰρ προῄρηται τοὺς γηγενεῖς, ἵνα δὴ τοὺς χηραμοὺς καταλείποντες οἰκήσητε τοὺς οὐρανούς. μόνον ἐξ ὅλης καρδίας μετανοήσωμεν, ὡς ὅλῃ καρδίᾳ δυνηθῆναι χωρῆσαι τὸν θεόν. „ἐλπίσατε ἐπ' αὐτὸν", φησὶ, „πᾶσα συναγωγὴ λαοῦ, ἐκχέετε ἐνώπιον αὐτοῦ πάσας τὰς καρδίας ὑμῶν" *) πρὸς τοὺς καινοὺς τῆς P. 84 Pott. πονηρίας, λέγει· ἐλεεῖ καὶ δικαιοσύνης πληροῖ· πί- P. 30 Sylb. στευσον, ἄνθρωπε, ἀνθρώπῳ καὶ θεῷ· πίστευσον, ἄνθρωπε, τῷ παθόντι καὶ προσκυνουμένῳ θεῷ ζῶντι· πιστεύσατε οἱ δοῦλοι τῷ νεκρῷ· πάντες ἄνθρωποι πιστεύσατε μόνῳ τῷ πάντων ἀνθρώπων θεῷ· πιστεύσατε καὶ μισθὸν λάβετε σωτηρίαν· „ἐκζητήσατε τὸν θεὸν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν" **). ὁ ἐκζητῶν τὸν θεὸν τὴν ἰδίαν πολυπραγμονεῖ σωτηρίαν· εὗρες τὸν θεὸν, ἔχεις τὴν ζωήν.

§. 107. Ζητήσωμεν οὖν, ἵνα καὶ ζήσωμεν. ὁ μισθὸς τῆς εὑρέσεως ζωὴ παρὰ θεῷ. „ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ θεός" ***). καλὸς ὕμνος τοῦ θεοῦ ἀθάνατος ἄνθρωπος, δικαιοσύνῃ οἰκοδομούμενος, ἐν ᾧ τὰ λόγια τῆς ἀληθείας ἐγκεχάρακται. ποῦ γὰρ ἀλλαχόθι ἢ ἐν σώφρονι ψυχῇ δικαιοσύνην ἐγγραπτέον; ποῦ ἀγάπην; αἰδῶ δὲ ποῦ; πρᾳότητα δὲ ποῦ; ταύτας οἶμαι τὰς θείας γραφὰς ἐναποσφραγισαμένους χρὴ τῇ ψυχῇ καλὸν ἀφετήριον σοφίαν ἡγεῖσθαι τοῖς ἐφ' ὅ τι οὖν τοῦ βίου τραφεῖσι μέρος, ὅρμον τε τὸν αὐτὸν ἀκύμονα σωτηρίας σοφίαν νομίζειν· δι' ἣν ἀγαθοὶ μὲν πατέρες τέκνων οἱ τῷ πατρὶ προσδεδραμηκότες, ἀγαθοὶ δὲ γονεῖς υἱέσιν οἱ τὸν υἱὸν νενοηκότες, ἀγαθοὶ δὲ ἄνδρες γυναικῶν οἱ μεμνημένοι τοῦ νυμφίου, ἀγαθοὶ

---

*) Psalm. 62, 8. **) Psalm. 69, 32. ***) Psalm. 70, 4.

δὲ οἰκετῶν δεσπόται οἱ τῆς ἐσχάτης δουλείας λελυτρωμένοι.

§. 108. Ὦ μακαριώτερα τῆς ἐν ἀνθρώποις πλάνης τὰ θηρία, ἃ ἐπινέμεται τὴν ἄγνοιαν, ὡς ὑμεῖς, οὐχ ὑποκρίνεται δὲ τὴν ἀλήθειαν· οὐκ ἔστι παρ᾽ αὐτοῖς κολάκων γένη, οὐ δεισιδαιμονοῦσιν ἰχθύες, οὐκ εἰδωλολατρεῖ τὰ ὄρνεα, ἕνα μόνον ἐκπλήττεται τὸν οὐρανὸν, ἐπεὶ θεὸν νοῆσαι μὴ δύναται ἀπηξιωμένα τοῦ λόγου. εἶτ᾽ οὐκ αἰσχύνεσθε καὶ τῶν ἀλόγων σφᾶς αὐτοὺς ἀλογωτέρους πεποιηκότες, οἳ διὰ τοσούτων ἡλικιῶν ἐν ἀθεότητι κατατέτριφθε; παῖδες γεγόνατε, εἶτα μειράκια, εἶτα ἔφηβοι, εἶτα ἄνδρες· χρηστοὶ δὲ οὐδέποτε. κἂν τὸ γῆρας αἰδέσθητε, ἐπὶ δυσμαῖς τοῦ βίου γενόμενοι σωφρονήσατε κἂν ἐπὶ τέλει τοῦ βίου τὸν θεὸν ἐπίγνωτε, ὡς δὴ τὸ τέλος ὑμῖν τοῦ βίου ἀρχὴν ἀναλάβοι σωτηρίας. ἐγηράσατε πρὸς δεισιδαιμονίαν, νέοι ἀφίκεσθε πρὸς θεοσέβειαν, παῖδας ἀκάκους ἐγκρινεῖ ὁ θεός. ὁ μὲν οὖν Ἀθηναῖος τοῖς Σόλωνος ἑπέσθω νόμοις καὶ ὁ Ἀργεῖος τοῖς Φορωνέως καὶ ὁ Σπαρτιάτης τοῖς Λυκούργου, εἰ δὲ σεαυτὸν ἀναγράφεις τοῦ θεοῦ, οὐρανὸς μέν σοι ἡ πατρὶς, ὁ δὲ θεὸς νομοθέτης. τίνες δὲ καὶ οἱ νόμοι; „οὐ φονεύσεις, οὐ μοιχεύσεις", οὐ παιδοφθορήσεις, „οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις*), ἀγαπήσεις κύριον τὸν θεόν σου" **). εἰσὶ δὲ καὶ τούτων τὰ παραπληρώματα, λόγιοι νόμοι καὶ ἅγιοι λόγοι ἐν αὐταῖς ἐγγραφόμενοι ταῖς καρδίαις· „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν" ***)· καὶ „τῷ τύπτοντί σε εἰς τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην" †). καὶ „οὐκ ἐπιθυμήσεις, ἐπιθυμίᾳ γὰρ μόνῃ μεμοίχευκας" ††).

P. 85 Pott.

§. 109. Πόσῳ γοῦν ἄμεινον τοῖς ἀνθρώποις τοῦ τυγχάνειν τῶν ἐπιθυμιῶν τὸ τὴν ἀρχὴν μηδὲ ἐπιθυμεῖν ἐθέλειν ὧν μὴ δεῖ; ἀλλ᾽ ὑμεῖς μὲν τὸ αὐ-

*) Exod. 20, 13—16. **) Deut. 6, 5. Matth. 22, 37. ***) Matth. 22, 39. †) Luc. 6, 29. ††) Matth. 5, 28.

στηρὸν τῆς σωτηρίας ὑπομένειν οὐ καρτερεῖτε, καθάπερ δὲ τῶν σιτίων τοῖς γλυκέσιν ἡδόμεθα διὰ τὴν λειότητα τῆς ἡδονῆς προτιμῶντες, ἰᾶται δὲ ἡμᾶς καὶ ὑγιάζει τὰ πικρὰ τραχύνοντα τὴν αἴσθησιν, ἀλλὰ τοὺς ἀσθενεῖς τὸν στόμαχον ῥώννυσιν ἡ τῶν φαρμάκων αὐστηρία· οὕτως ἥδει μὲν καὶ γαργαλίζει ἡ συνήθεια, ἀλλ' ἡ μὲν εἰς τὸ βάραθρον ὠθεῖ, ἡ συνήθεια, ἡ δὲ εἰς οὐρανὸν ἀνάγει, ἡ ἀλήθεια, τραχεῖα μὲν τὸ πρῶτον, ἀλλ' ἀγαθὴ κουροτρόφος*)· καὶ σεμνὴ μὲν ἡ γυναικωνῖτις αὕτη, σώφρων δὲ ἡ γερουσία· οὐδέ ἐστι δυσπρόσιτος οὐδὲ ἀδύνατος λαβεῖν, ἀλλ' ἔστιν ἐγγυτάτω ἐν οἴκοις ἡμῶν· ᾗ φησὶν αἰνιττόμενος ὁ πάνσοφος Μωϋσῆς, τρισὶ τοῖς καθ' ἡμᾶς ἐνδιαιτωμένη μέρεσι, „χερσὶ καὶ στόματι καὶ καρδίᾳ"**)· σύμβολον τοῦτο γνήσιον τρισὶ τοῖς πᾶσι συμπληρουμένης τῆς ἀληθείας, βουλῇ καὶ πράξει καὶ λόγῳ. μηδὲ γὰρ τόδε δείμαινε, μή σε τὰ πολλὰ καὶ ἐπιτερπῆ φανταζόμενον ἀφέληται σοφίας· αὐτὸς ἑκὼν ὑπερβήσῃ τὸν λῆρον τῆς συνηθείας, καθάπερ καὶ οἱ παῖδες τὰ ἀθύρματα ἄνδρες γενόμενοι ἀπέρριψαν.

§. 110. Τάχει μὲν δὴ ἀνυπερβλήτῳ εὐνοίᾳ τε εὐπροσίτῳ ἡ δύναμις ἡ θεϊκὴ ἐπιλάμψασα τὴν γῆν σωτηρίου σπέρματος ἐνέπλησε τὸ πᾶν. οὐ γὰρ ἂν P. 86 Pott. οὕτως ἐν ὀλίγῳ χρόνῳ τοσοῦτον ἔργον ἄνευ θείας κομιδῆς ἐξήνυσεν ὁ κύριος, ὄψει καταφρονούμενος, ἔργῳ προσκυνούμενος, ὁ καθάρσιος καὶ σωτήριος καὶ μειλίχιος, ὁ θεῖος λόγος, ὁ φανερώτατος ὄντως θεὸς, ὁ τῷ δεσπότῃ τῶν ὅλων ἐξισωθείς· ὅτι ἦν υἱὸς αὐτοῦ καὶ „ὁ λόγος ἦν ἐν τῷ θεῷ"***), οὔθ' ὅτε τὸ πρῶτον προεκηρύχθη ἀπιστηθεὶς οὔθ' ὅτε τὸ ἀνθρώπου προσωπεῖον ἀναλαβὼν καὶ σαρκὶ ἀναπλασάμενος τὸ σωτήριον δρᾶμα τῆς ἀνθρωπότητος ὑπε-

---

*) Hom. Odyss. 9, 27. **) Deuter. 30, 14. ***) Ioann. 1, 1.

κρίνετο ἀγνοηθείς· γνήσιος γὰρ ἦν ἀγωνιστὴς καὶ τοῦ πλάσματος συναγωνιστής, τάχιστα δὲ εἰς πάντας ἀνθρώπους διαδοθεὶς θᾶττον ἡλίου ἐξ αὐτῆς ἀνατείλας τῆς πατρικῆς βουλήσεως, ῥᾷστα ἡμῖν ἐπέλαμψε τὸν θεόν, ὅθεν τε ἦν αὐτὸς καὶ ὃς ἦν, δι' ὧν ἐδίδαξεν καὶ ἐνεδείξατο, παραστησάμενος ὁ σπονδοφόρος καὶ διαλλακτὴς καὶ σωτὴρ ἡμῶν λόγος, πηγὴ ζωοποιός, εἰρηνική, ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς χεόμενος, δι' ὃν ὡς ἔπος εἰπεῖν τὰ πάντα ἤδη πέλαγος γέγονεν ἀγαθῶν.

Cap. XI.

§. 111. Μικρὸν δέ, εἰ βούλει, ἄνωθεν ἄθρει τὴν θείαν εὐεργεσίαν. ὁ πρῶτος ὅτε ἐν παραδείσῳ ἔπαιζε λελυμένος, ἐπεὶ παιδίον ἦν τοῦ θεοῦ, ὅτε δὲ P. 31 Sylb. ὑπέπιπτεν ἡδονῇ—ὄφις ἀλληγορεῖται ἡδονὴ ἐπὶ γαστέρα ἕρπουσα, κακία γηΐνη, εἰς ὕλας τρεφομένη—, παρήγετο ἐπιθυμίαις ὁ παῖς ἀνδριζόμενος ἀπειθείᾳ καὶ παρακούσας τοῦ πατρὸς ᾐσχύνετο τὸν θεόν· οἷον ἴσχυσεν ἡδονή; ὁ δι' ἁπλότητα λελυμένος ἄνθρωπος ἁμαρτίαις εὑρέθη δεδεμένος. τῶν δεσμῶν λῦσαι τοῦτον ὁ κύριος αὖθις ἠθέλησεν, καὶ σαρκὶ ἐνδεθεὶς μυστήριον θεῖον, τούτῳ τὸν ὄφιν ἐχειρώσατο καὶ τὸν τύραννον ἐδουλώσατο, τὸν θάνατον, καὶ τὸ παραδοξότατον, ἐκεῖνον τὸν ἄνθρωπον τὸν ἡδονῇ πεπλανημένον, τὸν τῇ φθορᾷ δεδεμένον, χερσὶν ἡπλωμέναις ἔδειξε λελυμένον. ὢ θαύματος μυστικοῦ· κέκλιται μὲν ὁ κύριος, ἀνέστη δὲ ἄνθρωπος καὶ ὁ ἐκ τοῦ παραδείσου πεσὼν μεῖζον ὑπακοῆς ἆθλον, οὐρανούς, ἀπολαμβάνει.

§. 112. Διό μοι δοκεῖ, ἐπεὶ αὐτὸς ἧκεν ὡς ἡμᾶς οὐρανόθεν ὁ λόγος, ἡμᾶς ἐπ' ἀνθρωπίνην ἰέναι μὴ χρῆναι διδασκαλίαν ἔτι, Ἀθήνας καὶ τὴν ἄλλην

Ἑλλάδα, πρὸς δὲ καὶ Ἰωνίαν πολυπραγμονοῦντας. εἰ γὰρ ἡμῖν ὁ διδάσκαλος ὁ πληρώσας τὰ πάντα δυνάμεσιν ἁγίαις, δημιουργίᾳ, σωτηρίᾳ, εὐεργεσίᾳ, P. 87 νομοθεσίᾳ, προφητείᾳ, διδασκαλίᾳ, πάντα νῦν ὁ δι- Pott. δάσκαλος κατηχεῖ καὶ τὸ πᾶν ἤδη Ἀθῆναι καὶ Ἑλλὰς γέγονεν τῷ λόγῳ. οὐ γὰρ δὴ μύθῳ μὲν ἐπιστεύετε ποιητικῷ τὸν Μίνω τὸν Κρῆτα τοῦ Διὸς ὡς ὀαριστὴν *) ἀναγράφοντι, ἡμᾶς δὲ ἀπιστήσετε μαθητὰς θεοῦ γεγονότας, τὴν ὄντως ἀληθῆ σοφίαν ἐπανῃρημένους, οὐδ' ἣν φιλοσοφίας ἄκροι μόνον ᾐνίξαντο, οἱ δὲ τοῦ Χριστοῦ μαθηταὶ καὶ κατειλήφασιν καὶ ἀνεκήρυξαν. καὶ δὴ καὶ πᾶς, ὡς ἔπος εἰπεῖν, ὁ Χριστὸς οὐ μερίζεται οὔτε βάρβαρός ἐστιν „οὔτε Ἰουδαῖος οὔτε Ἕλλην, οὐκ ἄρρεν, οὐ θῆλυ· καινὸς δὲ ἄνθρωπος" **) θεοῦ πνεύματι ἁγίῳ μεταπεπλασμένος.

§. 113. Εἶθ' αἱ μὲν ἄλλαι συμβουλαί τε καὶ ὑποθῆκαι λυπραὶ καὶ περὶ τῶν ἐπὶ μέρους εἰσὶν, εἰ γαμητέον, εἰ πολιτευτέον, εἰ παιδοποιητέον· καθολικὴ δὲ ἄρα προτροπὴ μόνη καὶ πρὸς ὅλον δηλαδὴ τὸν βίον, ἐν παντὶ καιρῷ, ἐν πάσῃ περιστάσει πρὸς τὸ κυριώτατον τέλος, τὴν ζωὴν συντείνουσα, ἡ θεοσέβεια, καθ' ὃ καὶ μόνον ἐπάναγκές ἐστι ζῆν, ἵνα ζήσωμεν ἀεί· φιλοσοφία δὲ, ᾗ φασὶν οἱ πρεσβύτεροι, πολυχρόνιός ἐστι συμβουλὴ, σοφίας ἀΐδιον μνηστευομένη ἔρωτα· „ἐντολὴ δὲ κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς" ***). ἀπόλαβε τὸν Χριστὸν, ἀπόλαβε τὸ βλέπειν, ἀπόλαβέ σου τὸ φῶς,

„ὄφρ' εὖ γιγνώσκοις ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα" †).

„γλυκὺς" ὁ λόγος ὁ φωτίσας ἡμᾶς „ὑπὲρ χρυσίον καὶ λίθον τίμιον· ποθεινός ἐστιν ὑπὲρ μέλι καὶ κηρίον" ††). πῶς γὰρ οὐ ποθεινὸς ὁ τὸν ἐν σκότει κατορωρυγμένον νοῦν ἐναργῆ ποιησάμενος καὶ τὰ

*) Hom. Odyss. τ. 179. **) Galat. 3, 28. 6, 15. Ephes. 4, 25. ***) Psalm. 19, 9. †) Hom. Il. ε, 128. ††) Psalm. 19, 10.

φωσφόρα τῆς ψυχῆς ἀποξύνας ὄμματα; καὶ γὰρ ὥσπερ ἡλίου μὴ ὄντος ἕνεκα τῶν ἄλλων ἄστρων νὺξ ἂν ἦν τὰ πάντα, οὕτως εἰ μὴ τὸν λόγον ἔγνωμεν καὶ τούτῳ κατηυγάσθημεν, οὐδὲν ἂν τῶν σιτευομένων ὀρνίθων ἐλειπόμεθα, ἐν σκότει πιαινόμενοι καὶ θανάτῳ τρεφόμενοι. χωρήσωμεν τὸ φῶς, ἵνα χωρήσωμεν τὸν θεόν· χωρήσωμεν τὸ φῶς καὶ μαθητεύσωμεν τῷ κυρίῳ. (P. 88 Pott.) τοῦτό τοι καὶ ἐπήγγελται τῷ πατρὶ „διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε" *)· ὕμνησον καὶ διήγησαί μοι τὸν πατέρα σου τὸν θεόν· σώζει σου τὰ διηγήματα, παιδεύσει με ἡ ᾠδὴ ὡς μέχρι νῦν ἐπλανώμην ζητῶν τὸν θεόν. ἐπεὶ δέ με φωταγωγεῖς, κύριε, καὶ τὸν θεὸν εὑρίσκω διὰ σοῦ καὶ τὸν πατέρα ἀπολαμβάνω παρὰ σοῦ, γίνομαί σου „συγκληρονόμος" **), ἐπεὶ „τὸν ἀδελφὸν οὐκ ἐπῃσχύνθης" ***).

§. 114. Ἀφέλωμεν οὖν, ἀφέλωμεν τὴν λήθην τῆς ἀληθείας, τὴν ἄγνοιαν, καὶ τὸ σκότος τὸ ἐμποδὼν ὡς ἀχλὺν ὄψεως καταγαγόντες τὸν ὄντως ὄντα θεὸν ἐποπτεύσωμεν, ταύτην αὐτῷ πρῶτον ἀνυμνήσαντες τὴν φωνήν, χαῖρε φῶς· ὅτι „φῶς" ἡμῖν ἐξ οὐρανοῦ τοῖς ἐν „σκότει" κατορωρυγμένοις καὶ „ἐν σκιᾷ θανάτου" †) κατακεκλεισμένοις ἐξέλαμψεν, ἡλίου καθαρώτερον, ζωῆς τῆς ἐνταῦθα γλυκύτερον. τὸ φῶς ἐκεῖνο ζωή ἐστιν ἀΐδιος καὶ ὅσα μετείληφεν αὐτοῦ, ζῇ, ἡ νὺξ δὲ εὐλαβεῖται το φῶς καὶ δύνουσα διὰ τὸν φόβον παραχωρεῖ τῇ ἡμέρᾳ κυρίου· τὰ πάντα φῶς ἀκοίμητον γέγονεν καὶ ἡ δύσις ἀνατολῇ πεπίστευκεν. τοῦτο ἡ κτίσις ἡ καινὴ βεβούληται· ὁ γὰρ τὰ πάντα καθιππεύων „δικαιοσύνης ἥλιος" ††) ἐπίσης περιπολεῖ τὴν ἀνθρωπότητα, τὸν πατέρα μιμούμενος, ὃς „ἐπὶ πάντας ἀνθρώπους ἀνατέλλει τὸν ἥλιον αὐτοῦ" †††) καὶ καταψεκάζει τὴν

*) **Psalm. 22, 22.** **) **Rom. 8, 17.** ***) **Hebr. 2, 2.** †) **Matth. 4, 16. Ies. 9, 2.** ††) **Malach. 4, 2.** †††) **Matth. 6, 45.**

δρόσον τῆς ἀληθείας. οὗτος τὴν δύσιν εἰς ἀνατολὴν μετήγαγεν καὶ τὸν θάνατον εἰς ζωὴν ἀνεσταύρωσεν· ἐξαρπάσας δὲ τῆς ἀπωλείας τὸν ἄνθρωπον προσεκρέμασεν αἰθέρι, μεταφυτεύων τὴν φθορὰν εἰς ἀφθαρσίαν καὶ γῆν μεταβάλλων εἰς οὐρανούς, ὁ τοῦ θεοῦ γεωργός, δεξιὰ σημαίνων, λαοὺς δ᾽ ἐπὶ ἔργον ἀγαθὸν ἐγείρων, μιμνήσκων βιότοιο ἀληθινοῦ· καὶ τὸν μέγαν ὄντως καὶ θεῖον καὶ ἀναφαίρετον τοῦ πατρὸς κλῆρον χαριζόμενος ἡμῖν, οὐρανίῳ διδασκα- P. 89
λίᾳ θεοποιῶν τὸν ἄνθρωπον, „διδοὺς νόμους εἰς Pott.
τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίαν γράφων αὐτούς" *). τίνας ὑπογράφει νόμους; „ὅτι πάντες εἴσονται τὸν θεὸν ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἵλεως", φησὶν ὁ θεός, „ἔσομαι αὐτοῖς καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ."

§. 115. Δεξώμεθα τοὺς νόμους τῆς ζωῆς, πει-
P. 32 σθῶμεν προτρεπομένῳ θεῷ, μάθωμεν αὐτὸν, ἵνα
Sylb. ἵλεως ᾖ, ἀποδῶμεν καὶ μὴ δεομένῳ μισθὸν εὐχάριστον, εὐπάθειαν, οἷόν τι ἐνοίκιον, τὴν εὐσέβειαν τῷ θεῷ τῆς ἐνταῦθα ἐνοικήσεως,

χρύσεα χαλκείων, ἑκατόμβοι᾽ ἐννεαβοίων **).

ὀλίγης πίστεως γῆν σοὶ δίδωσι τὴν τοσαύτην γεωργεῖν, ὕδωρ πίνειν καὶ ἄλλο πλεῖν, ἀέρα ἀναπνεῖν, πῦρ ὑπουργεῖν, κόσμον οἰκεῖν, ἐντεῦθεν εἰς οὐρανοὺς ἀποικίαν στείλασθαί σοι συγκεχώρηκεν· τὰ μεγάλα ταῦτα καὶ τοσαῦτά σοι δημιουργήματα καὶ χαρίσματα ὀλίγης πίστεως μεμίσθωκεν. εἶθ᾽ οἱ μὲν τοῖς γόησι πεπιστευκότες τὰ περίαπτα καὶ τὰς ἐπαοιδὰς, ὡς σωτηρίους δῆθεν, ἀποδέχονται, ὑμεῖς δὲ οὐ βούλεσθε τὸν οὐράνιον αὐτὸν περιάψασθαι τὸν σωτῆρα λόγον· καὶ τῇ ἐπῳδῇ τοῦ θεοῦ πιστεύσαντες ἀπαλλαγῆναι μὲν παθῶν, ἃ δὴ ψυχῆς νόσοι, ἀποσπασθῆναι δὲ ἁμαρτίας· θάνατος γὰρ ἀΐδιος ἁμαρτία.

---

*) Hebr. 8, 10—12. Ierem. 31, 33 sqq, **) Hom. Il. ζ. 286.

ἢ τέλεον νωδοὶ καὶ τυφλοὶ καθάπερ οἱ σπάλακες οὐδὲν ἄλλο ἢ ἐσθίοντες ἐν σκότῳ διαιτᾶσθε, περικαταρρέοντες τῇ φθορᾷ. ἀλλ' ἔστιν, ἔστιν ἡ ἀλήθεια ἡ κεκραγυῖα, „ἐκ σκότους φῶς λάμψει" *). λαμψάτω οὖν ἐν τῷ ἀποκεκρυμμένῳ τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τὸ φῶς, καὶ τῆς γνώσεως αἱ ἀκτῖνες ἀνατειλάτωσαν τὸν ἐγκεκρυμμένον ἔνδον ἐκφαίνουσαι καὶ ἀποστίλβουσαι ἄνθρωπον τὸν μαθητὴν τοῦ φωτὸς, τὸν Χριστοῦ γνώριμόν τε καὶ συγκληρονόμον **)· μάλιστα ἐπειδὰν τὸ τιμιώτατον καὶ σεβασμιώτατον εὐσεβεῖ τε καὶ ἀγαθῷ παιδὶ ἀγαθοῦ πατρὸς ὄνομα εἰς γνῶσιν ἀφίκηται, προστάττοντος ἤπια καὶ τῷ παιδὶ ἐγκελευομένου τὰ σωσήρια. ὁ δὲ πειθόμενος αὐτῷ κατὰ πάντα δὴ πλεονεκτεῖ, ἕπεται τῷ θεῷ, πείθεται τῷ πατρὶ, ἔγνω πλανώμενος αὐτὸν, ἠγάπησε τὸν θεὸν, ἠγάπησε τὸν πλησίον, ἐπλήρωσε τὴν ἐντολὴν, τὸ ἆθλον ἐπιζητεῖ, τὴν ἐπαγγελίαν ἀπαιτεῖ.

§. 116. Πρόκειται δὲ ἀεὶ τῷ θεῷ τὴν ἀνθρώπων ἀγέλην σώζειν. ταύτῃ καὶ τὸν ἀγαθὸν ποιμένα ὁ ἀγαθὸς ἀπέστειλεν θεός· ἁπλώσας δὲ ὁ λόγος τὴν ἀλήθειαν ἔδειξε τοῖς ἀνθρώποις τὸ ὕψος τῆς σωτηρίας, **[P. 90 Pott.]** ὅπως ἢ μετανοήσαντες σωθῶσιν, ἢ μὴ ὑπακούσαντες κριθῶσιν. τοῦτο τῆς δικαιοσύνης τὸ κήρυγμα ὑπακούουσιν εὐαγγέλιον, παρακούσασιν κριτήριον. ἀλλὰ σάλπιγξ μὲν ἡ μεγαλόκλονος ἠχήσασα στρατιώτας συνήγαγεν καὶ πόλεμον κατήγγειλεν· Χριστὸς δὲ εἰρηνικὸν ἐπὶ τὰ πέρατα τῆς γῆς ἐπιπνεύσας μέλος οὐ συνάξει ἄρα τοὺς εἰρηνικοὺς στρατιώτας τοὺς ἑαυτοῦ; συνήγαγε μὲν οὖν, ὦ ἄνθρωπε, τὸ στρατιωτικὸν τὸ ἀναίμακτον αἵματι καὶ λόγῳ, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν αὐτοῖς ἐνεχείρησεν. σάλπιγξ ἐστὶ Χριστοῦ τὸ εὐαγγέλιον αὐτοῦ. ὁ μὲν ἐσάλπισεν, ἡμεῖς δὲ ἠκούσαμεν. ἐξοπλισώμεθα εἰρηνικῶς, „ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης

---

*) Cor. II, 4, 6. **) Rom. 8, 17.

καὶ τὴν ἀσπίδα τῆς πίστεως ἀναλαβόντες καὶ τὴν κόρην τοῦ σωτηρίου περιθέμενοι καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ" *), ἀκονήσωμεν. οὕτως ἡμᾶς ὁ ἀπόστολος εἰρηνικῶς ἐκτάττει· ταῦτα ἡμῶν τὰ ὅπλα τὰ ἄτρωτα· τούτοις ἐξοπλισάμενοι παραταξώμεθα τῷ πονηρῷ· „τὰ πεπυρακτωμένα τοῦ πονηροῦ ἀποσβέσωμεν βέλη" ταῖς ὑδατίναις ἀκμαῖς ταῖς ὑπὸ τοῦ λόγου βεβαμμέναις εὐχαρίστοις ἀμειβόμενοι τὰς εὐποιίας εὐλογίαις, καὶ τὸν θεὸν τῷ θείῳ γεραίροντες λόγῳ. „ἔτι γὰρ λαλοῦντός σου ἐρεῖ", φησὶν, „ἰδοὺ πάρειμι" **).

§. 117. Ὦ τῆς ἁγίας καὶ μακαρίας ταύτης δυνάμεως, δι' ἧς ἀνθρώποις συμπολιτεύεται θεὸς, λώϊον οὖν καὶ ἄμεινον τῆς ἀρίστης τῶν ὄντων οὐσίας μιμητὴν ὁμοῦ καὶ θεραπευτὴν γενέσθαι· οὐ γὰρ μιμεῖσθαί τις δυνήσεται τὸν θεὸν, ἢ δι' ὧν ὁσίως θεραπεύσει, οὐδ' ἂν θεραπεύειν καὶ σέβειν ἢ μιμούμενος. ὅ γέτοι οὐράνιος καὶ θεῖος ὄντως ἔρως ταύτῃ προσγίνεται τοῖς ἀνθρώποις, ὅταν ἐν αὐτῇ πού τῇ ψυχῇ τὸ ὄντως καλὸν ὑπὸ τοῦ θείου λόγου ἀναζωπυρούμενον ἐκλάμπειν δυνηθῇ, καὶ τὸ μέγιστον ἅμα τῷ βουληθῆναι γνησίως τὸ σωθῆναι συντρέχει, ὁμοζυγούντων, ὡς ἔπος εἰπεῖν, προαιρέσεως καὶ ζωῆς. τοιγάρτοι μόνη αὕτη ἡ τῆς ἀληθείας προτροπὴ τοῖς πιστοτάτοις ἀπείκασται τῶν φίλων μέχρι τῆς ἐσχάτης ἀναπνοῆς παραμένουσα, παραπομπὸς ἀγαθὴ ὅλῳ καὶ τελείῳ τῷ τῆς ψυχῆς πνεύματι τοῖς εἰς οὐρανὸν ἀπαίρουσι γενομένη. τί δή σε προτρέπω; σωθῆναί σε ἐπείγομαι. τοῦτο Χριστὸς βούλεται· ἑνὶ λόγῳ ζωήν σοι χαρίζεται. καὶ τίς ἐστιν οὗτος; μάθε συντόμως, λόγος ἀληθείας, λόγος ἀφθαρσίας ὁ ἀναγεννῶν τὸν ἄνθρωπον εἰς ἀλήθειαν αὐτὸν ἀναφέρων, τὸ κέντρον τῆς σωτηρίας, ὁ ἐξελαύνων τὴν φθορὰν, ὁ ἐκδιώκων

*) Ephes. 6, 14. 16 sqq. Thess. I, 5, 8. Ies. 59, 17.
**) Ibid. 58, 9.

τὸν θάνατον, ὁ ἐν ἀνθρώποις οἰκοδομήσας νεὼν, ἵνα ἐν ἀνθρώποις ἱδρύσῃ τὸν θεόν· ἅγνισον τὸν νεὼν καὶ τὰς ἡδονὰς καὶ τὰς ῥᾳθυμίας, ὥσπερ ἄνθος ἐφήμερον, καταλίμπανε ἀνέμῳ καὶ πυρὶ, σωφροσύνης δὲ τοὺς καρποὺς γεώργησον ἐμφρόνως καὶ σε- P. 91 Pott. αυτὸν ἀκροθίνιον ἀνάστησον τῷ θεῷ, ὅπως οὐκ ἔργον μόνον, ἀλλὰ καὶ χάρις ᾖ τοῦ θεοῦ· πρέπει δὲ ἄμφω τῷ Χριστῷ γνώριμον καὶ βασιλείας ἄξιον φανῆναι καὶ βασιλείας κατηξιῶσθαι.

Cap. XII.

§. 118. Φύγωμεν οὖν τὴν συνήθειαν, φύγωμεν οἷον ἄκραν χαλεπὴν ἢ Χαρύβδεως ἀπειλὴν ἢ Σειρῆνας μυθικάς· ἄγχει τὸν ἄνθρωπον, τῆς ἀληθείας ἀποτρέπει, ἀπάγει τῆς ζωῆς, παγίς ἐστι, βάραθρόν ἐστιν, βόθρος ἐστὶ, λίκνος ἐστὶν, κακὸν ἡ συνήθεια·

τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε
 νῆα *).

φεύγωμεν, ὦ συνναῦται, φεύγωμεν τὸ κῦμα τοῦτο, πῦρ ἐρεύγεται, νῆσός ἐστι πονηρὰ, ὀστοῖς καὶ νεκροῖς σεσωρευμένη, P. 33 Sylb. ᾄδει δὲ ἐν αὐτῇ πορνίδιον ὡραῖον, ἡδονὴ, πανδήμῳ τερπόμενον μουσικῇ·

δεῦρ᾽ ἄγ᾽ ἰὼν, πολύαιν᾽ Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
νῆα κατάστησον, ἵνα θειοτέρην ὄπ᾽ ἀκούσῃς **).

ἐπαινεῖ σε, ὦ ναῦτα, καὶ πολυύμνητον λέγει καὶ τὸ κῦδος τῶν Ἑλλήνων ἡ πόρνη σφετερίζεται· ἔασον αὐτὴν ἐπινέμεσθαι τοὺς νεκροὺς, πνεῦμά σε οὐράνιον βοηθεῖ· πάριθι τὴν ἡδονὴν, βουκολεῖ·

μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω,
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν ***).

*) Od. μ. 219 sqq. **) Odyss. μ. 184 sqq. ***) Hesiod. ἔργ. 371 sqq.

παράπλει τὴν ᾠδήν, θάνατον ἐργάζεται· ἐὰν ἐθέλῃς μόνον, νενίκηκας τὴν ἀπώλειαν καὶ τῷ ξύλῳ προσδεδεμένος ἁπάσης ἔσῃ τῆς φθορᾶς λελυμένος, κυβερνήσει σε ὁ λόγος ὁ τοῦ θεοῦ καὶ τοῖς λιμέσι καθορμίσει τῶν οὐρανῶν τὸ πνεῦμα τὸ ἅγιον· τότε μοῦ κατοπτεύσεις τὸν θεὸν καὶ τοῖς ἁγίοις ἐκείνοις τελεσθήσῃ μυστηρίοις καὶ τῶν ἐν οὐρανοῖς ἀπολαύσεις ἀποκεκρυμμένων, τῶν ἐμοὶ τετηρημένων, „ἃ οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνέβη"*) τινός.

καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
δισσὰς δὲ Θήβας**),

βακχεύων ἔλεγέν τις εἰδώλοις, ἀγνοίᾳ μεθύων ἀκράτῳ· P. 92 Pott. ἐγὼ δ' αὐτὸν οἰκτείραιμι παροινοῦντα καὶ τὸν οὕτω παρανοοῦντα ἐπὶ σωτηρίαν παρακαλέσαιμι σωφρονοῦσαν, ὅτι καὶ κύριος μετάνοιαν ἁμαρτωλοῦ καὶ οὐχὶ θάνατον ἀσπάζεται***).

§. 119. Ἧκε, ὦ παραπλήξ, μὴ θύρσῳ σκηπτόμενος, μὴ κιττῷ ἀναδούμενος, ῥῖψον τὴν μίτραν, ῥῖψον τὴν νεβρίδα, σωφρόνησον, δείξω σοι τὸν λόγον καὶ τοῦ λόγου τὰ μυστήρια, κατὰ τὴν σὴν διηγούμενος εἰκόνα. ὄρος ἐστὶ τοῦτο θεῷ πεφιλημένον, οὐ τραγῳδίαις ὡς Κιθαιρὼν ὑποκείμενον, ἀλλὰ τοῖς τῆς ἀληθείας ἀνακείμενον δράμασιν, ὄρος νηφάλιον, ἁγναῖς ὕλαις σύσκιον· βακχεύουσι δὲ ἐν αὐτῷ οὐχ αἱ Σεμέλης τῆς κεραυνίας ἀδελφαὶ αἱ μαινάδες, αἱ δύσαγνον κρεανομίαν μυούμεναι, ἀλλ' αἱ τοῦ θεοῦ θυγατέρες αἱ ἀμνάδες αἱ καλαὶ τὰ σεμνὰ τοῦ λόγου θεσπίζουσαι ὄργια, χορὸν ἐγείρουσαι σώφρονα. ὁ χορὸς οἱ δίκαιοι, τὸ ᾆσμα ὕμνος ἐστὶ τοῦ πάντων βασιλέως, ψάλλουσιν αἱ κόραι, δοξάζουσιν ἄγγελοι, προφῆται λαλοῦσιν, ἦχος στέλλεται μουσικῆς, δρόμῳ τὸν θίασον διώκουσιν, σπεύδουσιν οἱ κεκλημένοι πατέρα ποθοῦντες ἀπολαβεῖν· ἧκέ μοι, ὦ πρέσβυ,

---

*) Corinth. I, 2, 9. **) Eur. Bacch. 916 sq. Elms.
***) Cf. Ezech. 32, 2. 17, 23. 32.

καὶ σὺ τὰς Θήβας λιπὼν καὶ τὴν μαντικὴν καὶ τὴν βακχικὴν ἀποῤῥίψας πρὸς ἀλήθειαν χειραγωγοῦ· ἰδού σοι τὸ ξύλον ἐπερείδεσθαι δίδωμι· σπεῦσον, Τειρεσία, πίστευσον, ὄψει· Χριστὸς ἐπιλάμπει φαιδρότερον ἡλίου, δι᾽ ὃν ὀφθαλμοὶ τυφλῶν ἀναβλέπουσιν, νύξ σε φεύξεται, πῦρ φοβηθήσεται, θάνατος οἰχήσεται· ὄψει τοὺς οὐρανοὺς, ὦ γέρον, ὁ Θήβας μὴ βλέπων.

§. 120. Ὢ τῶν ἁγίων ὡς ἀληθῶς μυστηρίων, ὢ φωτὸς ἀκηράτου. δᾳδουχοῦμαι τοὺς οὐρανοὺς καὶ τὸν θεὸν ἐποπτεύσας ἅγιος γίνομαι μυούμενος, ἱεροφαντεῖ δὲ ὁ κύριος καὶ τὸν μύστην σφραγίζεται φωταγωγῶν, καὶ παρατίθεται τῷ πατρὶ τὸν πεπιστευκότα αἰῶσι τηρούμενον. ταῦτα τῶν ἐμῶν μυστηρίων τὰ βακχεύματα εἰ βούλει καὶ σὺ μυοῦ καὶ χορεύσεις μετ᾽ ἀγγέλων ἀμφὶ τὸν ἀγέννητον καὶ ἀνώλεθρον καὶ μόνον ὄντως θεὸν, συνυμνοῦντος ἡμῖν τοῦ θεοῦ P. 93 Pott. λόγου. ἀΐδιος οὗτος Ἰησοῦς εἷς ὁ μέγας ἀρχιερεὺς θεοῦ τε ἑνὸς τοῦ αὐτοῦ καὶ πατρὸς ὑπὲρ ἀνθρώπων εὔχεται καὶ ἀνθρώποις ἐγκελεύεται·

κέκλυτε, μυρία φῦλα, *)

μᾶλλον δὲ ὅσοι τῶν ἀνθρώπων λογικοὶ καὶ βάρβαροι καὶ Ἕλληνες, τὸ πᾶν ἀνθρώπων γένος καλῶ, ὧν ἐγὼ δημιουργὸς θελήματι πατρός. ἥκετε ὡς ἐμὲ, ὑφ᾽ ἕνα ταχθησόμενοι θεὸν καὶ τὸν ἕνα λόγον τοῦ θεοῦ, καὶ μὴ μόνον τῶν ἀλόγων ζώων πλεονεκτεῖτε τῷ λόγῳ· ἐκ δὲ τῶν θνητῶν ἁπάντων ὑμῖν ἀθανασίαν μόνοις καρπώσασθαι δίδωμι. ἐθέλω γὰρ, ἐθέλω καὶ ταύτης ὑμῖν μεταδοῦναι τῆς χάριτος, ὁλόκληρον χορηγῶν τὴν εὐεργεσίαν, ἀφθαρσίαν· καὶ λόγον χαρίζομαι ὑμῖν τὴν γνῶσιν τοῦ θεοῦ, τέλειον ἐμαυτὸν χαρίζομαι. τοῦτο εἰμὶ ἐγὼ, τοῦτο βούλεται ὁ θεὸς, τοῦτο συμφωνία ἐστὶ, τοῦτο ἁρμονία πατρὸς, τοῦτο υἱὸς, τοῦτο Χριστὸς, τοῦτο ὁ λόγος τοῦ θεοῦ, βραχίων κυρίου, δύναμις τῶν ὅλων, τὸ θέλημα τοῦ

*) Il. ρ. 220.

πατρὸς, ὧν πάλαι μὲν εἰκόνες, οὐ πᾶσαι δὲ ἐμφερεῖς, διορθώσασθαι ὑμᾶς πρὸς τὸ ἀρχέτυπον βούλομαι, ἵνα μοὶ καὶ ὅμοιοι γένησθε. χρίσω ὑμᾶς τῷ πίστεως ἀλείμματι, δι᾽ οὗ τὴν φθορὰν ἀποβάλλετε, καὶ γυμνὸν δικαιοσύνης ἐπιδείξω τὸ σχῆμα, δι᾽ οὗ πρὸς τὸν θεὸν ἀναβαίνετε· „δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστός ἐστι καὶ τὸ φορτίον μοὺ ἐλαφρόν ἐστιν" *).

§. 121. Σπεύσωμεν, δράμωμεν, ὦ θεοφιλῆ καὶ θεοείκελα τοῦ λόγου ἄνθρωποι ἀγάλματα, σπεύσωμεν, δράμωμεν, ἄρωμεν τὸν ζυγὸν αὐτοῦ, ὑποβάλωμεν ἀφθαρσίᾳ καλὸν ἡνίοχον ἀνθρώπων, τὸν Χριστὸν ἀγαπήσωμεν, τὸν πῶλον ὑποζύγιον ἤγαγε σὺν τῷ παλαιῷ· καὶ τῶν ἀνθρώπων τὴν συνωρίδα καταζεύξας πρὸς ἀθανασίαν κατιθύνει τὸ ἅρμα, σπεύδων πρὸς τὸν θεὸν πληρῶσαι ἐναργῶς, ὃ ἠνίξατο πρότερον μὲν εἰς Ἱερουσαλὴμ, νῦν δὲ εἰσελαύνων οὐρανούς. κάλλιστον θέαμα τῷ πατρὶ υἱὸς ἀΐδιος νικηφόρος. φιλότιμοι τοίνυν πρὸς τὰ καλὰ καὶ θεοφιλεῖς ἄνθρωποι γενώμεθα καὶ τῶν ἀπαθῶν τὰ μέγιστα, θεὸν καὶ ζωὴν, κτησώμεθα. ἀρωγὸς δὲ ὁ λόγος, θαρρῶμεν P. 94 Pott. αὐτῷ καὶ μή ποτε ἡμᾶς τοσοῦτος ἀργύρου καὶ P. 34 Sylb. χρυσοῖ, μὴ δόξης ἐπέλθοι πόθος, ὅσος αὐτοῦ τοῦ τῆς ἀληθείας λόγου. οὐδὲ γὰρ οὐδὲ τῷ θεῷ αὐτῷ ἀρεστὸν, εἰ ἡμεῖς τὰ μὲν πλείστου ἄξια ὑπὲρ ἐλαχίστου ποιούμεθα, ἀνοίας δὲ καὶ ἀμαθίας καὶ ῥᾳθυμίας καὶ εἰδωλολατρείας ὕβρεις περιφανεῖς καὶ τὴν ἐσχάτην δυσσέβειαν περὶ πλείονος τιθέμεθα.

§. 122. Οὐ γὰρ ἄπο τρόπου φιλοσόφων παῖδες πάντα ὅσα πράττουσιν οἱ ἀνόητοι, ἀνοσιουργεῖν

---

*) Matth. 11, 28 — 30.

καὶ ἀσεβεῖν νομίζουσιν καὶ αὐτήν γε ἔτι τὴν ἄγνοιαν μανίας εἶδος ὑπογράφοντες οὐδὲν ἄλλο ἢ μεμηνέναι τοὺς πολλοὺς ὁμολογοῦσιν. οὐ δὴ οὖν ἀμφιβάλλειν, ἐρεῖ ὁ λόγος, ὁπότερον αὐτοῖν ἄμεινον σωφρονεῖν ἢ μεμηνέναι, ἐχομένους δὲ ἀπρὶξ τῆς ἀληθείας παντὶ σθένει ἕπεσθαι χρὴ τῷ θεῷ σωφρονοῦντας καὶ πάντα αὐτοῦ νομίζειν, ὥσπερ ἐστὶ, πρὸς δὲ καὶ ἡμᾶς τὸ κάλλιστον τῶν κτημάτων μεμαθηκότας ὄντας αὐτοῦ, σφᾶς αὐτοὺς ἐπιτρέπειν τῷ θεῷ, ἀγαπῶντας κύριον τὸν θεὸν καὶ τοῦτο παρ᾽ ὅλον τὸν βίον ἔργον ἡγουμένους. εἰ δὲ κοινὰ τὰ φίλων, θεοφιλὴς δὲ ὁ ἄνθρωπος τῷ θεῷ, καὶ γὰρ οὖν φίλος μεσιτεύοντος τοῦ λόγου, γίνεται δὴ οὖν τὰ πάντα τοῦ ἀνθρώπου, ὅτι τὰ πάντα τοῦ θεοῦ, καὶ κοινὰ ἀμφοῖν τοῖν φίλοιν τὰ πάντα, τοῦ θεοῦ καὶ ἀνθρώπου. ὥρα οὖν ἡμῖν μόνον τὸν θεοσεβῆ Χριστιανὸν εἰπεῖν πλούσιόν τε καὶ σώφρονα καὶ εὐγενῆ· καὶ ταύτῃ εἰκόνα τοῦ θεοῦ μεθ᾽ ὁμοιώσεως καὶ λέγειν καὶ πιστεύειν δίκαιον καὶ ὅσιον, μετὰ φρονήσεως γενόμενον ὑπὸ Χριστοῦ Ἰησοῦ καὶ εἰς τοσοῦτον, ὅμοιον ἤδη καὶ θεῷ.

§. 123. Οὐκ ἀποκρύπτεται γοῦν ὁ προφήτης τὴν χάριν λέγων, „ἐγὼ εἶπον ὅτι θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες" *)· ἡμᾶς γὰρ, ἡμᾶς εἰσπεποίηται καὶ ἡμῶν ἐθέλει μόνων κεκλῆσθαι πατὴρ, P. 95 Pott. οὐ τῶν ἀπειθούντων. καὶ γὰρ οὖν ὧδέ πως ἔχει τὰ ἡμέτερα τῶν Χριστοῦ ὀπαδῶν, οἷαι μὲν αἱ βουλαὶ, τοῖοι καὶ οἱ λόγοι, ὁποῖοι δὲ οἱ λόγοι, τοιαίδε καὶ αἱ πράξεις, καὶ ὁποῖα τὰ ἔργα, τοιοῦτος ὁ βίος· χρηστὸς ὁ σύμπας ἀνθρώπων βίος τῶν Χριστὸν ἐγνωκότων. ἅλις οἶμαι τῶν λόγων, εἰ καὶ μακροτέρω προῆλθον ὑπὸ φιλανθρωπίας ὅ τί περ εἶχον ἐκ θεοῦ ἐκχέων, ὡσὰν ἐπὶ τὸ μέγιστον τῶν

*) Psalm. 82, 6.

ἀγαθῶν τὴν σωτηρίαν παρακαλῶν· περὶ γάρτοι τῆς παῦλαν οὐδαμῇ οὐδαμῶς ἐχούσης ζωῆς οὐκ ἐθέλουσιν οὐδ' οἱ λόγοι παύσασθαί ποτε ἱεροφαντοῦντες. ὑμῖν δὲ ἔτι τοῦτο περιλείπεται πέρας τὸ λυσιτελοῦν ἑλέσθαι ἢ κρίσιν ἢ χάριν· ὡς ἔγωγε οὐδ' ἀμφιβάλλειν ἀξιῶ, πότερον ἄμεινον αὐτοῖν; οὐδὲ μὴν συγκρίνεσθαι θέμις ζωὴν ἀπωλείᾳ.

Συγκεκρότηται κρηπὶς ἀληθείας, ὦ παῖδες ὑμεῖς, ὑμῖν αὐτοῖς ἁγίου νεὼ μεγάλου θεοῦ θεμέλιος γνώσεως ἀρραγὴς, προτροπὴ καλὴ δι' ὑπακοῆς εὐλόγου ζωῆς ἀΐδιος ὄρεξις νοερῷ καταβληθεῖσα χωρίῳ.

P. 35 Sylb. **CLEMENTIS ALEXANDRINI** P. 97 Pott.

PAEDAGOGUS

Argumentum.

Cap. I. Quid profiteatur *paedagogus* (§. 1 — 3.). C. II. Nos propter peccata nostra moderari paedagogum (§. 4 — 6). C. III. Benignum et hominum esse amantem paedagogum (§. 7 — 9.). C. VI. Verbum ex aequo virorum et mulierum esse paedagogum (§. 10. 11.). C. V. Omnes, qui circa veritatem versentur, esse apud deum pueros (§. 12 — 24.). C. VI. Adversus eos, qui existimant puerorum et infantium appellationem significare primarum disciplinarum doctrinam (§. 25 — 53.). C. VII. Quis sit paedagogus et de eius paedagogia (§. 54 — 62.). C. VIII. Aduersus eos, qui existimant non esse bonum id, quod iustum est (§. 63 — 76.). C. IX. Eiusdem esse potestatis et bene facere et iuste punire: in quo etiam dicatur, quis sit modus paedagogiae verbi (§. 72 — 90.). C. X. Eundem deum per idem verbum et a peccatis arcere, minantem; et humanae naturae salutem dare, adhortantem (§. 91 — 97.). C. XI. Per legem et prophetas verbum paedagogi functum fuisse officio (§. 98. 99.). C. XII. Paedagogum conuenienter paternae affectioni seueritate et benignitate vsum esse (§. 100 — 102.). C. XIII. Quem ad modum id, quod recte et ex virtute geratur, fiat ex recta ratione, ita rursus peccatum praeter rationem (§. 103 — 105.).

Cap. I.

Τί ἐπαγγέλλεται ὁ παιδαγωγός;

§. 1. Τριῶν γέ τοι τούτων περὶ τὸν ἄνθρωπον ὄντων, ἠθῶν, πράξεων, παθῶν, ὁ προτρεπτι-

κὸς εἴληχε τὰ ἤθη αὐτοῦ, θεοσεβείας καθηγεμὼν, ὁ τροπιδίου δίκην ὑποκείμενος λόγος εἰς οἰκοδομὴν πίστεως, ἐφ᾽ ᾧ μάλα γαννύμενοι καὶ τὰς παλαιὰς ἀπομνύμενοι δόξας πρὸς σωτηρίαν νεάζομεν, ψαλλούσῃ συνᾴδοντες προφητείᾳ· „ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ θεὸς τοῖς εὐθέσι τῇ καρδίᾳ" *). πράξεων τε ἁπασῶν ὁ λόγος ἐπιστατεῖ ὁ ὑποθετικὸς, τὰ δὲ πάθη ὁ παραμυθητικὸς ἰᾶται, εἷς ὢν πᾶς ὁ αὐτὸς οὗτος λόγος, τῆς συντρόφου καὶ κοσμικῆς συνηθείας ἐξαρπάζων τὸν ἄνθρωπον, εἰς δὲ τὴν μονότροπον τῆς εἰς θεὸν πίστεως σωτηρίαν παιδαγωγῶν. ὁ γοῦν οὐράνιος ἡγεμὼν ὁ λόγος, ὁπηνίκα μὲν ἐπὶ σωτηρίαν παρεκάλει, προτρεπτικὸς ὄνομα αὐτῷ ἦν· ἰδίως οὗτος παρορμητικὸς ἐκ μέρους τὸ πᾶν προσαγορευόμενος P. 98 Pott. λόγος, προτρεπτικὴ γὰρ ἡ πᾶσα θεοσέβεια, ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης ὄρεξιν ἐγγεννῶσα τῷ συγγενεῖ λογισμῷ· νυνὶ δὲ θεραπευτικός τε ὢν καὶ ὑποθετικὸς ἅμα ἄμφω, ἑπόμενος αὐτὸς αὑτῷ, παραινεῖ τὸ προτετραμμένον κεφάλαιον, τῶν ἐν ἡμῖν παθῶν ὑπισχνούμενος τὴν ἴασιν. κεκλήσθω δ᾽ ἡμῖν ἑνὶ προσφυῶς οὗτος ὀνόματι παιδαγωγὸς, πρακτικὸς, οὐ μεθοδικὸς ὢν ὁ ποιδαγωγὸς, ᾗ καὶ τὸ τέλος αὐτοῦ βελτιῶσαι τὴν ψυχήν ἐστιν, οὐ διδάξαι, σώφρονός τε, οὐκ ἐπιστημονικοῦ καθηγήσασθαι βίου.

§. 2. Καί τοι καὶ διδασκαλικὸς ὁ αὐτός ἐστι λόγος, ἀλλ᾽ οὐ νῦν· ὁ μὲν γὰρ ἐν τοῖς δογματικοῖς δηλωτικὸς καὶ ἀποκαλυπτικὸς, ὁ διδασκαλικὸς, πρακτικὸς δὲ ὢν ὁ παιδαγωγὸς πρότερον μὲν εἰς διάθεσιν ἠθοποιίας προὐτρέψατο, ἤδη δὲ καὶ εἰς τὴν τῶν δεόντων ἐνέργειαν παρακαλεῖ, τὰς ὑποθήκας τὰς ἀκηράτους παρεγγυῶν καὶ τῶν πεπλανημένων πρότερον τοῖς ὕστερον ἐπιδεικνὺς τὰς εἰκόνας. ἄμφω δὲ ὠφελιμώτατα, τὸ μὲν εἰς ὑπακοὴν, τὸ παραινετικὸν εἶδος, τὸ δὲ ἐν εἰκόνος μέρει παραλαμβανόμενον, διτ-

---

*) Psalm. 73, 1.

τὸν καὶ αὐτὸ παραπλησίως τῇ προτέρᾳ συζυγίᾳ, τὸ μὲν αὐτοῦ ἵνα μιμώμεθα αἱρούμενοι τὸ ἀγαθὸν, τὸ δὲ ὅπως ἐκτρεπώμεθα παραιτούμενοι τὸ θάτερον.

§. 3. Ἴασις οὖν τῶν παθῶν ἐνθένδε ἕπεται κατὰ τὰς παραμυθίας τῶν εἰκόνων, ἐπιρρωννύντος τοῦ παιδαγωγοῦ τὰς ψυχὰς, καθάπερ ἠπίοις φαρμάκοις, ὑποθήκαις φιλανθρώποις εἰς τὴν παντελῆ τῆς ἀληθείας γνῶσιν τοὺς κάμνοντας διαιτωμένου. ἴσαι δ᾽ οὐκ ἔστον ὑγιεία καὶ γνῶσις, ἀλλ᾽ ἡ μὲν μαθήσει, ἡ δὲ ἰάσει περιγίνεται. οὐκ ἂν οὖν τις νοσῶν ἔτι πρότερόν τι τῶν διδασκαλικῶν ἐκμάθοι, πρὶν ἢ τέλεον ὑγιᾶναι, οὐδὲ γὰρ ὡσαύτως πρὸς τοὺς μανθάνοντας ἢ κάμνοντας ἀεὶ τῶν παραγγελμάτων ἕκαστον λέγεται, ἀλλὰ πρὸς οὓς μὲν εἰς γνῶσιν, πρὸς οὓς δὲ εἰς ἴασιν. καθάπερ οὖν τοῖς νοσοῦσι τὸ σῶμα ἰατροῦ χρήζει, ταύτῃ καὶ τοῖς ἀσθενοῦσι τὴν ψυχὴν παιδαγωγοῦ δεῖ, ἵν᾽ ἡμῶν ἰάσηται τὰ πάθη. εἶτα δὲ δεῖ διδασκάλου, ὃς καθηγήσεται καθαρὰν πρὸς γνώσεως ἐπιτηδειότητα εὖ τρεπίζων τὴν ψυχὴν, δυναμένην P. 99 Pott. χωρῆσαι τὴν ἀποκάλυψιν τοῦ λόγου. σπεύδων δὲ ἄρα τελειῶσαι σωτηρίῳ ἡμᾶς βαθμῷ καταλλήλῳ εἰς παίδευσιν ἐνεργῆ, τῇ καλῇ συγχρῆται οἰκονομίᾳ ὁ πάντα φιλάνθρωπος λόγος, προτρέπων ἄνωθεν, ἔπειτα παιδαγωγῶν, ἐπὶ πᾶσιν ἐκδιδάσκων.

Cap. II.

Ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ὁ παιδαγωγὸς ἐπιστατεῖ.

§. 4. Ἔοικεν δὲ ὁ παιδαγωγὸς ἡμῶν, ὦ παῖδες ὑμεῖς, τῷ πατρὶ αὐτοῦ τῷ θεῷ, οὗπέρ ἐστιν υἱὸς ἀναμάρτητος, ἀνεπίληπτος καὶ ἀπαθὴς τὴν ψυχὴν, θεὸς ἐν ἀνθρώπου σχήματι ἄχραντος, πατρικῷ θελήματι διάκονος, λόγος θεὸς, ὁ ἐν τῷ πατρὶ, ὁ ἐκ δεξιῶν τοῦ πατρὸς, σὺν καὶ τῷ σχήματι θεός·

οὗτος ἡμῖν εἰκὼν ἡ ἀκηλίδωτος, τούτῳ παντὶ σθένει πειρατέον ἐξομοιοῦν τὴν ψυχήν· ἀλλ' ὁ μὲν ἀπόλυτος εἰς τὸ παντελὲς ἀνθρωπίνων παθῶν, διὰ τοῦτο γὰρ καὶ μόνος κριτής, ὅτι ἀναμάρτητος μόνος· ἡμεῖς δὲ ὅση δύναμις, ὡς ὅτι ἐλάχιστα ἁμαρτάνειν πειρώμεθα. κατεπείγει γὰρ τοσοῦτον οὐδέν, ὡς ἡ τῶν παθῶν καὶ νοσημάτων ἀπαλλαγὴ πρῶτον, ἔπειτα δὲ καὶ ἡ κώλυσις τῆς εἰς τὴν συνήθειαν τῶν ἁμαρτημάτων εὐεμπτωσίας. ἄριστον μὲν οὖν τὸ μηδ' ὅλως ἐξαμαρτάνειν κατὰ μηδένα τρόπον, ὃ δή φαμεν εἶναι θεοῦ· δεύτερον δὲ μηδενὸς τῶν κατὰ γνώμην ἐφάψασθαί ποτε ἀδικημάτων, ὅπερ οἰκεῖον σοφοῦ· τρίτον μὴ πάνυ πολλοῖς τῶν ἀκουσίων περιπεσεῖν, ὅπερ ἴδιον παιδαγωγουμένων εὐγενῶς· τὸ δὲ μὴ ἐπιμήκιστον (P. 100 Pott.) διατρῖψαι τοῖς ἁμαρτήμασιν τελευταῖον τετάχθω. ἀλλὰ καὶ τοῦτο δὲ τοῖς εἰς μετάνοιαν ἀνακαλουμένοις ἀναμαχέσασθαι σωτήριον

P. 36 Sylb. §. 5. Καί μοι δοκεῖ παγκάλως διὰ Μωϋσέως φάσκειν ὁ παιδαγωγός· „ἐάν τις ἀποθάνῃ ἐπ' αὐτῷ αἰφνίδιον, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ καὶ ξυρήσεται" *), τὴν ἀκούσιον ἁμαρτίαν αἰφνίδιον θάνατον προσειπών· μιαίνειν δὲ αὐτὸν λέγει κηλιδοῦντα τὴν ψυχήν, διὸ καὶ τὴν θεραπείαν, ᾗ τάχος, ὑποτίθεται, ξυρᾶσθαι παραχρῆμα τὴν κεφαλὴν συμβουλεύων, τὰς ἐπισκιαζούσας τῷ λογισμῷ τῆς ἀγνοίας κόμας ἀποψήξασθαι παραινῶν, ὡς γυμνὸν δασείας καταληφθέντα ὕλης τῆς κακίας τὸν λογισμόν· ἐνθρονίζεται δὲ οὗτος ἐν ἐγκεφάλῳ ἐπὶ τὴν μετάνοιαν παλινδρομῆσαι. ἔπειτα ὀλίγα προσειπὼν ἐπιφέρει· „αἱ δὲ ἡμέραι αἱ πρότεραι ἄλογοι" **), δι' ὧν δῆλον ὅτι αἱ ἁμαρτίαι μηνύονται αἱ μὴ γεγονυῖαι κατὰ λόγον. καὶ τὸ μὲν ἀκούσιον αἰφνίδιον προσεῖπε, τὸ δὲ ἁμαρτάνειν ἄλογον. οὗ δὴ χάριν ὁ λόγος ὁ παιδαγωγὸς τὴν ἐπιστασίαν εἴληχεν εἰς τὴν ἀλόγου κώ-

---

*) Num. 6, 9. **) Ibid. v. 12.

λυσιν ἁμαρτίας. σκόπει δὲ ἐνθένδε ἀπὸ τῆς γραφῆς· διὰ τοῦτο τάδε λέγει κύριος, τὸ ἁμάρτημα ἐλεγκτικῶς τὸ προϋπάρξαν διὰ τῆς ἑπομένης δείκνυται ῥήσεως, καθὸ ἡ δικαία κρίσις ἕπεται. καὶ τοῦτο ἐμφανὲς διὰ τῶν προφητῶν καταφαίνεται „ὡς εἰ μὴ ἥμαρτες" λεγόντων, „οὐκ ἂν τάδε ἠπείλησεν"· καὶ „διὰ τοῦτο οὕτως λέγει κύριος· ἀνθ᾽ ὧν οὐκ ἠκούσατε τῶν λόγων τούτων, διὰ τοῦτο τάδε λέγει κύριος". καὶ „διὰ τοῦτο ἰδοὺ λέγει κύριος"*). διὰ τοῦτο γὰρ ἡ προφητεία δι᾽ ὑπακοὴν καὶ παρακοήν, δι᾽ ἣν μὲν ἵνα σωθῶμεν, δι᾽ ἣν δὲ ἵνα παιδευθῶμεν.

§. 6. Ἔστιν οὖν ὁ παιδαγωγὸς ἡμῶν λόγος διὰ παραινέσεων θεραπευτικὸς τῶν παρὰ φύσιν τῆς ψυχῆς παθῶν. κυρίως μὲν γὰρ ἡ τῶν τοῦ σώματος νοσημάτων βοήθεια ἰατρικὴ καλεῖται τέχνη, ἀνθρωπίνῃ σοφίᾳ διδακτή. λόγος δὲ ὁ πατρικὸς μόνος ἐστὶν ἀνθρωπίνων ἰατρὸς ἀρρωστημάτων παιώνιος καὶ ἐπῳδὸς ἅγιος νοσούσης ψυχῆς. „σῶσον τὸν δοῦλόν σου, φησὶν ὁ θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σοί· ἐλέησόν με, κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν" **). ἰατρικὴ μὲν γὰρ κατὰ Δημόκριτον σώματος νούσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν P. 101 Pott. ἀφαιρέεται· ὁ δὲ ἀγαθὸς παιδαγωγός, ἡ σοφία, ὁ λόγος τοῦ πατρός, ὁ δημιουργήσας τὸν ἄνθρωπον, ὅλου κήδεται τοῦ πλάσματος, καὶ σῶμα καὶ ψυχὴν ἀκεῖται αὐτοῦ ὁ πανάρκης τῆς ἀνθρωπότητος ἰατρὸς ὁ σωτήρ· „ἀνάστα", φησὶ τῷ παρειμένῳ, „τὸν σκίμποδα ἐφ᾽ ὃν κατάκεισαι λαβὼν ἄπιθι οἴκαδε" ***). παραχρῆμα δὲ ὁ ἄρρωστος ἐρρώσθη. καὶ τῷ τεθνεῶτι, „Λάζαρε", εἶπεν, „ἔξιθι" †)· ὁ δὲ ἐξῆλθε τῆς σοροῦ ὁ νεκρός, οἷος ἦν πρὶν ἢ παθεῖν, μελετήσας τὴν ἀνάστασιν. καὶ μὴν καὶ καθ᾽ αὑτὴν ἰᾶται τὴν ψυχὴν ἐντολαῖς καὶ χαρίσμασιν, ἀλλὰ ταῖς

---

*) Cf. Ierem. 7. **) Psalm. 86, 2. 3. ***) Marc. 2, 11. †) Ioann. 11, 43.

μὲν ὑποθήκαις τάχα δὴ μέλλει, χαρίσμασι δὲ πλούσιος. „ἀφέωνταί σοι αἱ ἁμαρτίαι" τοῖς ἁμαρτωλοῖς ἡμῖν λέγει. ἡμεῖς δὲ ἅμα νοήματι νήπιοι γεγόναμεν, τὴν ἀρίστην καὶ βεβαιοτάτην τάξιν παρὰ τῆς αὐτοῦ εὐταξίας μεταλαμβάνοντες, ἣ πρῶτον μὲν ἀμφὶ τὸν κόσμον καὶ τὸν οὐρανὸν τάς τε ἡλιακὰς περιδινήσεις κυκλεῖται καὶ τῶν λοιπῶν ἄστρων τὰς φορὰς ἀσχολεῖται διὰ τὸν ἄνθρωπον, ἔπειτα δὲ περὶ τὸν ἄνθρωπον αὐτὸν, περὶ ὃν ἡ πᾶσα σπουδὴ καταγίνεται· καὶ τοῦτον ἔργον ἡγουμένη μέγιστον, ψυχὴν μὲν αὐτοῦ φρονήσει καὶ σωφροσύνῃ κατηύθυνε, τὸ δὲ σῶμα κάλλει καὶ εὐρυθμίᾳ συνεκεράσατο, περὶ δὲ τὰς πράξεις τῆς ἀνθρωπότητος τό τε ἐν αὐταῖς κατορθοῦν καὶ τὸ εὔτακτον ἐνέπνευσε τὸ αὐτῆς.

Cap. III.

Ὅτι φιλάνθρωπος ὁ παιδαγωγός.

§. 7. *Πάντα* ὀνίνησιν ὁ κύριος καὶ πάντα ὠφελεῖ καὶ ὡς ἄνθρωπος καὶ ὡς θεὸς, τὰ μὲν ἁμαρτήματα ὡς θεὸς ἀφιεὶς, εἰς δὲ τὸ μὴ ἐξαμαρτάνειν παιδαγωγῶν ὡς ἄνθρωπος. εἰκότως ἄρα φίλος ὁ ἄνθρωπος τῷ θεῷ, ἐπεὶ καὶ πλάσμα αὐτοῦ ἐστί· καὶ τὰ μὲν ἄλλα κελεύων μόνον πεποίηκεν, τὸν δὲ ἄνθρωπον δι' αὐτοῦ ἐχειρούργησεν καί τι αὐτῷ ἴδιον ἐνεφύσησεν. τὸ οὖν ὑπ' αὐτοῦ καὶ πρὸς αὐτὸν ἀπεικονισμένον, ἢ ὡς δι' αὐτὸ αἱρετὸν τῷ θεῷ, ὑπ' αὐτοῦ δεδημιούργηται τοῦ θεοῦ, ἢ ὡς ἕνεκεν ἄλλου P. 102 Pott. αἱρετὸν διαπέπλασται. εἰ μὲν οὖν δι' αὐτὸ αἱρετὸν ἀγαθὸς ὢν ἀγαθὸν ἠγάπησεν, καὶ τὸ φίλτρον ἔνδον ἐστὶν ἐν τῷ ἀνθρώπῳ τοῦθ' ὅπερ ἐμφύσημα λέγεται θεοῦ, εἰ δὲ ἕνεκεν τῶν ἄλλων ὁ ἄνθρωπος αἱρετὸν γέγονεν, οὐκ ἄλλην αἰτίαν ἔσχε τοῦ ποιεῖν αὐτὸν ὁ θεὸς ἢ ὡς οὐκ ἄνευ αὐτοῦ οἷόν τε ὄντος

τὸν μὲν γενέσθαι δημιουργὸν ἀγαθὸν, τὸν δὲ εἰς γνῶσιν ἀφικέσθαι θεοῦ. οὐ γὰρ ἄλλως ἂν τὸ οὗ ἕνεκεν ἄνθρωπος γέγονεν ἐποίησεν ὁ θεὸς, εἰ μὴ ἄνθρωπος ἐγεγόνει· καὶ ἣν εἶχεν ἐναποκεκρυμμένην ἰσχὺν τῷ βούλεσθαι ὁ θεὸς, διὰ τῆς ἔξωθεν τοῦ πεποιηκέναι προσανεπλήρωσεν δυνάμεως, λαβὼν παρὰ ἀνθρώπου ὃ πεποίηκεν ἄνθρωπον· καὶ ὃν εἶχεν εἶδεν καὶ γέγονεν ὃ ἠθέλησεν· οὐδὲν δὲ ὃ μὴ δύναται θεός.

§. 8. Ὁ ἄνθρωπος ἄρα ὃν πεποίηκεν ὁ θεὸς, δι' αὑτὸν αἱρετόν ἐστιν, τὸ δὲ δι' αὑτὸν αἱρετὸν οἰκεῖόν ἐστιν ὅτῳ περ ἂν ᾖ δι' αὑτὸν αἱρετὸν, τοῦτο δὲ καὶ ἀσμενιστὸν καὶ φιλητόν. ἀλλὰ καὶ φιλητὸν μέν τί ἐστιν, οὐχὶ δὲ καὶ φιλεῖται ὑπ' αὐτοῦ; φιλητὸς δὲ ὁ ἄνθρωπος ἀποδέδεικται, φιλεῖται ἄρα πρὸς τοῦ θεοῦ ὁ ἄνθρωπος. πῶς γὰρ οὐ φιλεῖται, P. 37 Sylb. δι' ὃν ὁ μονογενὴς ἐκ κόλπων πατρὸς καταπέμπεται λόγος τῆς πίστεως; ἡ πίστις ἐκ περιουσίας, αὐτὸς σαφῶς ὁ κύριος ὁμολογῶν καὶ λέγων· „αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε" *). καὶ πάλιν ὁ αὐτός· „καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας" **). τί μὲν οὖν ὁ παιδαγωγὸς βούλεται καὶ τί ἐπαγγέλλεται, ἐν ἔργῳ καὶ λόγῳ διακείμενος καὶ ὑπαγορεύσει μὲν τῶν πρακτέων, ἀπαγορεύσει δὲ τῶν ἐναντίων ἤδη που δῆλον. σαφὲς δὲ ὡς ἄρα θάτερον εἶδος τῶν λόγων τὸ διδασκαλικὸν ἰσχνόν τέ ἐστι καὶ πνευματικὸν, ἀκριβολογίας ἐχόμενον, τὸ ἐποπτικὸν, ὃ δὴ ὑπερκείσθω τὰ νῦν.

§. 9. Καθήκει δ' ἡμῖν ἀνταγαπᾶν μὲν τὸν καθηγούμενον ἀγαπητικῶς ἀρίστου βίου, βιοῦν δὲ πρὸς τὰ διατάγματα τῆς δι' αὐτοῦ προαιρέσεως, οὐ μόνον ἐπιτελοῦντας τὰ προσταττόμενα ἢ παραφυλάττοντας τὰ ἀπαγορευόμενα, ἀλλὰ καὶ τῶν εἰκόνων τὰς μὲν ἐκτρεπομένους, τὰς δὲ ὡς ἔνι μάλιστα μιμουμένους ἐπιτελεῖν καθ' ὁμοίωσιν τὰ ἔργα τοῦ παιδαγωγοῦ,

*) Ioann. 16, 27. **) Ibid. 17, 23.

ἵνα δὴ τὸ κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν πληρώσῃ*). ὡς γὰρ ἐν σκότῳ βαθεῖ ἀλώμενοι τῷ βίῳ ἀπταίστου καὶ ἀκριβοῦς καθοδηγοῦ δεόμεθα. ὁδηγὸς δὲ ἄριστος P. 103 Pott. οὐχὶ τυφλὸς, καθά φησιν ἡ γραφὴ, „τυφλοὺς εἰς τὰ βάραθρα χειραγωγῶν"**), ὀξὺ δὲ ὁ βλέπων καὶ διορῶν τὰ ἐγκάρδια λόγος. καθάπερ οὖν οὐκ ἔστι φῶς ὃ μὴ φωτίζει οὐδὲ κινοῦν ὃ μὴ κινεῖ οὐδὲ φιλοῦν ὃ μὴ φιλεῖ, οὐδὲ ἀγαθόν ἐστιν ὃ μὴ ὠφελεῖ καὶ εἰς σωτηρίαν καθοδηγεῖ. ἄγωμεν οὖν τὰς ἐντολὰς δι᾽ ἔργων τοῦ κυρίου, καὶ γὰρ ὁ λόγος αὐτὸς ἐναργῶς σὰρξ γενόμενος***) τὴν αὐτὴν ἀρετὴν πρακτικὴν ἅμα καὶ θεωρητικὴν ἐπιδεικνὺς, καὶ δὴ νόμον ὑπολαμβάνοντες τὸν λόγον, τὰς ἐντολὰς καὶ τὰς ὑποθημοσύνας αὐτοῦ τὰς συντόμους ὁδοὺς καὶ συντόνους εἰς ἀϊδιότητα γνωρίσωμεν, πειθοῦς γὰρ ἀνάπλεω, οὐ φόβου, τὰ προστάγματα.

Cap. IV.

Ὅτι ἐπίσης ἀνδρῶν τε καὶ γυναικῶν ὁ λόγος παιδαγωγός ἐστιν.

§. 10. Ταύτην τοίνυν πλέον τὴν ἀγαθὴν ἀσπασάμενοι πειθαρχίαν σφᾶς αὐτοὺς ἐπιδῶμεν κυρίῳ, τὸν βεβαιότατον τῆς πίστεως αὐτοῦ ἐξαψάμενοι κάλων, τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς καὶ γυναικὸς εἶναι νενοηκότες. εἰ γὰρ ἀμφοῖν ὁ θεὸς εἷς, εἷς δὲ καὶ ὁ παιδαγωγὸς ἀμφοῖν, μία ἐκκλησία, μία σωφροσύνη, αἰδὼς μία, ἡ τροφὴ κοινὴ, γάμος συζύγιος, ἀναπνοὴ, ὄψις, ἀκοὴ, γνῶσις, ἐλπὶς, ὑπακοὴ, ἀγάπη, ὅμοια πάντα. ὧν δὲ κοινὸς μὲν ὁ βίος, κοινὴ δὲ ἡ χάρις, κοινὴ δὲ καὶ ἡ σωτηρία, κοινὴ τούτων καὶ ἡ ἀγάπη καὶ ἡ

---

*) Cf. Genes. 1, 26. **) Matth. 15, 14. ***) Cf. Ioann. 1, 14.

ἀγωγή. „ἐν γὰρ τῷ αἰῶνι τούτῳ", φησὶ, „γαμοῦσι καὶ γαμίσκονται" *), ἐν ᾧ δὴ μόνῳ τὸ θῆλυ τοῦ ἄρρενος διακρίνεται, „ἐν ἐκείνῳ δὲ οὐκέτι", ἔνθα τοῦ κοινωνικοῦ καὶ ἁγίου τούτου βίου τοῦ ἐκ συζυγίας τὰ ἔπαθλα, οὐκ ἄρρενι καὶ θηλείᾳ, ἀνθρώπῳ δὲ ἀπόκειται, ἐπιθυμίας διχαζούσης αὐτὸν κεχωρισμένον.

§. 11. Κοινὸν οὖν καὶ τοὔνομα ἀνδράσι καὶ γυναιξὶν ὁ ἄνθρωπος. ταύτῃ μοὶ δοκοῦσιν οἱ Ἀττικοὶ παιδάριον ἐπικοίνως οὐ μόνον τὸ ἄρρεν, ἀλλὰ καὶ τὸ θῆλυ κεκληκέναι, εἴ τῳ πιστὸς καταφαί- P. 104 Pott.
νεται ὁ κωμικὸς ἐν ῥαπιζομένῃ Μένανδρος ὧδέ πως λέγων·

τοὐμὸν θυγάτριον, πάνυ γάρ ἐστι τῇ φύσει
*** φιλάνθρωπον τὸ παιδάριον σφόδρα.

ἄρνες δὲ δὴ ἐπίκοινόν ἐστιν ἀφελείας ὄνομα ἄρρενός τε καὶ θήλεος ζώου. αὐτὸς δὲ ἡμᾶς ὁ κύριος ποιμαίνει εἰς τοὺς αἰῶνας, ἀμήν. ἄνευ δὲ ποιμένος οὔτε πρόβατα οὔτε ἄλλο οὐδέν πω βιωτέον, οὐδὲ δὴ παῖδας ἄνευ τοῦ παιδαγωγοῦ οὐδὲ μὴν οἰκέτας ἄνευ τοῦ δεσπότου.

Cap. V.

Ὅτι πάντες οἱ περὶ τὴν ἀλήθειαν καταγινόμενοι παῖδες παρὰ τῷ θεῷ.

§. 12. Ὅτι μὲν οὖν ἡ παιδαγωγία παίδων ἐστὶν ἀγωγὴ σαφὲς ἐκ τοῦ ὀνόματος, λοιπὸν δέ ἐστι τοὺς παῖδας ἐπιθεωρῆσαι, οὓς αἰνίττεται ἡ γραφὴ, εἶτα τὸν παιδαγωγὸν αὐτοῖς ἐπιστῆσαι· οἱ παῖδες ἡμεῖς, πολλαχῶς δὲ ἡμᾶς ἐξυμνεῖ πολυτρόπως τε ἀλληγορεῖ, ὀνόμασι ποικίλοις τὸ ἀφελὲς τῆς πίστεως ἐξαλλάττουσα ἡ γραφή. ἐν γοῦν τῷ εὐαγγελίῳ „σταθεὶς", φησίν, „ὁ κύριος ἐπὶ τῷ αἰγιαλῷ πρὸς τοὺς μαθητὰς" — ἁλιεύοντες δὲ ἔτυχον — „ἐνεφώνησέν τε·

*) Luc. 20, 34.

παιδία, μή τι ὄψον ἔχετε" *); τοὺς ἤδη ἐν ἕξει τῶν γνωρίμων παῖδας προσειπών. „προσήνεγκάν τε αὐτῷ", φησὶ, „παιδία εἰς χειροθεσίαν εὐλογίας, κωλυόντων δὲ τῶν γνωρίμων, εἶπεν ὁ Ἰησοῦς· ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν" **). τί βούλεται τὸ λεχθὲν, αὐτὸς διασαφήσει ὁ κύριος λέγων· „ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία ταῦτα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν" ***)· οὐ τὴν ἀναγέννησιν ἐνταῦθα ἀλληγορῶν, ἀλλὰ τὴν ἐν παισὶν ἁπλότητα εἰς ἐξομοίωσιν παρακατατιθέμενος ἡμῖν. τοὺς παῖδας ἡμᾶς καὶ τὸ προφητικὸν ἐκλέγεται πνεῦμα· „δρεψάμενοι", φησὶ, „κλάδους ἢ φοινίκων οἱ παῖδες ἐξῆλθον εἰς ἀπάντησιν κυρίῳ καὶ ἐκέκραγον λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ- [P. 105 Pott.] ρίου, φῶς καὶ δόξα καὶ αἶνος μεθ' ἱκετηρίας τῷ [P. 38 Sylb.] κυρίῳ" †)· τουτὶ γὰρ ἐμφαίνει ἑρμηνευόμενον Ἑλλάδι φωνῇ τὸ ὡσαννά.

§. 13. Καί μοι δοκεῖ ἡ γραφὴ ταύτην αἰνιττομένη τὴν προφητείαν τὴν προειρημένην ἐν ὀνείδους μέρει τοῖς ῥαθύμοις ἐγκαλεῖν· „οὐδέ ποτε ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον" ††); τοῦτό τοι καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ μυωπίζει τοὺς γνωρίμους προσέχειν αὐτῷ, παρορμῶν ὡς ἤδη σπεύδων πρὸς τὸν πατέρα, ὀρεκτικωτέρους παρασκευάζων τοὺς ἀκροατὰς, μετ' ὀλίγον ἀπεῖναι προμηνύων, ὡς δέον αὐτοῖς ἀποκαρπίζεσθαι τῆς ἀληθείας ἀφειδέστερον δηλῶν καὶ ὅσον οὐδέπω ἀπαίροντος εἰς οὐρανὸν τοῦ λόγου. πάλιν οὖν αὐτοὺς παιδία καλεῖ, φησὶ γὰρ, „παιδία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμί" †††). αὖθις τε παιδίοις ὁμοιοῖ τὴν βασιλείαν τῶν οὐρανῶν „ἐν ἀγοραῖς καθημένοις καὶ

*) Ioann. 21, 4. 5. **) Matth. 19, 14. ***) Ibid. 18, 3. †) Ibid. 21, 9. ††) Ibid. v. 16. cf. Psalm. 8, 3. †††) Ioann. 13, 33.

λέγουσιν· ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν καὶ οὐκ ἐκόψασθε"*), καὶ ὅσα ἄλλα τούτοις οἰκείως ἐπήγαγεν. καὶ οὔτι γε μόνον τὸ εὐαγγέλιον ταύτῃ φρονεῖ, ὁμοδοξεῖ δὲ αὐτῷ καὶ ἡ προφητεία. λέγει γοῦν Δαβὶδ „αἰνεῖτε παῖδες, κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου"**). λέγει δὲ καὶ διὰ Ἡσαΐου „ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός"***).

§. 14. Θαυμάζεις ἀκούων τοὺς ἄνδρας τοὺς ἐν ἔθνεσι παῖδας παρὰ κυρίῳ; οὔ μοι δοκεῖς Ἀττικῆς ἐπαΐειν φωνῆς, παρ' ἧς ἔστιν ἐκμαθεῖν τὰς καλὰς καὶ ὡραίας, ἔτι δὲ καὶ ἐλευθέρας νεάνιδας παιδίσκας καλουμένας, παιδισκάρια δὲ τὰς δούλας, καὶ νεάνιδας δὲ καὶ αὐτὰς πρὸς τὸ εὐθαλὲς τῆς παιδικῆς ἡλικίας ὑποκοριστικῶς τιμωμένας. καὶ τὰ ἀρνία δέ μου ὅταν λέγῃ „στήτω ἐκ δεξιῶν"†), τοὺς ἀφελεῖς αἰνίττεται παῖδας, ὡς ἄρνας οὐκ ἄνδρας καὶ πρόβατα ὄντας κατὰ γένος, τὰ δὲ ἀρνία προνομίας ἠξίωσεν τὴν ἐν ἀνθρώποις ἁπαλότητα καὶ ἁπλότητα τῆς διανοίας τὴν ἀκακίαν προτιμῶν. αὖθίς τε ὅταν φῇ, „ὡς μοσχάρια γαλαθηνὰ"††), ἡμᾶς πάλιν ἀλληγορεῖ· καὶ P. 106 Pott. „ὡς περιστερὰν ἄκακον καὶ ἄχολον" πάλιν ἡμᾶς. νεοττούς τε ἔτι δύο περιστερῶν ἢ τρυγόνων ζεῦγος ὑπὲρ ἁμαρτίας κελεύει καὶ διὰ Μωϋσέως προσφέρεσθαι†††), τὸ ἀναμάρτητον τῶν ἁπαλῶν καὶ ἄκακον καὶ ἀμνησίκακον τῶν νεοττῶν εὐπρόσδεκτον εἶναι λέγων τῷ θεῷ καὶ τὸ ὅμοιον τοῦ ὁμοίου καθάρσιον ὑφηγούμενος· ἀλλὰ καὶ τὸ δειλὸν τῶν τρυγόνων, τὴν πρὸς τὰς ἁμαρτίας εὐλάβειαν ὑποτυποῦται. ὅτι δὲ ἡμᾶς τοὺς νεοττοὺς λέγει, μάρτυς ἡ γραφή· „ὃν τρόπον ὄρνις συνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας αὐτῆς"*), οὕτως ἐσμὲν νεοττοὶ κυρίου, θαυμαστῶς πάνυ καὶ μυστικῶς τοῦ λόγου τὴν ἁπλότητα τῆς ψυ-

*) Matth. 11, 16. 17. **) Psalm. 113, 1. ***) Ies. 8, 18. †) Matth. 25, 33. cl. Ioann. 21, 15. ††) 2 Reg. 17, 24. Amos 6, 4. cl. Luc. 10, 16. †††) Leuit. 15, 29. 12, 16. Luc. 2, 24. *) Matth. 23, 37.

χῆς εἰς ἡλικίαν ὑπογραφομένου παιδικήν. πὴ μὲν γὰρ παῖδας ἡμᾶς καλεῖ, πὴ δὲ νεοττούς, ἔσθ' ὅτε δὲ νηπίους, υἱοὺς δὲ ἀλλαχόθι καὶ τέκνα πολλάκις καὶ λαὸν νέον καὶ λαὸν καινόν· „τοῖς δὲ δούλοις μου", φησί, „κληθήσεται ὄνομα καινόν" — νέον ὄνομα λέγει τὸ καινὸν καὶ ἀΐδιον, ἄχραντον καὶ ἁπλοῦν καὶ νήπιον καὶ ἀληθινόν — „ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς" *).

§. 15. Ἀλληγορῶν δὲ αὖθις ἡμᾶς πώλους καλεῖ, τοὺς ἀζυγεῖς κακίᾳ, τοὺς ἀδαμάστους πονηρίᾳ, ἀφελεῖς δὲ καὶ πρὸς αὐτὸν μόνον τὸν πατέρα σκιρτητικούς, οὐχὶ „τοὺς ἐπὶ ταῖς τῶν πλησίον γυναιξὶ χρεμετίζοντας ἵππους, τοὺς ὑποζυγίους καὶ θηλυμανεῖς" **), ἀλλὰ τοὺς ἐλευθέρους καὶ νεογνούς, τοὺς γαύρους διὰ τὴν πίστιν, τοὺς εἰς ἀλήθειαν εὐδρόμους, τοὺς ταχεῖς πρὸς σωτηρίαν, τοὺς καταπατοῦντας καὶ κρουαίνοντας τὰ κοσμικά. „χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος, πρᾳῢς καὶ σώζων, καὶ αὐτὸς πρᾷος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον" ***). οὐκ ἤρκει τὸ πῶλον εἰρηκέναι μόνον, ἀλλὰ καὶ τὸν νέον προσέθηκεν αὐτῷ, τὴν ἐν Χριστῷ νεολαίαν τῆς ἀνθρωπότητος καὶ ἀγήρω μετὰ ἁπλότητος ἀϊδιότητα ἐμφαίνων. τοιούτους δὲ ἡμᾶς νέους πώλους τοὺς νηπίους ὁ θεῖος ἡμῶν πωλοδάμνης ἀνατρέφει. εἰ δὲ καὶ ὄνος εἴη ὁ νέος ἐν τῇ γραφῇ, πλὴν ἀλλὰ πῶλος ὄνος καὶ οὗτος. „καὶ τὸν πῶλον", P. 107 Pott. φησί, „προσέδησεν ἀμπέλῳ" †)· ἁπλοῦν τοῦτον καὶ νήπιον λαὸν τῷ λόγῳ προσδήσας, ὃν ἄμπελον ἀλληγορεῖ· φέρει γὰρ οἶνον ἡ ἄμπελος, ὡς αἷμα ὁ λόγος, ἄμφω δὲ ἀνθρώποις ποτὸν εἰς σωτηρίαν, ὁ μὲν οἶνος τῷ σώματι, τὸ δὲ αἷμα τῷ πνεύματι. ὡς δὲ καὶ ἄρνας ἡμᾶς λέγει, ἐχέγγυος μάρτυς διὰ Ἡσαΐου τὸ

---

*) Ies. 65, 15. 16. **) Ierem. 5, 8. ***) Zach. 9, 9. †) Genes. 49, 11.

πνεῦμα· „ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ καὶ τῷ βραχίονι αὐτοῦ συλλέξει ἄρνας“ *), τὸ ἔτι ἁπαλώτερον τῶν προβάτων εἰς ἀφέλειαν ἄρνας ἀλληγορῶν.

§. 16. Ἀμέλει καὶ ἡμεῖς τὰ κάλλιστα καὶ τελεώτατα τῶν ἐν τῷ βίῳ κτημάτων παιδικῇ προσηγορίᾳ τιμήσαντες παιδείαν καὶ παιδαγωγίαν κεκλήκαμεν. παιδαγωγίαν δὲ ὁμολογοῦμεν εἶναι ἀγωγὴν ἀγαθὴν ἐκ παίδων πρὸς ἀρετήν. ἐμφαντικώτερον δ' οὖν ἡμῖν ἀποκαλύπτων ὁ κύριος τὸ σημαινόμενον ἐκ τῆς παιδίων προσηγορίας γενομένης ζητήσεως ἐν τοῖς ἀποστόλοις, „ὅστις αὐτῶν εἴη μείζων, ἔστησεν ὁ Ἰησοῦς ἐν μέσῳ παιδίον εἰπών· ὃς ἐὰν ἑαυτὸν ταπεινώσῃ ὡς τὸ παιδίον τοῦτο, οὗτος μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν“ **). οὐκ ἄρα κατακέχρηται τῇ τῶν παιδίων προσηγορίᾳ ὡς ἀλογίστων ἡλικίᾳ, ᾗ τισὶν ἔδοξεν, οὐδ' ἂν εἴπῃ, „ἢν μὴ γένησθε ὡς τὰ παιδία ταῦτα, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τοῦ θεοῦ“ ***), ἀμαθῶς ἐκδεκτέον. οὐκ ἄρ' ἔτι κυλιόμεθα οἱ νήπιοι χαμαὶ οὐδὲ ἕρπομεν ὡς τὸ πρόσθεν ἐπὶ γῆς ὄφεων δίκην ὅλῳ τῷ σώματι περὶ τὰς ἀνοήτους ἐπιθυμίας ἰλυσπώμενοι, ἀνατεινόμενοι δὲ ἄνω P. 39 Sylb. τῇ ἐννοίᾳ, κόσμῳ καὶ ἁμαρτίαις ἀποτεταγμένοι, ὀλίγῳ ποδὶ ἐφαπτόμενοι τῆς γῆς, ὅσον ἐν κόσμῳ εἶναι δοκεῖν, σοφίαν μεταδιώκομεν ἁγίαν· μωρία δὲ αὕτη τοῖς εἰς πανουργίαν ἠκονημένοις δοκεῖ.

§. 17. Παῖδες οὖν εἰκότως οἱ θεὸν μόνον ἐγνωκότες πατέρα, ἀφελεῖς καὶ νήπιοι καὶ ἀκέραιοι, οἱ κεράτων μονοκερώτων ἐρασταί· τοῖς γοῦν προβεβηκόσιν ἐν τῷ λόγῳ ταύτην ἐπεκήρυξε τὴν φωνήν, ἀφροντιστεῖν κελεύων τῶν τῆδε πραγμάτων καὶ μόνῳ προσέχειν τῷ πατρὶ παραινῶν μιμουμένους τὰ παιδία. P. 108 Pott. διὸ κἂν τοῖς ἑχομένοις λέγει· „μὴ μεριμνᾶτε περὶ τῆς αὔριον, ἀρκετὸν γὰρ τῇ ἡμέρᾳ ἡ κακία

*) Ies. 40, 11. **) Matth. 18, 1 sqq. ***) Ibid. v. 3.

αὐτῆς" *). οὕτως ἀποθεμένους τὰς τοῦ βίου φροντίδας ἐξέχεσθαι μόνου τοῦ πατρὸς παραγγέλλει. καὶ ὁ πληρῶν τὴν ἐντολὴν ταύτην τῷ ὄντι νήπιός τέ ἐστι καὶ παῖς θεῷ τε καὶ τῷ κόσμῳ, ᾧ μὲν ὡς πεπλανημένος, ᾧ δὲ ὡς ἠγαπημένος. εἰ δὲ „εἷς διδάσκαλος ἐν οὐρανοῖς" **), ὥς φησιν ἡ γραφὴ, ὁμολογουμένως οἱ ἐπὶ γῆς εἰκότως ἂν πάντες κεκλήσονται μαθηταί· ἔχει γὰρ οὕτως τὸ ἀληθὲς, τὸ μὲν τέλειον εἶναι παρὰ τῷ κυρίῳ τῷ διδάσκοντι ἀεὶ, τὸ δὲ παιδικὸν καὶ νήπιον παρ' ἡμῖν τοῖς ἀεὶ μανθάνουσι.

§. 18. Ταύτῃ τοὶ ἡ προφητεία τὸ τέλειον τῇ τοῦ ἀνδρὸς τετίμηκε προσηγορίᾳ καὶ διά γε τοῦ Δαβὶδ, ἐπὶ μὲν τοῦ διαβόλου „ἄνδρα αἱμάτων", φησὶ, „βδελύσσεται κύριος" ***). ἄνδρα αὐτὸν ὡς τέλειον ἐν κακίᾳ καλεῖ. λέγεται δὲ καὶ ὁ κύριος ἀνὴρ διὰ τὸ εἶναι αὐτὸν τέλειον ἐν δικαιοσύνῃ. αὐτίκα γοῦν ὁ ἀπόστολος ἐπιστέλλων πρὸς Κορινθίους φησίν· „ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ" †), εἴτε ὡς νηπίους καὶ ἁγίους πλὴν ἀλλὰ τῷ μόνῳ κυρίῳ, σαφέστατα δὲ Ἐφεσίοις γράφων ἀπεκάλυψε τὸ ζητούμενον ὧδέ πως λέγων· „μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ θεοῦ εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα" ††). ταῦτα λέγων εἰς οἰκοδομὴν τοῦ Χριστοῦ, ὅς ἐστι κεφαλὴ καὶ ἀνὴρ ὁ μόνος ἐν δικαιοσύνῃ τέλειος, ἡμεῖς δὲ νήπιοι τοὺς παραφυσῶντας †††) εἰς φυσίωσιν φυλαξάμενοι τῶν

---

*) Matth. 6, 34. **) Ibid. 23, 8 sqq. ***) Psalm. 5, 6. †) 2 Cor. 11, 2. ††) Ephes. 4, 13—15. †††) Cf. Coloss. 2, 18. Ephes. 4, 14.

αἱρέσεων ἀνέμους καὶ μὴ καταπιστεύοντες τοῖς ἄλλως ἡμῖν νουθετοῦσι πατέρας, τελειούμεθα τότε, ὅτε ἐσμὲν ἐκκλησία τὴν κεφαλὴν τὸν Χριστὸν ἀπειληφότες.

§. 19. Ἐνταῦθα ἐπιστῆσαι δίκαιον τῇ προσηγορίᾳ τοῦ νηπίου, ὅτι οὐκ ἐπὶ ἀφρόνων τάττεται τὸ νήπιον, νηπύτιος μὲν γὰρ οὗτος, νήπιος δὲ ὁ νεήπιος, ὡς ἤπιος ὁ ἁπαλόφρων, οἷον ἤπιος νεωστὶ P. 109
καὶ πρᾶος τῷ τρόπῳ γενόμενος. τοῦτό τοι σαφέ- Pott.
στατα ὁ μακάριος Παῦλος ὑπεσημήνατο εἰπὼν, „δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι ἐγενήθημεν νήπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα" *). ἤπιος οὖν ὁ νήπιος καὶ ταύτῃ μᾶλλον ἀταλὸς, ἁπαλὸς καὶ ἁπλοῦς καὶ ἄδολος καὶ ἀνυπόκριτος, ἰθὺς τὴν γνώμην καὶ ὀρθός· τὸ δέ ἐστιν ἁπλότητος καὶ ἀληθείας ὑπόστασις· „ἐπὶ τίνα γὰρ", φησὶν, „ἐπιβλέψω ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον" **); τοιοῦτος γὰρ ὁ παρθένιος λόγος, ἀταλὸς καὶ ἄπλαστος· διὸ καὶ τὴν παρθένον ἀταλὴν νύμφην καὶ τὸν παῖδα ἀταλόφρονα κεκλῆσθαι ἔθος· ἀταλοὶ δὲ ἡμεῖς οἱ ἁπαλοὶ πρὸς πειθὼ καὶ εὐέργαστοι πρὸς ἀγαθοσύνην, ἄχολοί τε καὶ ἀνεπίμικτοι κακοφροσύνῃ καὶ σκολιότητι· ἡ μὲν γὰρ γενεὰ ἡ παλαιὰ σκολιὰ καὶ σκληροκάρδιος, χορὸς δὲ νηπίων, ὁ καινὸς ἡμεῖς λαὸς, τρυφερὸς ὡς παῖς, ἐπὶ δὲ ταῖς καρδίαις τῶν ἀκάκων ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ χαίρειν ὁ ἀπόστολος ὁμολογεῖ, καὶ δὴ ὅρον τινὰ νηπίων, ὡς εἰπεῖν, ἀποδίδωσιν εἰπὼν, θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν ***).

§. 20. Καὶ γὰρ οὐδὲ ἔστι τὸ ὄνομα τοῦ νηπίου κατὰ στέρησιν ἡμῖν νοούμενον, ἐπεὶ τὸ νη στερητικὸν γραμματικῶν νομοθετοῦσι παῖδες. εἰ γὰρ ἄφρονας ἡμᾶς οἱ τῆς νηπιότητος κατατρέχοντες καλοῦσιν,

---

*) 1 Thessal. 2, 6. 7. **) Ies. 66, 2. ***) Rom. 16, 19.

ὁρᾶτε πῶς βλασφημοῦσιν ἐπὶ τὸν κύριον τοὺς εἰς θεὸν καταπεφευγότας ἄφρονας ὑπολαμβάνοντες, εἰ δὲ ὅπερ καὶ μᾶλλον ἐξακουστέον, τοὺς νηπίους καὶ αὐτοὶ ἐπὶ τῶν ἁπλῶν ἐκδέξονται, χαίρομεν τῇ προσηγορίᾳ, νήπιοι γὰρ αἱ νέαι φρένες εἰσὶν ἐν παλαιᾷ τῇ ἀφροσύνῃ, αἱ νεωστὶ συνεταὶ, αἱ κατὰ τὴν διαθήκην τὴν καινὴν ἀνατείλασαι. ἔναγχος γοῦν ἔγνωσται ὁ θεὸς κατὰ τὴν τοῦ Χριστοῦ παρουσίαν. „θεὸν γὰρ οὐδεὶς ἔγνω, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ" *). νέοι τοίνυν ὁ λαὸς ὁ καινὸς πρὸς ἀντιδιαστολὴν τοῦ πρεσβυτέρου λαοῦ, τὰ νέα μα- P. 110 Pott. θόντες ἀγαθά. καὶ ἔστιν ἡμῖν τὸ οὖθαρ τῆς ἡλικίας ἡ ἀγήρως αὕτη νεότης, ἐν ᾗ πρὸς νόησιν ἀεὶ ἀκμάζομεν, ἀεὶ νέοι καὶ ἀεὶ ἤπιοι καὶ ἀεὶ καινοί· χρὴ γὰρ εἶναι καινοὺς τοὺς λόγου καινοῦ μετειληφότας, τὸ δὲ ἀϊδιότητος μετειληφὸς ἐξομοιοῦσθαι φιλεῖ τῷ ἀφθάρτῳ, ὡς εἶναι ἡμῖν τῆς παιδικῆς ἡλικίας τὴν προσηγορίαν ἔαρ παντὸς τοῦ ζῆν διὰ τὸ ἀγήρω εἶναι τὴν ἐν ἡμῖν ἀλήθειαν καὶ τῇ ἀληθείᾳ τὸν ἀνακεχυμένον ἡμῶν τρόπον.

§. 21. Σοφία δὲ ἀειθαλὴς, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα καὶ οὔποτε μεταβάλλουσα· „τὰ παιδία", φησὶν, „αὐτῶν ἐπ' ὤμων ἀρθήσονται καὶ ἐπὶ γονάτων παρακληθήσονται. ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτως κἀγὼ ὑμᾶς παρακαλέσω" **). ἡ μήτηρ προσάγεται τὰ παιδία καὶ ἡμεῖς ζητοῦμεν τὴν P. 40 Sylb. μητέρα τὴν ἐκκλησίαν. τὸ μὲν τοίνυν καὶ ἀσθενὲς καὶ ἁπαλὸν ἅπαν, ἅτε δι' ἀσθένειαν, ᾗ βοηθείας δεόμενον, κεχαρισμένον τέ ἐστι καὶ ἡδὺ καὶ τερπνὸν, τοῦ θυμικοῦ ἱσταμένου τοῦ πηλικῷδε τὴν βοήθειαν· ὡς γὰρ οἱ πατέρες καὶ αἱ μήτερες ἥδιον ὁρῶσι τῶν μὲν ἵππων τοὺς πώλους, τῶν δὲ βοῶν τὰ μικρὰ μοσχάρια καὶ λεόντων σκύμνον καὶ ἐλάφου νεβρὸν καὶ ἀνθρώπου παιδίον, οὕτως καὶ τῶν

*) Matth. 11, 27. Luc. 10, 22. **) Ies. 66, 12. 13.

ὅλων ὁ πατὴρ τοὺς εἰς αὐτὸν καταπεφευγότας προσίεται καὶ ἀναγεννήσας πνεύματι εἰς υἱοθεσίαν ἠπίους οἶδεν· καὶ φιλεῖ τούτους μόνους καὶ βοηθεῖ καὶ ὑπερμαχεῖ καὶ διὰ τοῦτο ὀνομάζει παιδίον. ἐγὼ καὶ τὸν Ἰσαὰκ εἰς παῖδα ἀναφέρω, γέλως ἑρμηνεύεται ὁ Ἰσαάκ. τοῦτον ἑώρακε παίζοντα μετὰ τῆς γυναικὸς καὶ βοηθοῦ, τῆς Ῥεβέκκας, ὁ περίεργος βασιλεύς. βασιλεύς μοι δοκεῖ — Ἀβιμέλεχ ὄνομα αὐτῷ — σοφία τις εἶναι ὑπερκόσμιος, κατασκοποῦσα τῆς παιδείας (P. 111 Pott.) τὸ μυστήριον, Ῥεβέκκαν δὲ ἑρμηνεύουσιν ὑπομονήν. ὢ τῆς φρονίμου παιδείας· γέλως καὶ δι᾽ ὑπομονῆς βοηθούμενος καὶ ἔφορος ὁ βασιλεύς. ἀγαλλιᾶται τὸ πνεῦμα τῶν ἐν Χριστῷ παιδίων ἐν ὑπομονῇ πολιτευομένων· καὶ αὕτη ἡ θεία παιδεία.

§. 22. Τοιαύτην τινὰ παίζειν παιδείαν τὸν ἑαυτοῦ Δία Ἡράκλειτος λέγει. τί γὰρ ἄλλο εὐπρεπὲς ἔργον σοφῷ καὶ τεκείῳ ἢ παίζειν καὶ συνευφραίνεσθαι τῇ τῶν καλῶν ὑπομονῇ καὶ [τῇ] διοικήσει τῶν καλῶν συμπανηγυρίζοντα τῷ θεῷ; ἔστι καὶ ἄλλως ὑπολαβεῖν τὸ ὑπὸ τῆς προφητείας μηνυόμενον χαίροντας ἡμᾶς καὶ γελῶντας ἐπὶ σωτηρίᾳ, ὡς τὸν Ἰσαάκ. ἐγέλα δὲ κἀκεῖνος τοῦ θανάτου λελυμένος, παίζων καὶ ἀγαλλιώμενος σὺν τῇ νύμφῃ τῇ εἰς σωτηρίαν ἡμῶν βοηθῷ, τῇ ἐκκλησίᾳ, ᾗ ὑπομονὴ ὄνομα πάγιον τέθειται, ἤτοι ἐπεὶ μόνη αὕτη εἰς τοὺς αἰῶνας μένει χαίρουσα ἀεὶ ἢ ἐξ ὑπομονῆς τῶν πιστευόντων συνέστηκεν, οἵ ἐσμεν μέλη Χριστοῦ, καὶ ἡ τῶν εἰς τέλος ὑπομεινάντων μαρτυρία καὶ ἡ ἐπὶ τούτοις εὐχαριστία· αὕτη δέ ἐστιν μυστικὴ παιδεία καὶ ἡ σὺν τῇ σεμνῇ θυμηδίᾳ βοηθοῦσα σωτηρία. ὁ γοῦν βασιλεὺς ὁ Χριστὸς ἄνωθεν ἡμῶν ἐπισκοπεῖ τὸν γέλωτα καὶ διακύψας τῆς θυρίδος*), ὥς φησιν ἡ γραφή, τὴν εὐχαριστίαν καὶ τὴν εὐλογίαν, ἀγαλλίασίν τε καὶ εὐφροσύνην, ἔτι τε ὑπομονὴν συνεργοῦσαν καὶ

*) Genes. 26, 8.

τὴν τούτων συμπλοκὴν τὴν ἐκκλησίαν ἐποπτεύει τὴν ἑαυτοῦ, μόνον ἐπιδεικνὺς τὸ πρόσωπον τὸ αὑτοῦ τὸ λεῖπον τῇ ἐκκλησίᾳ βασιλείῳ τελειουμένῃ κεφαλῇ.

§. 23. Καὶ ποῦ ἄρα ἦν ἡ θυρὶς, δι᾽ ἧς ὁ κύριος ἐδείκνυτο; ἡ σὰρξ δι᾽ ἧς πεφανέρωται. αὐτός ἐστιν ὁ Ἰσαὰκ — καὶ γάρ ἐστιν ἑτέρως ἐκλαβεῖν — τύπος ὅς ἐστι τοῦ κυρίου, παῖς μὲν ὡς υἱὸς, καὶ γὰρ υἱὸς ἦν Ἀβραὰμ, ὡς ὁ Χριστὸς τοῦ θεοῦ, ἱερεῖον δὲ ὡς ὁ κύριος. ἀλλ᾽ οὐ κεκάρπωται ὡς ὁ κύριος, μόνον ἐβάστασε τὰ ξύλα τῆς ἱερουργίας ὁ Ἰσαὰκ, ὡς ὁ κύριος τὸ ξύλον. ἐγέλα δὲ μυστικῶς ἐμπλῆσαι ἡμᾶς προφητεύων χαρᾶς τὸν κύριον τοὺς αἵματι κυρίου ἐπὶ φθορᾶς λελυτρωμένους. οὐκ ἔπαθεν δὲ μόνον εἰκότως ἄρα ὁ Ἰσαὰκ τὰ πρωτεῖα τοῦ πάθους παραχωρῶν τῷ λόγῳ, ἀλλὰ καὶ τοῦ κυρίου τὴν θειότητα αἰνίττεται μὴ σφαγείς· ἀνέστη γὰρ μετὰ τὴν κηδείαν ὁ Ἰησοῦς μὴ παθὼν, καθάπερ ἱερουργίας ἀφειμένος ὁ Ἰσαάκ.

P. 112 Pott.

§. 24. Μέγιστον δὲ εἰς συνηγορίαν καὶ ἄλλο παραθήσομαι τοῦ προκειμένου. τὸν κύριον αὐτὸν ὀνομάζει παιδίον, τοῦτο διὰ Ἡσαΐου θεσπίζον τὸ πνεῦμα· „ἰδοὺ παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος" *). τί οὖν τὸ παιδίον τὸ νήπιον, οὗ κατ᾽ εἰκόνα ἡμεῖς οἱ νήπιοι; διὰ τοῦ αὐτοῦ προφήτου διηγεῖται τὸ μέγεθος αὐτοῦ· „θαυμαστὸς σύμβουλος, θεὸς δυνάστης, πατὴρ αἰώνιος, ἄρχων εἰρήνης, τῷ πληθύνειν τὴν παιδείαν καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστι πέρας" **). ὢ τοῦ μεγάλου θεοῦ, ὢ τοῦ τελείου παιδίου· υἱὸς ἐν πατρὶ καὶ πατὴρ ἐν υἱῷ· καὶ πῶς οὐ τέλειος ἡ παιδεία τοῦ παιδίου ἐκείνου, ἣ ἐπὶ πάντας διήκει τοὺς παῖδας ἡμᾶς παιδαγωγοῦσα τοὺς νηπίους αὐτοῦ; οὗτος εἰς ἡμᾶς ἐξεπέτασε τὰς χεῖρας τὰς ἐναργῶς

*) Ies. 9, 6. **) Ibidem.

πεπιστευμένας· τούτῳ προσμαρτυρεῖ τῷ παιδίῳ καὶ Ἰωάννης, „ὁ μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης" *)· „ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ" **). ἐπεὶ γὰρ ἄρνας ὀνομάζει ἡ γραφὴ τοὺς παῖδας τοὺς νηπίους, τὸν θεὸν τὸν λόγον τὸν δι' ἡμᾶς ἄνθρωπον γενόμενον κατὰ πάντα ἡμῖν ἀπεικάζεσθαι βουλόμενον ἀμνὸν κέκληκε τοῦ θεοῦ, τὸν υἱὸν τοῦ θεοῦ, τὸν νήπιον τοῦ πατρός.

Cap. VI.

Πρὸς τοὺς ὑπολαμβάνοντας τὴν τῶν παιδίων καὶ τῶν νηπίων προσηγορίαν τὴν τῶν πρώτων μαθημάτων αἰνίττεσθαι διδαχήν.

§. 25. Ἔξεστι δὲ ἡμῖν ἐκ περιουσίας πρὸς τοὺς φιλεγκλήμονας ἐπαποδύσασθαι· οὐ γὰρ παῖδες ἡμεῖς καὶ νήπιοι πρὸς τὸ παιδαριῶδες καὶ εὐκαταφρόνητον τῆς μαθήσεως προσηγορεύμεθα, καθὼς οἱ εἰς γνῶσιν πεφυσιωμένοι ***) διαβεβλήκασιν· ἀναγεννηθέντες γοῦν εὐθέως τὸ τέλειον ἀπειλήφαμεν, οὗ ἕνεκεν ἐσπεύ- P. 113 Pott. δομεν. ἐφωτίσθημεν γάρ· τὸ δέ ἐστιν ἐπιγνῶναι θεόν. οὔκουν ἀτελὴς ὁ ἐγνωκὼς τὸ τέλειον. καί μου μὴ λάβησθε ὁμολογοῦντος ἐγνωκέναι τὸν θεόν· ὧδέ P. 41 Sylb. πως γὰρ ἔδοξεν εἰπεῖν τῷ λόγῳ. ὁ δὲ ἐλεύθερος. αὐτίκα γοῦν βαπτιζομένῳ τῷ κυρίῳ ἀπ' οὐρανῶν ἐπήχησε φωνὴ μάρτυς ἠγαπημένου· „υἱός μου εἶ σὺ ἀγαπητὸς, ἐγὼ σήμερον γεγέννηκά σε" †). πυθώμεθα οὖν τῶν σοφῶν· σήμερον ἀναγεννηθεὶς ὁ Χριστὸς ἤδη τέλειός ἐστιν ἢ ὅπερ ἀτοπώτατον ἐλλειπής; εἰ δὲ τοῦτο, προσμαθεῖν τι αὐτῷ δεῖ. ἀλλὰ προσμαθεῖν μὲν αὐτὸν εἰκὸς οὐδὲ ἓν θεὸν ὄντα. οὐ γάρ μείζων τις εἴη τοῦ λόγου, οὐδὲ μὴν διδάσκαλος τοῦ μόνου

*) Luc. 7, 28. **) Ioann. 1, 29. 36. ***) Cf. 1 Cor. 8, 1. †) Cf. Luc. 3, 22. Matth. 3, 17. Marc. 1, 11, — Psalm. 2, 17. Act. 3, 33. Hebr. 1, 5. 5, 5.

διδασκάλου. μή τι οὖν ὁμολογήσουσιν ἄκοντες τὸν λόγον τέλειον ἐκ τελείου φύντα τοῦ πατρὸς κατὰ τὴν οἰκονομικὴν προδιατύπωσιν ἀναγεννηθῆναι τελέως; καὶ εἰ τέλειος ἦν, τί ἐβαπτίζετο ὁ τέλειος; ἔδει, φασὶ, πληρῶσαι τὸ ἐπάγγελμα τὸ ἀνθρώπινον. παγκάλως. φημὶ γάρ· ἅμα τοίνυν τῷ βαπτίζεσθαι αὐτὸν ὑπὸ Ἰωάννου γίνεται τέλειος; δῆλον ὅτι. οὐδὲν οὖν πρὸς αὐτοῦ προσέμαθεν; οὐ γάρ· τελειοῦται δὲ τῷ λουτρῷ μόνῳ καὶ τοῦ πνεύματος τῇ καθόδῳ ἁγιάζεται. οὕτως ἔχει.

§. 26. Τὸ δὲ αὐτὸ συμβαίνει τοῦτο καὶ περὶ ἡμᾶς, ὧν γέγονεν ὑπογραφὴ ὁ κύριος· βαπτιζόμενοι φωτιζόμεθα, φωτιζόμενοι υἱοποιούμεθα, υἱοποιούμενοι τελειούμεθα, τελειούμενοι ἀπαθανατιζόμεθα. „ἐγὼ”, φησὶν, „εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες” *). καλεῖται δὲ πολλαχῶς τὸ ἔργον τοῦτο χάρισμα καὶ φώτισμα καὶ τέλειον καὶ λουτρόν· λουτρὸν μὲν δι᾽ οὗ τὰς ἁμαρτίας ἀπορρυπτόμεθα, χάρισμα δὲ ᾧ τὰ ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπιτίμια ἀνεῖται, φώτισμα δὲ δι᾽ οὗ τὸ ἅγιον ἐκεῖνο φῶς τὸ σωτήριον ἐποπτεύεται, τουτέστιν δι᾽ οὗ τὸ θεῖον ὀξυωποῦμεν, τέλειον δὲ τὸ ἀπροσδεὲς φαμέν. τί γὰρ ἔτι λείπεται τῷ θεὸν ἐγνωκότι; καὶ γὰρ ἄτοπον ὡς ἀληθῶς χάρισμα κεκλῆσθαι θεοῦ τὸ μὴ πεπληρωμένον· τέλειος δὲ ὢν τέλεια χαριεῖται δήπουθεν· ὡς δὲ ἅμα τῷ κελεῦσαι αὐτὸν πάντα γίνεται, οὕτως ἕπεται τῷ χαρίσασθαι μόνον βουληθῆναι αὐτὸν πεπληρῶσθαι τὴν χάριν. τὸ γὰρ μέλλον τοῦ χρόνου τῇ δυνάμει τοῦ θελήματος προσλαμβάνεται. πρὸς δὲ καὶ ἡ τῶν κακῶν ἀπαλλαγὴ σωτηρίας ἐστὶν ἀρχή.

§. 27. Μόνοι δὲ ἄρα οἱ πρῶτοι ἀρξάμενοι τῶν P. 114 Pott. ὅρων τῆς ζωῆς ἤδη τέλειοι, ζῶμεν δὲ ἤδη οἱ θανάτου κεχωρισμένοι. σωτηρία τοίνυν τὸ ἕπεσθαι Χριστῷ. „ὃ γὰρ γέγονεν ἐν αὐτῷ ζωή ἐστιν” **).

*) Psalm. 82, 6. **) Ioann. 1, 4.

„ἀμὴν, ἀμὴν λέγω ὑμῖν“ φησὶν, „ὁ τῶν λόγων μοὺ ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν“ *). οὕτω τὸ πιστεῦσαι μόνον καὶ ἀναγεννηθῆναι τελείωσίς ἐστιν ἐν ζωῇ, οὐ γάρ ποτε ἀσθενεῖ ὁ θεός. ὡς γὰρ τὸ θέλημα αὐτοῦ ἔργον ἐστὶ καὶ τοῦτο κόσμος ὀνομάζεται, οὕτως καὶ τὸ βούλημα αὐτοῦ ἀνθρώπων ἐστὶ σωτηρία, καὶ τοῦτο ἐκκλησία κέκληται. οἶδεν οὖν οὓς κέκληκεν, οὓς σέσωκεν, κέκληκεν δὲ ἅμα καὶ σέσωκεν. „αὐτοὶ γὰρ ὑμεῖς“, φησὶν ὁ ἀπόστολος, „θεοδίδακτοί ἐστε“ **). οὐκ ἄρα θεμιτὸν ἡμῖν ἀτελὲς τὸ ὑπ' αὐτοῦ διδασκόμενον νοεῖν, τὸ δὲ μάθημα ἀΐδιος σωτηρία ἀϊδίου σωτῆρος, „ᾧ ἡ χάρις εἰς τοὺς αἰῶνας, ἀμήν“. καὶ ὁ μόνον ἀναγεννηθεὶς ὥσπερ οὖν καὶ τοὔνομα ἔχει, φωτισθεὶς ἀπήλλακται μὲν παραχρῆμα τοῦ σκότους, ἀπείληφε δὲ αὐτόθεν τὸ φῶς.

§. 28. Ὥσπερ οὖν οἱ τὸν ὕπνον ἀποσεισάμενοι εὐθέως ἔνδοθεν ἐγρηγόρασιν, μᾶλλον δὲ καθάπερ οἱ τὸ ὑπόχυμα τῶν ὀφθαλμῶν κατάγειν πειρώμενοι, οὐ τὸ φῶς αὐτοῖς ἔξωθεν χορηγοῦσιν, ὃ οὐκ ἔχουσιν, τὸ δὲ ἐμπόδιον ταῖς ὄψεσι καταβιβάζοντες ἐλευθέραν ἀπολείπουσι τὴν κόρην, οὕτως καὶ οἱ βαπτιζόμενοι τὰς ἐπισκοτοίσας ἁμαρτίας τῷ θείῳ πνεύματι ἀχλύος δίκην ἀποτριψάμενοι ἐλεύθερον καὶ ἀνεμπόδιστον καὶ φωτεινὸν ὄμμα τοῦ πνεύματος ἴσχομεν, ᾧ δὴ μόνῳ τὸ θεῖον ἐποπτεύομεν, οὐρανόθεν ἐπεισρέοντος ἡμῖν τοῦ ἁγίου πνεύματος· κρᾶμα τοῦτο αὐγῆς ἀΐδιον τὸ ἀΐδιον φῶς ἰδεῖν δυναμένοις· ἐπεὶ τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον, φίλον δὲ τὸ ἅγιον τῷ ἐξ οὗ τὸ ἅγιον, ὃ δὴ κυρίως κέκληται φῶς· „ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ“ ***). ἐντεῦθεν τὸν ἄνθρωπον ὑπὸ τῶν παλαιῶν ἡγοῦμαι κεκλῆσθαι φῶτα. ἀλλ' **P. 115** οὐδέπω, φασὶν, ἀπείληφε τὴν τελείαν δωρεὰν, **Pott.**

*) Ioann. 5, 24. **) 1 Thess. 4, 9. ***) Ephes. 5, 8.

σύμφημι κἀγὼ, πλὴν ἐν φωτί ἐστι καὶ τὸ σκότος αὐτὸν οὐ καταλαμβάνει*)· φωτὸς δὲ ἀνὰ μέσον καὶ τοῦ σκότους οὐδὲ ἕν· ἐν δὲ τῇ ἀναστάσει τῶν πιστευόντων ἀπόκειται τὸ τέλος· τὸ δὲ οὐκ ἄλλου τινός ἐστι μεταλαβεῖν, ἀλλ' ἢ τῆς προωμολογημένης ἐπαγγελίας τυχεῖν. μὴ γὰρ κατὰ τὸν αὐτὸν χρόνον ἅμα ἄμφω συνίστασθαί φαμεν, τήν τε πρὸς τὸ πέρας ἄφιξιν καὶ τῆς ἀφίξεως τὴν πρόληψιν· οὐ γάρ ἐστι ταὐτὸν αἰὼν καὶ χρόνος, οὐδὲ μὴν ὁρμὴ καὶ τέλος, οὐκ ἔστι· περὶ ἓν δὲ ἄμφω καὶ περὶ ἄμφω ὁ εἷς καταγίνεται. ἔστι γοῦν, ὡς εἰπεῖν, ὁρμὴ μὲν ἡ πίστις ἐν χρόνῳ γεννωμένη, τέλος δὲ τὸ τυχεῖν τῆς ἐπαγγελίας εἰς αἰῶνας βεβαιούμενον. αὐτὸς δὲ ὁ κύριος σαφέστατα τῆς σωτηρίας τὴν ἰσότητα ἀπεκάλυψεν εἰπών· „τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων ἐπ' αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ"**).

§. 29. Καθόσον μὲν οὖν δυνατὸν ἐν τῷδε τῷ κόσμῳ, ὃν ἐσχάτην ἡμέραν ᾐνίξατο, εἰς τότε τηρούμενον ὅτε παύσηται, τελείους ἡμᾶς γενέσθαι πιστεύομεν. πίστις γὰρ μαθήσεως τελειότης· διὰ τοῦτο φησὶν, „ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον"***). εἰ τοίνυν οἱ πιστεύσαντες ἔχομεν τὴν ζωὴν, τί περαιτέρω τοῦ κεκτῆσθαι ζωὴν αἰώνιον ὑπολείπεται; οὐδὲν δὲ ἐνδεῖ τῇ πίστει τελείᾳ οὔσῃ ἐξ αὑτῆς
P. 42 καὶ πεπληρωμένῃ. εἰ δὲ ἐνδεῖ τι αὐτῇ, οὐκ ἔστιν
Sylb. ὁλοτελὴς, οὐδὲ πίστις ἐστὶ σκάζουσα περί τι, οὐδὲ μετὰ τὴν ἐνθένδε ἀποδημίαν ἀναμένει τοὺς πεπιστευκότας ἀδιακρίτως ἐνταῦθα ἠρραβωνισμένους. ἐκεῖνο δὲ τὸ πιστεῦσαι ἤδη προειληφότες, ἐσόμενον μετὰ τὴν ἀνάστασιν ἀπολαμβάνομεν γενόμενον, ὅπως τ' ἂν ἐκεῖνο πληρωθῇ τὸ λεχθέν· „γενηθήτω κατὰ τὴν πίστιν σου"†). οὗ δὲ ἡ πίστις, ἐνταῦθα ἡ ἐπαγγε-

*) Cf. Ioann. 1, 5. **) Ibid. 6, 40. ***) Ibid. 3, 36. †) Matth. 9, 29.

λία, τελείωσις δὲ ἐπαγγελίας ἡ ἀνάπαυσις. ὥστε P. 116 Pott. ἡ μὲν γνῶσις ἐν τῷ φωτίσματι, τὸ δὲ πέρας τῆς γνώσεως ἡ ἀνάπαυσις, ὃ δὴ ἔσχατον νοεῖται ὀρεκτόν. καθάπερ οὖν τῇ πείρᾳ ἡ ἀπειρία καταλύεται καὶ τῷ πόρῳ ἡ ἀπορία, οὕτως ἀνάγκη τῷ φωτισμῷ ἐξαφανίζεσθαι τὸ σκότος· ἡ ἄγνοια δὲ τὸ σκότος, καθ᾽ ἣν περιπίπτομεν τοῖς ἁμαρτήμασιν, ἀμβλυωποῦντες περὶ τὴν ἀλήθειαν. φωτισμὸς ἄρα ἡ γνῶσίς ἐστιν ὁ ἐξαφανίζων τὴν ἄγνοιαν καὶ τὸ διορατικὸν ἐντιθείς. ἀλλὰ καὶ ἡ τῶν χειρόνων ἀποβολὴ τῶν κρειττόνων ἐστὶν ἀποκάλυψις. ἃ γὰρ ἡ ἄγνοια συνέδησε κακῶς, ταῦτα διὰ τῆς ἐπιγνώσεως ἀναλύεται καλῶς. τὰ δὲ δεσμὰ ταῦτα, ᾗ τάχος, ἀνίεται πίστει μὲν ἀνθρωπίνῃ, θεϊκῇ δὲ τῇ χάριτι, ἀφιεμένων τῶν πλημμελημάτων ἑνὶ Παιωνίῳ φαρμάκῳ λογικῷ βαπτίσματι.

§. 30. Πάντα μὲν οὖν ἀπολουόμεθα τὰ ἁμαρτήματα, οὐκέτι δέ ἐσμεν παρὰ πόδας κακοί. μία χάρις αὕτη τοῦ φωτίσματος τὸ μὴ τὸν αὐτὸν εἶναι τῷ πρὶν ἢ λούσασθαι τὸν τρόπον. ὅτι δὲ ἡ γνῶσις συνανατέλλει τῷ φωτίσματι περιαστράπτουσα τὸν νοῦν καὶ εὐθέως ἀκούομεν μαθηταὶ οἱ ἀμαθεῖς· πότερόν ποτε τῆς μαθήσεως ἐκείνης προσγενομένης; οὐ γὰρ ἂν ἔχοις εἰπεῖν τὸν χρόνον· ἡ μὲν γὰρ κατήχησις εἰς πίστιν περιάγει, πίστις δὲ ἅμα βαπτίσματι ἁγίῳ παιδεύεται πνεύματι· ἐπεὶ ὅτι γε μία καθολικὴ τῆς ἀνθρωπότητος σωτηρία ἡ πίστις, ἰσότης δὲ καὶ κοινωνία τοῦ δικαίου καὶ φιλανθρώπου θεοῦ, ἡ αὐτὴ πρὸς πάντας, ὁ ἀπόστολος σαφέστατα ἐξηγήσατο, ὧδέ πως εἰπών· „πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκλειόμενοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι, ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν" *).

---

*) Galat. 3, 23—25.

§. 31. Οὐκ ἀκούετε ὅτι ὑπ' ἐκεῖνον τὸν νόμον οὐκέτι ἐσμὲν, ὃς ἦν μετὰ φόβου, ὑπὸ δὲ τὸν λόγον τῆς προαιρέσεως τὸν παιδαγωγόν; εἶτα μέν τοι ἐπήγαγε τὴν ἁπάσης ἐκτὸς προσωποληψίας φωνήν· „πάντες γὰρ υἱοί ἐστε διὰ πίστεως θεοῦ ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι Ἰουδαῖος οὔτε Ἕλλην, οὐκ ἔνι δοῦλος οὔτε ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ" *). οὐκ ἄρα οἱ μὲν γνωστικοὶ, οἱ δὲ ψυχικοὶ ἐν αὐτῷ τῷ λόγῳ, ἀλλ' οἱ πάντες ἀποθέμενοι τὰς σαρκικὰς ἐπιθυμίας, ἴσοι καὶ πνευματικοὶ παρὰ τῷ κυρίῳ. καὶ ἀλλαχόθι πάλιν γράφει, „καὶ γὰρ ἑνὶ πνεύματι ἡμεῖς P. 117 Pott. πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες εἴτε δοῦλοι καὶ ἐλεύθεροι· καὶ πάντες ἑνὶ πόματι ἐπίομεν" **).

§. 32. Οὐκ ἄτοπον δὲ καὶ τοῖς αὐτῶν ἐκείνων συγχρήσασθαι ῥήμασιν, οἳ διυλισμὸν μὲν τοῦ πνεύματος τὴν μνήμην τῶν κρειττόνων εἶναί φασιν, διυλισμὸν δὲ νοοῦσι τὸν ἀπὸ τῆς ὑπομνήσεως τῶν ἀμεινόνων τῶν χειρόνων χωρισμόν· ἕπεται δὲ ἐξ ἀνάγκης τῷ ὑπομνησθέντι τῶν βελτιόνων ἡ μετάνοια ἡ ἐπὶ τοῖς ἥττοσιν· αὐτὸ γοῦν τὸ πνεῦμα ὁμολογοῦσι μετανοῆσαν ἀναδραμεῖν· τὸν αὐτὸν οὖν τρόπον καὶ ἡμεῖς ἐπὶ τοῖς ἡμαρτημένοις μετανενοηκότες, ἀποταξάμενοι τοῖς ἐλαττώμασιν αὐτῶν, διυλιζόμενοι βαπτίσματι, πρὸς τὸ ἀΐδιον ἀνατρέχομεν φῶς οἱ παῖδες πρὸς τὸν πατέρα. „ἀγαλλιασάμενος γοῦν ἐν τῷ πνεύματι ὁ Ἰησοῦς, ἐξομολογοῦμαί σοι πάτερ, φησὶν, ὁ θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις" ***)· νηπίους ἡμᾶς ὁ παιδαγωγὸς καὶ διδάσκαλος ἀποκαλῶν τοὺς τῶν ἐν κόσμῳ σοφῶν ἐπι-

*) Gal. 3, 26—29. **) 1 Cor. 12, 13. ***) Luc. 10, 21.

τηδειοτέρους εἰς σωτηρίαν, οἱ σοφοὺς σφᾶς ἡγούμενοι τετύφωνται. καὶ ἐπιβοᾶται ἀγαλλιώμενος καὶ ὑπερευφραινόμενος, οἱονεὶ συντραυλίζων τοῖς νηπίοις· „ναὶ ὁ πατὴρ, ὅτι οὕτως εὐδοκία ἐγένετο ἔμπροσθέν σου"*). διὰ τοῦτο τὰ κεκρυμμένα ἀπὸ σοφῶν καὶ συνετῶν τοῦ νῦν αἰῶνος ἀπεκαλύφθη τοῖς νηπίοις. ἄρα εἰκότως οἱ παῖδες τοῦ θεοῦ οἱ τὸν μὲν παλαιὸν ἀποθέμενοι ἄνθρωπον καὶ τῆς κακίας ἐκδυσάμενοι τὸν χιτῶνα ἐπενδυσάμενοι δὲ τὴν ἀφθαρσίαν τοῦ Χριστοῦ **), ἵνα καινὸς γενόμενος λαὸς ἅγιος ἀναγεννηθέντες ἀμίαντον φυλάξωμεν τὸν ἄνθρωπον. καὶ νήπιος μὲν ὡς βρέφος τοῦ θεοῦ κεκαθαρμένος πορνείας καὶ πονηρίας.

§. 33. Σαφέστατα γοῦν ὁ μακάριος Παῦλος ἀπήλλαξεν ἡμᾶς τῆς ζητήσεως ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους ἐπιστολῇ ὧδέ πως γράφων· „ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. ταῖς δε φρεσὶν τέλειοι γίνεσθε" ***). τὸ δὲ „ὅτε ἤμην νήπιος, ἐφρόνουν ὡς νήπιος, ἐλάλουν ὡς νήπιος" †)· τὴν κατὰ νόμον ἀγωγὴν αἰνίττεται, καθ' ἣν οὐχ ὡς ἁπλοῦς ἤδη, ἀλλ' ὡς ἔτι ἄφρων νήπια μὲν φρονῶν ἐδίωκε, νήπια δὲ λαλῶν ἐβλασφήμει τὸν λόγον. P. 118 Pott. δύο γὰρ σημαίνει τὸ νήπιον. „ἐπειδὴ γέγονα, φησὶν, ἀνὴρ", πάλιν ὁ Παῦλος λέγει, „κατήργηκα τὰ τοῦ νηπίου" ††). οὐχ ἡλικίας μέγεθος ἀτελὲς, ἀλλ' οὐδὲ μὴν χρόνου μέτρον ὡρισμένον, ἀλλ' οὐδὲ ἀνδρικῶν καὶ ἐντελεστέρων μαθημάτων διδαχὰς ἄλλας P. 43 Sylb. ἀπορρήτους αἰνίττεται, τὴν νηπιότητα ὑπερόριον ἀποστέλλων ὁ καταγγέλλειν αὐτὴν ὁμολογῶν ἀπόστολος· ἀλλὰ νηπίους μὲν τοὺς ἐν νόμῳ λέγει, οἱ τῷ φόβῳ, καθάπερ οἱ παῖδες τοῖς μορμολυκείοις, ἐκταράττονται, ἄνδρας δὲ τοὺς λόγῳ πειθηνίους καὶ αὐτεξουσίους κέκληκεν· οἱ πεπιστεύκαμεν ἑκουσίῳ προ-

*) Luc. 10, 21. **) Cf. Ephes. 4, 22. Iud. 23. 2 Cor. 5, 4. 1 Cor. 15, 53. Ephes. 4, 24. ***) 1 Cor. 14, 20. †) Ibid. 13, 11. ††) Ibidem.

αἱρέσει σωζόμενοι, ἐμφρόνως οὐκ ἀφρόνως δεδιττόμενοι τῷ φόβῳ. αὐτὸς περὶ τούτου μαρτυρήσει ὁ ἀπόστολος τοὺς Ἰουδαίους κατὰ τὴν προτέραν διαθήκην κληρονόμους λέγων, κατ' ἐπαγγελίαν δὲ ἡμᾶς. „λέγω δὲ", φησὶν, „ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου κύριος πάντων ὢν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτως καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι, ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γεννώμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν" *) δι' αὐτοῦ.

§. 34. Ὅρα πῶς ὡμολόγησεν εἶναί νηπίους τοὺς ὑπὸ φόβον καὶ ἁμαρτίας· τοὺς δὲ ὑπὸ τὴν πίστιν υἱοὺς καλῶν, ἀπήνδρωσεν, ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἐν τῷ νόμῳ νηπίων. „οὐκέτι γὰρ", φησὶ, „δοῦλος εἶ, ἀλλ' υἱός, εἰ δὲ υἱός, καὶ κληρονόμος διὰ θεοῦ" **). τί οὖν ἐνδεῖ τῷ υἱῷ μετὰ τὴν κληρονομίαν; χάριεν τοίνυν οὕτως ἐξηγήσασθαι τὸ, „ὅτε ἤμην νήπιος", τουτέστιν, ὅτε ἤμην Ἰουδαῖος — Ἑβραῖος γὰρ ἄνωθεν ἦν — ὡς νήπιος ἐφρόνουν, ἐπειδὴ εἰπόμην τῷ νόμῳ· „ἐπεὶ δὲ γέγονα ἀνὴρ, οὐκέτι τὰ τοῦ νηπίου", τουτέστι τὰ τοῦ νόμου, ἀλλὰ τὰ τοῦ ἀνδρὸς „φρονῶ", τουτέστιν τὰ τοῦ Χριστοῦ, ὃν μόνον ἄνδρα ἡ γραφὴ, καθὼς προειρήκαμεν, καλεῖ· „κατήργηκα τὰ τοῦ νηπίου" ***). ἡ δὲ ἐν Χριστῷ νηπιότης τελείωσίς ἐστιν, ὡς πρὸς τὸν νόμον ἐνταῦθα γενομένοις τῇ νηπιότητι ἡμῶν συνηγορητέον. ἔτι καὶ τὸ πρὸς τοῦ ἀποστόλου εἰρημένον ἐπεξηγητέον· „γάλα ὑμᾶς ἐπότισα", ὡς νηπίους ἐν Χριστῷ, „οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύ-

*) Galat. 4, 1 — 5. **) Ibid. v. 7. ***) 1 Cor. 13, 11.

νασθε" *). οὔ μοι γὰρ δοκεῖ Ἰουδαϊκῶς ἐκδέχεσθαι δεῖν τὸ ῥητόν. ἀντιπαραθήσω γὰρ κἀκείνην τὴν γραφήν· „εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τὴν ἀγαθὴν, P. 119 Pott. τὴν ῥέουσαν γάλα καὶ μέλι" **).

§. 35. Ἀνακύπτει τοίνυν ἀπορία μεγίστη κατὰ τὴν τῶν γραφῶν τῶνδε συμβολὴν νοοῦσιν. εἰ γὰρ ἀρχὴ τῆς εἰς Χριστὸν πίστεως ἡ διὰ τοῦ γάλακτος νηπιότης ἐστὶν, ἐξευτελίζεται δὲ αὕτη ὡς παιδαριώδης καὶ ἀτελής· πῶς ἡ τοῦ τελείου καὶ γνωστικοῦ μετὰ τὴν βρῶσιν ἀνάπαυσις αὖθις νηπίῳ τετίμηται γάλακτι; μήτι οὖν τὸ ὡς παραβολῆς ὂν δηλωτικὸν τοιοῦτόν τι ἐμφαίνει, καὶ δὴ ἀναγνωστέον ὧδέ πως τὸ ῥητόν· „γάλα ὑμᾶς ἐπότισα ἐν Χριστῷ"· καὶ διαστήσαντες ὀλίγον ἐπαγάγωμεν, „ὡς νηπίους", ἵνα κατὰ τὴν διαστολὴν τῆς ἀναγνώσεως τοιαύτην ἀποδεξώμεθα διάνοιαν· κατήχησα ὑμᾶς ἐν Χριστῷ ἁπλῇ καὶ ἀληθεῖ καὶ αὐτοφυεῖ τροφῇ τῇ πνευματικῇ· τοιαύτη γὰρ ἡ τοῦ γάλακτος ζωοτρόφος οὐσία, φιλοστόργοις πηγάζουσα μαστοῖς, ὡς νοεῖσθαι τὸ πᾶν τῇδε· ὥσπερ τῷ γάλακτι αἱ τιτθαὶ τοὺς παῖδας τοὺς νεογνοὺς ἐκτρέφουσιν, κἀγὼ δὲ οὕτω τοῦ Χριστοῦ τῷ γάλακτι, λόγῳ, πνευματικὴν ὑμῖν ἐνστάζων τροφήν.

§. 36. Οὕτω γοῦν τελεία τροφὴ τὸ γάλα ἐστὶ τὸ τέλειον καὶ εἰς τέλος ἄγει τὸ ἀκατάπαυστον. διὸ κἂν τῇ ἀναπαύσει τὸ αὐτὸ τοῦτο ἐπήγγελται γάλα καὶ μέλι. εἰκότως γάλα αὖθις ὑπισχνεῖται τοῖς δικαίοις ὁ κύριος, ἵνα δὴ σαφῶς ὁ λόγος ἄμφω δειχθῇ, ἄλφα καὶ ὠμέγα, ἀρχὴ καὶ τέλος ***), ὁ λόγος ἀλληγορούμενος γάλα. τοιοῦτόν τι καὶ Ὅμηρος ἄκων μαντεύεται τοὺς δικαίους τῶν ἀνθρώπων γαλακτοφάγους †) καλῶν. ἔξεστι δὲ καὶ οὕτως ἐκλαμβάνειν τὴν γραφήν· „κἀγὼ δὲ, ἀδελφοὶ, οὐκ ἐδυνήθην λαλῆσαι

---

*) 1 Cor. 3, 2. **) Exod. 3, 8. 17. ***) Apocalyps. 1, 8. 21, 6. 22, 13. †) Hom. Iliad. ν. 6.

ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ"*), ὡς δύνασθαι σαρκικοὺς νοεῖσθαι τοὺς νεωστὶ κατηχουμένους καὶ νηπίους ἔτι ἐν Χριστῷ. πνευματικοὺς μὲν γὰρ τοὺς πεπιστευκότας ἤδη τῷ ἁγίῳ πνεύματι προσεῖπεν, σαρκικοὺς δὲ τοὺς νεοκατηχήτους καὶ μηδέπω κεκαθαρμένους, οὓς „ἔτι σαρκικοὺς"**) εἰκότως λέγει ἐπίσης τοῖς ἐθνικοῖς τὰ σαρκὸς ἔτι φρονοῦντας. „ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε***); διὸ καὶ „γάλα ὑμᾶς ἐπότισα"†), φησίν, τὴν γνῶσιν ὑμῖν ἐνέχεα λέγων τὴν ἐκ κατηχήσεως ἀνατρέφουσαν εἰς ζωὴν ἀΐδιον. ἀλλὰ καὶ τὸ „ἐπότισα" ῥῆμα τελείας μεταλήψεως σύμβολόν ἐστι. πίνειν μὲν γὰρ οἱ τέλειοι λέγονται, θηλάζειν δὲ οἱ νήπιοι. „τὸ αἷμά μου γὰρ", φησὶν ὁ κύριος, „ἀληθής P. 120 Pott. ἐστι πόσις"††). μή τι οὖν γάλα εἰπὼν ἐπότισα τὴν ἐν λόγῳ γάλακτι τελείαν εὐφροσύνην, τὴν γνῶσιν τῆς ἀληθείας, ᾐνίξατο; τὸ δ' ἐπαγόμενον ἑξῆς, „οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε", τὴν ἐν τῷ μέλλοντι αἰῶνι ἐναργῆ ἀποκάλυψιν βρώματος δίκην πρόσωπον πρὸς πρόσωπον αἰνίττεσθαι δύναται, „βλέπομεν γὰρ ὡς δι' ἐσόπτρου νῦν", ὁ αὐτὸς ἀπόστολος λέγει, „τότε δὲ πρόσωπον πρὸς πρόσωπον"†††). διὸ κἀκεῖνο ἐπήγαγεν· „ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε, ἔτι γὰρ σαρκικοί ἐστε", τὰ τῆς σαρκὸς φρονοῦντες, ἐπιθυμοῦντες, ἐρῶντες, ζηλοῦντες, μηνιῶντες, φθονοῦντες· „οὐ γὰρ ἔτι ἐν σαρκί ἐσμεν"*), ὡς ὑπειλήφασί τινες, σὺν αὐτῇ γὰρ τὸ πρόσωπον ἰσάγγελον ἔχοντες πρόσωπον πρὸς πρόσωπον τὴν ἐπαγγελίαν ὀψόμεθα.

§. 37. *Πῶς* δὲ, εἰ ἐκείνη ὄντως ἐστὶν ἡ ἐπαγγελία μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, „ἣν ὀφθαλμὸς οὐκ οἶδεν οὐδὲ ἐπὶ νοῦν ἀνθρώπου οὐκ ἀνέβη"**),

---

*) 1 Cor. 3, 1. **) Ibidem. ***) Ibidem. v. 3. †) Ibid. v. 2. ††) Ioann. 6, 55. †††) 1 Cor. 13, 12.
*) Rom. 8, 9. **) 1 Cor. 2, 9.

εἰδέναι φασὶν οὐ πνεύματι ἐννενοηκότες, ἀλλὰ ἐκ μαθήσεως παρειληφότες, P. 44 Sylb. ὃ οὓς οὐκ ἤκουσέ ποτε ἢ μόνον ἐκεῖνο „τὸ ἐν τρίτῳ ἁρπασθὲν οὐρανῷ"*) ἀλλὰ κἀκεῖνο ἐχεμυθεῖν ἐκελεύετο τότε; εἰ δὲ ἀνθρωπίνη σοφία ἐστὶν, ὅπερ ὑπολείπεται νοεῖν, ἡ μεγαλαυχία τῆς γνώσεως, ἄκουε τὸν νόμον τῆς γραφῆς· „μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὁ δὲ καυχώμενος ἐν κυρίῳ καυχάσθω" **). ἡμεῖς δὲ θεοδίδακτοι καὶ τῷ Χριστοῦ ὀνόματι καυχώμενοι. πῶς οὖν οὐ ταύτῃ νοεῖν τὸν ἀπόστολον ὑποληπτέον τὸ γάλα τῶν νηπίων; εἴγε ποιμένες ἐσμὲν οἱ τῶν ἐκκλησιῶν προηγούμενοι κατ' εἰκόνα τοῦ ἀγαθοῦ ποιμένος, τὰ δὲ πρόβατα ἡμεῖς· μὴ οὐχὶ καὶ γάλα τῆς ποίμνης τὸν κύριον λέγοντα, τὴν ἀκολουθίαν φυλάττειν ἀλληγοροῦντα; καὶ δὴ τὸ ῥητὸν αὖθις τῇ διανοίᾳ ἐφαρμοστέον· „γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε". οὐκ ἄλλο τι παρὰ τὸ γάλα τὸ βρῶμα ὑπολαμβάνοντος, ταὐτὸν δὲ τῇ οὐσίᾳ· ὡσαύτως γὰρ καὶ ὁ λόγος ὁ αὐτὸς ἢ ἀνειμένος καὶ ἤπιος ὡς γάλα, ἢ πεπηγὼς καὶ συνεστραμμένος ὡς βρῶμα.

§. 38. Οὐ μὴν ἀλλὰ καὶ τῇδε ἐκλαμβάνουσιν ἡμῖν γάλα νοεῖσθαι τὸ κήρυγμα δύναται τὸ ἐπιπλεῖστον κεχυμένον, βρῶμα δὲ ἡ πίστις εἰς θεμέλιον ἐκ κατηχήσεως συνεστραμμένη. ἣ δὴ στερεμνιωτέρα τῆς ἀκοῆς ὑπάρχουσα, βρώματι ἀπεικάζεται, ἐν αὐτῇ σωματοποιουμένη τῇ ψυχῇ τὴν τοιάνδε τροφήν. P. 121 Pott. ἀλλαχόθι δὲ καὶ ὁ κύριος ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ ἑτέρως ἐξήνεγκεν διὰ συμβόλων· „φάγετέ μου τὰς σάρκας", εἰπὼν, „καὶ πίετέ μου τὸ αἷμα" ***)· ἐναργὲς τῆς πίστεως καὶ τῆς ἐπαγγελίας τὸ πότιμον ἀλληγορῶν, δι' ὧν ἡ ἐκκλησία, καθάπερ ἄνθρωπος, ἐκ πολλῶν συνεστηκυῖα μελῶν ἄρδεταί τε

---

*) 2 Cor. 12, 2—4. **) Ierem. 9, 23. 1 Cor. 1, 31. 2 Cor. 10, 17. ***) Ioann. 6, 53. 54.

καὶ αὔξεται, συγκροτεῖταί τε καὶ συμπήγνυται ἐξ ἀμφοῖν, σώματος μὲν τῆς πίστεως, ψυχῆς δὲ τῆς ἐλπίδος. ὥσπερ καὶ ὁ κύριος ἐκ σαρκὸς καὶ αἵματος. τῷ γὰρ ὄντι αἷμα τῆς πίστεως ἡ ἐλπὶς, ἐφ' ἧς συνέχεται, καθάπερ ὑπὸ ψυχῆς, ἡ πίστις. διαπνευσάσης δὲ τῆς ἐλπίδος δίκην ἐκρυέντος αἵματος τὸ ζωτικὸν τῆς πίστεως ὑπεκλύεται.

§. 39. Εἰ δὲ ἄρα προσφιλονεικεῖν ἐθέλοιέν τινες τὰ πρῶτα μαθήματα τὸ γάλα μηνύειν λέγοντες, ὡσανεὶ πρώτας τροφὰς, τὸ δὲ βρῶμα τὰς πνευματικὰς ἐπιγνώσεις, σφᾶς αὐτοὺς ἀνάγοντες εἰς γνῶσιν, ἴστωσαν ὡς ἄρα στερεὰν τροφὴν τὸ βρῶμα λέγοντες καὶ σάρκα καὶ αἷμα τοῦ Ἰησοῦ, ὑποφέρονται τῇ σφῶν αὐτῶν μεγαλαύχῳ σοφίᾳ ἐπὶ τὴν ἁπλότητα τὴν ἀληθῆ· πρωτόγονον γὰρ τὸ αἷμα εὑρίσκεται ἐν ἀνθρώπῳ, ὃ δή τινες οὐσίαν εἰπεῖν ψυχῆς τε τολμήκασι. τοῦτο δὲ τὸ αἷμα φυσικῇ τρεπόμενον πέψει, κυησάσης τῆς μητρὸς, φιλοστοργίᾳ συμπαθεῖ, ἐξανθεῖ καὶ γηράσκει πρὸς τὸ ἄφοβον τοῦ παιδίου· καὶ ἔστι μὲν τῆς σαρκὸς ὑγρότερον τὸ αἷμα, οἷον ὑγρά τις οὖσα σὰρξ, τοῦ δὲ αἵματος νοστιμώτερον τὸ γάλα καὶ λεπτομερέστερον. εἴτε γὰρ τὸ ἐπιχορηγούμενον αἷμα τῷ ἐμβρύῳ καὶ διὰ μητρῴου πρότερόν ἐστι πεμπόμενον ὀμφαλοῦ, εἴτε αὖ τὸ καταμήνιον αὐτὸ, ἀποκλεισθὲν τῆς οἰκείας φορᾶς, κατὰ φυσικὴν ἀνάχυσιν χωρεῖν κελεύεται πρὸς τοῦ παντρόφου καὶ γενεσιουργοῦ θεοῦ ἐπὶ τοὺς φλεγμαίνοντας ἤδη μαστοὺς καὶ ὑπὸ πνεύματος ἀλλοιούμενον θερμοῦ, ποθεινὴ σκευάζεται τῷ νηπίῳ τροφὴ, αἷμα τὸ μεταβάλλον ἐστί. μάλιστα γὰρ πάντων μελῶν, μαστοὶ συμπαθεῖς μήτρᾳ. ἐπὰν οὖν κατὰ τοὺς τόκους ἀποκοπὴν λάβῃ τὸ ἀγγεῖον, δι' οὗ πρὸς τὸ ἔμβρυον τὸ αἷμα ἐφέρετο, μύσις μὲν γίνεται τοῦ πόρου, τὴν δὲ ὁρμὴν ἐπὶ P. 122
τοὺς μαστοὺς τὸ αἷμα λαμβάνει, καὶ πολλῆς τῆς Pott.
ἐπιφορᾶς γενομένης διατείνονται καὶ μεταβάλλει τὸ αἷμα εἰς γάλα, ἀναλόγως τῇ ἐπὶ τῆς ἑλκώσεως εἰς πύον

τοῦ αἵματος μεταβολῇ, εἴτε αὖ ἀπὸ τῶν ἐν μαστοῖς παρακειμένων φλεβῶν ἀναστομουμένων κατὰ τὰς διατάσεις τῆς κυήσεως, τὸ αἷμα μεταχεῖται εἰς τὰς φυσικὰς τῶν μαστῶν σήραγγας· τούτῳ δὲ ἀνακιρνάμενον τὸ ἀπὸ τῶν γειτνιουσῶν καταπεμπόμενον ἀρτηριῶν πνεῦμα, μενούσης ἔτι τῆς ὑποκειμένης ἀκεραίου τοῦ αἵματος οὐσίας, ἐκκυμαινόμενον λευκαίνεται· καὶ τῇ τοιαύτῃ ἀνακοπῇ κατ᾽ ἐξαφρισμὸν μεταβάλλεται, παραπλήσιόν τι πεπονθὸς τῇ θαλάττῃ, ἣν δὴ κατὰ τὰς ἐμβολὰς τῶν πνευμάτων οἱ ποιηταί φασιν ἀποπτύειν ἁλὸς ἄχνην· πλὴν ἀλλὰ αἷμα ἔχει τὴν οὐσίαν.

§. 40. Τούτῳ τῷ τρόπῳ καὶ οἱ ποταμοὶ ῥόθῳ φερόμενοι τῇ ἐμπεριλήψει τοῦ περικεχυμένου ἀέρος ξαινόμενοι, ἀφρὸν μορμύρουσι, καὶ τὸ ἐνστόμιον ἡμῶν ὑγρὸν τῷ πνεύματι ἐκλευκαίνεται. τίς οὖν ἡ ἀποκλήρωσις μὴ οὐχὶ καὶ τὸ αἷμα ἐπὶ τὸ φωτεινότατον καὶ λευκότατον ὑπὸ τοῦ πνεύματος τρέπεσθαι ὁμολογεῖν; πάσχει δὲ τὴν μεταβολὴν κατὰ ποιότητα, οὐ κατ᾽ οὐσίαν. ἀμέλει γοῦν οὐ τροφιμώτερον ἄλλο τι, οὐδὲ μὴν γλυκύτερον, ἀλλ᾽ οὐδὲ λευκότερον εὕροις ἂν γάλακτος. πάντῃ δὲ ἔοικε τοῦτο τῇ πνευματικῇ τροφῇ, γλυκεῖα μὲν διὰ τὴν χάριν ὑπάρχουσα, τρόφιμος δὲ ὡς ζωή, λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ, καὶ τὸ αἷμα τοῦ λόγου πεφανέρωται ὡς γάλα.

§. 41. Ταύτῃ τοίνυν περὶ τὴν* ἀποκύησιν οἰκονομούμενον τῷ βρέφει τὸ γάλα χορηγεῖται, καὶ οἱ μαστοὶ οἱ τέως τὸν ἄνδρα περιβλεπόμενοι ὀρθοί, ἤδη κατανεύουσι πρὸς τὸ παιδίον, τὴν ὑπὸ τῆς φύσεως πεπονημένην εὔληπτον παρέχειν διδασκόμενοι τροφὴν εἰς ἀνατροφὴν σωτηρίας· οὐ γὰρ ὡς αἱ πηγαὶ πλήρεις εἰσὶν οἱ μαστοὶ ἐπισρέοντος ἑτοίμου γά-
P. 45 Sylb. λακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν ἐν ἑαυτοῖς ἐργάζονται γάλα καὶ διαπνέουσιν, ἡ τροφὴ δὲ ἡ κατάλληλος αὕτη καὶ πρόσφορος νεοπαγεῖ καὶ νεοφυεῖ παιδίῳ πρὸς τοῦ θεοῦ τοῦ τροφέως καὶ πατρὸς τῶν γεννωμένων καὶ ἀναγεννωμένων πονουμένη·

οἷον τὸ μάννα οὐρανόθεν ἀπερρέετο τοῖς παλαιοῖς P. 123 Pott. Ἑβραίοις, ἡ τῶν ἀγγέλων ἐπουράνιος τροφή. ἀμέλει καὶ νῦν αἱ τιτθαὶ τὸ πρωτόχυτον τοῦ γάλακτος πόμα ὁμωνύμως ἐκείνῃ τῇ τροφῇ μάννα κεκλήκασιν· ἀλλ᾽ αἱ μὲν γυναῖκες αἱ κύουσαι μητέρες γενόμεναι πηγάζουσι γάλα, ὁ δὲ κύριος ὁ Χριστὸς ὁ τῆς παρθένου καρπὸς οὐκ ἐμακάρισε τοὺς γυναικείους μαστοὺς οὐδὲ ἔκρινεν αὐτοὺς τροφεῖς, ἀλλὰ τοῦ φιλοστόργου καὶ φιλανθρώπου πατρὸς ἐπομβρήσαντος τὸν λόγον αὐτὸς ἤδη τροφὴ γέγονε πνευματικὴ τοῖς σώφροσιν.

§. 42. Ὢ θαύματος μυστικοῦ· εἷς μὲν ὁ τῶν ὅλων πατὴρ, εἷς δὲ καὶ ὁ τῶν ὅλων λόγος καὶ τὸ πνεῦμα τὸ ἅγιον ἓν καὶ τὸ αὐτὸ πανταχοῦ, μία δὲ μόνη γίνεται μήτηρ παρθένος· ἐκκλησίαν ἐμοὶ φίλον αὐτὴν καλεῖν· γάλα οὐκ ἔσχεν ἡ μήτηρ αὕτη μόνη, ὅτι μόνη μὴ γέγονεν γυνὴ, παρθένος δὲ ἅμα καὶ μήτηρ ἐστὶν, ἀκήρατος μὲν ὡς παρθένος, ἀγαπητικὴ δὲ ὡς μήτηρ. καὶ τὰ αὐτῆς παιδία προσκαλουμένη, ἁγίῳ τιθηνεῖται γάλακτι, τῷ βρεφώδει λόγῳ. διὸ οὐκ ἔσχε γάλα, ὅτι γάλα ἦν τὸ παιδίον τοῦτο καλὸν καὶ οἰκεῖον τὸ σῶμα τοῦ Χριστοῦ τὴν νεολαίαν ὑποτροφοῦσαν τῷ λόγῳ, ἣν αὐτὸς ἐκύησεν ὁ κύριος ὠδῖνι σαρκικῇ, ἣν αὐτὸς ἐσπαργάνωσεν ὁ κύριος αἵματι τιμίῳ. ὢ τῶν ἁγίων λοχευμάτων, ὢ τῶν ἁγίων σπαργάνων· ὁ λόγος τὰ πάντα τῷ νηπίῳ καὶ πατὴρ καὶ μήτηρ καὶ παιδαγωγὸς καὶ τροφεύς. „φάγετέ μου" φησὶ, „τὴν σάρκα καὶ πίετέ μου τὸ αἷμα" *). ταύτας ἡμῖν οἰκείας τροφὰς ὁ κύριος χορηγεῖ καὶ σάρκα ὀρέγει καὶ αἷμα ἐκχεῖ, καὶ οὐδὲν εἰς αὔξησιν τοῖς παιδίοις ἐνδεῖ.

§. 43. Ὢ τοῦ παραδόξου μυστηρίου; ἀποδύσασθαι ἡμῖν τὴν παλαιὰν καὶ σαρκικὴν ἐγκελεύεται φθορὰν, ὥσπερ καὶ τὴν παλαιὰν τροφὴν, καινῆς δὲ

---

*) Ioann. 6, 53 sqq.

ἄλλης τῆς Χριστοῦ διαίτης μεταλαμβάνοντας, ἐκεῖνον, εἰ δυνατὸν, ἀναλαμβάνοντας ἐν ἑαυτοῖς ἀποτίθεσθαι καὶ τὸν σωτῆρα ἐνστερνίσασθαι, ἵνα καταρτίσωμεν τῆς σαρκὸς ἡμῶν τὰ πάθη. ἀλλ' οὐ ταύτῃ νοεῖν ἐθέλεις, κοινότερον δὲ ἴσως. ἄκουε καὶ ταύτῃ· σάρκα ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον ἀλληγορεῖ, καὶ γὰρ ὑπ' αὐτοῦ δεδημιούργηται ἡ σάρξ· αἷμα ἡμῖν P. 124 Pott. τὸν λόγον αἰνίττεται, καὶ γὰρ ὡς αἷμα πλούσιον ὁ λόγος ἐπικέχυται τῷ βίῳ· ἡ κρᾶσις δὲ ἡ ἀμφοῖν ὁ κύριος, ἡ τροφὴ τῶν νηπίων· ὁ κύριος πνεῦμα καὶ λόγος. ἡ τροφὴ, τουτέστι κύριος Ἰησοῦς, τουτέστιν ὁ λόγος τοῦ θεοῦ, πνεῦμα σαρκούμενον· ἁγιαζομένη σὰρξ οὐράνιος. ἡ τροφὴ τὸ γάλα τοῦ πατρὸς, ᾧ μόνῳ τιτθευόμεθα οἱ νήπιοι. αὐτὸς γοῦν ὁ ἠγαπημένος καὶ τροφεὺς ἡμῶν λόγος, τὸ αὑτοῦ ὑπὲρ ἡμῶν ἐξέχεεν αἷμα, σώζων τὴν ἀνθρωπότητα, δι' οὗ πεπιστευκότες εἰς τὸν θεὸν ἐπὶ τὸν λαθικηδέα μαζὸν*) τοῦ πατρὸς, τὸν λόγον, καταφεύγομεν. ὁ δὲ, ὡς ἔοικεν, μόνος ἡμῖν τοῖς νηπίοις τὸ γάλα τῆς ἀγάπης χορηγεῖ, καὶ οὗτοι ὡς ἀληθῶς μακάριοι μόνοι, ὅσοι τοῦτον θηλάζουσι τὸν μαστόν.

§. 44. Διὰ τοῦτό φησι καὶ ὁ Πέτρος· „ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ τὴν ὑπόκρισιν καὶ φθόνον καὶ καταλαλιὰν, ὡς ἀρτιγένητα βρέφη, τὸ λογικὸν γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν, εἰ ἐγεύσασθε ὅτι Χριστὸς ὁ κύριος" **). εἰ δὲ καὶ συνενδῷη τις αὐτοῖς ἄλλο τι εἶναι τὸ βρῶμα παρὰ τὸ γάλα, εἶτα πῶς οὐ περιπαρήσονται σφίσιν αὐτοῖς, οὐ κατανενοηκότες τὴν φύσιν; ἡ γάρτοι τροφὴ χειμῶνος μὲν πυκνοῦντος τοῦ περιέχοντος καὶ πάροδον οὐ διδόντος ἐντὸς κατακλειομένῳ τῷ θερμῷ, ἑψομένη καὶ πεπτομένη, εἰς τὰς φλέβας ἐξαιματουμένη ἐκχωρεῖ· αἱ δὲ διαπνοῆς οὐ τυγχάνουσαι, πεπληρωμέναι μάλιστα συντείνονται καὶ

---

*) Cf. Hom, Iliad. χ. 83 sq. **) 1 Petr. 2, 1 — 3.

σφύζουσι· διὸ καὶ αἱ τιτθαὶ περιπληθεῖς τότε μάλιστα γίνονται τῷ γάλακτι. ἀποδέδεικται δὲ ἡμῖν μικρῷ πρόσθεν τὸ αἷμα εἰς γάλα ταῖς κυούσαις κατὰ μεταβολὴν, οὐ κατ᾽ οὐσίαν χωρεῖν· ὥσπερ ἀμέλει καὶ αἱ τρίχες αἱ ξανθαὶ τοῖς γηρῶσιν εἰς πολιὰς μεταβάλλουσιν. θέρους δὲ ἔμπαλιν ἀραιότερον ὂν τὸ σῶμα τὴν τροφὴν εὐδιαφορητοτέραν παρέχει, καὶ ἥκιστα πλεονάζει τὸ γάλα, ἐπεὶ μηδὲ τὸ αἷμα· οὐδὲ γὰρ πᾶσα κατέχεται ἡ τροφή.

§. 45. Εἰ τοίνυν ἡ μὲν κατεργασία τῆς τροφῆς ἐξαιματοῦται, τὸ δὲ αἷμα ἐκγαλακτοῦται, παρασκευὴ γίνεται τὸ αἷμά τοῦ γάλακτος, ὥσπερ αἷμα ἀνθρώπου καὶ γίγαρτον ἀμπέλου. τῷ γοῦν γάλακτι τῇ κυριακῇ τροφῇ, εὐθὺς μὲν ἀποκυηθέντες τιθηνούμεθα, P. 125 Pott. εὐθὺς δὲ ἀναγεννηθέντες τετιμήμεθα τῆς ἀναπαύσεως τὴν ἐλπίδα, τὴν ἄνω Ἱερουσαλὴμ, εὐαγγελιζόμενοι, ἐν ᾗ μέλι καὶ γάλα ὀμβρεῖν ἀναγέγραπται, διὰ τῆς ἐνύλου καὶ τὴν ἁγίαν μνηστευόμενοι τροφήν. „τὰ μὲν γὰρ βρώματα καταργεῖται"*), ᾗ φησὶν ὁ ἀπόστολος αὐτὸς, ἡ δὲ διὰ γάλακτος τροφὴ εἰς οὐρανοὺς καθηγεῖται, πολίτας οὐρανῶν καὶ συγχορευτὰς ἀγγέλων ἀναθρεψαμένη. ἐπειδὴ δέ ἐστιν ὁ λόγος πηγὴ ζωῆς βρύουσα καὶ ποταμὸς εἴρηται ἐλαίου, εἰκότως ἀλληγορῶν ὁ Παῦλος καὶ γάλα αὐτὸν ὀνομάζων, „ἐπότισα"**) ἐπιφέρει· πίνεται γὰρ ὁ λόγος, ἡ τροφὴ τῆς ἀληθείας. ἀμέλει καὶ τὸ ποτὸν ὑγρὰ καλεῖται τροφή. δυνατὸν δὲ τὸ αὐτὸ καὶ βρῶμα εἶναί πως ἔχον καὶ ποτὸν, πρὸς ἄλλο καὶ ἄλλο νοούμενον, καθάπερ καὶ ὁ τυρὸς γάλακτός ἐστι πῆξις ἢ P. 46 Sylb. γάλα πεπηγός. οὐ γάρ μοι τῆς λεξιθηρίας μέλει τανῦν, πλὴν ὅτι τὰς τροφὰς ἄμφω μία διακονεῖται οὐσία. ἀλλὰ καὶ τοῖς ὑποτιτθίοις παιδίοις ἀρκεῖ μόνον τὸ γάλα καὶ ποτὸν εἶναι καὶ τροφήν. „ἐγὼ", φησὶν ὁ κύριος, „βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ

*) 1 Cor. 6, 13. **) Ibid. 3, 2.

οἴδατε· ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με"*)· ὁρᾶτε ἄλλο βρῶμα, ἀλληγορούμενον παραπλησίως γάλακτι, τὸ θέλημα τοῦ θεοῦ.

§. 46. Ἀλλὰ καὶ τὴν συμπλήρωσιν τοῦ ἰδίου πάθους „ποτήριον"**) κέκληκε καταχρηστικῶς, ὅτε ἐκπιεῖν καὶ ἐκτελέσαι μόνον ἐχρῆν αὐτό. οὕτως Χριστῷ μὲν ἡ τροφὴ τῆς πατρικῆς βουλῆς ἡ τελείωσις ἦν ἡμῖν δὲ αὐτὸς ὁ Χριστὸς ἡ τροφὴ τοῖς νηπίοις, τοῖς ἀμέλγουσι τὸν λόγον τῶν οὐρανῶν· ἐντεῦθεν τὸ ζητῆσαι μαστεῦσαι καλεῖται, ὅτι τοῖς ζητοῦσι νηπίοις τὸν λόγον αἱ πατρικαὶ τῆς φιλανθρωπίας θηλαὶ χορηγοῦσι τὸ γάλα. ἔτι δὲ καὶ ἄρτον αὐτὸν οὐρανῶν ὁμολογεῖ ὁ λόγος. „οὐ γὰρ Μωϋσῆς", φησὶν, „ἔδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν· ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστὶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. καὶ ὁ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς"***). ἐνταῦθα τὸ μυστικὸν τοῦ ἄρτου παρασημειωτέον, ὅτι σάρκα αὐτὸν λέγει καὶ ὡς ἀνισταμένην δῆθεν διὰ πυρὸς, καθάπερ ἐκ φθορᾶς καὶ σπορᾶς ὁ πυρὸς ἀνίσταται, καὶ μέντοι διὰ πυρὸς συνισταμένην εἰς εὐφροσύνην ἐκκλησίας, ὡς ἄρτον πεπτόμενον.

§. 47. Ἀλλὰ γὰρ αὖθις ἡμῖν σαφέστερον τοῦτο ἐν τῷ περὶ ἀναστάσεως δηλωθήσεται. ἐπεὶ δὲ εἶπεν, „καὶ ὁ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου P. 126 Pott. ἐστὶν", σὰρξ δὲ αἵματι ἄρδεται, τὸ δὲ αἷμα οἶνος ἀλληγορεῖται, ἰστέον οὖν ὅτι ὡς ἄρτος εἰς κρᾶμα καταθρυβεὶς τὸν οἶνον ἁρπάζει, τὸ δὲ ὑδατῶδες ἀπολείπει, οὕτω καὶ ἡ σὰρξ τοῦ κυρίου, ὁ ἄρτος τῶν οὐρανῶν, ἀναπίνει τὸ αἷμα, τοὺς οὐρανίους τῶν ἀν-

*) Ioann. 4, 32. 34. **) Matth. 22, 22. Marc. 10, 38. Ioann. 18, 11. ***) Ioann. 6, 32. 33. 51.

θρώπων εἰς ἀφθαρσίαν ἐκτρέφων, ἀπολείπων δὲ μόνας ἐκείνας εἰς φθορὰν, τὰς σαρκικὰς ἐπιθυμίας. οὕτως πολλαχῶς ἀλληγορεῖται ὁ λόγος καὶ βρῶμα καὶ σὰρξ καὶ τροφὴ καὶ ἄρτος καὶ αἷμα καὶ γάλα, ἅπαντα ὁ κύριος εἰς ἀπόλαυσιν ἡμῶν τῶν εἰς αὐτὸν πεπιστευκότων. μὴ δὴ οὖν τις ξενιζέσθω, λεγόντων ἡμῶν ἀλληγορεῖσθαι γάλα τὸ αἷμα τοῦ κυρίου· ἢ γὰρ καὶ οὐχὶ οἶνος ἀλληγορεῖται; „ὁ πλύνων", φησὶν, „ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ"*) ἐν τῷ πνεύματι τῷ αὐτοῦ κοσμήσειν λέγει τὸ σῶμα τοῦ λόγου, ὥσπερ ἀμέλει τῷ αὐτοῦ πνεύματι ἐκθρέψει τοὺς πεινῶντας τὸν λόγον. ὅτι δὲ τὸ αἷμα ὁ λόγος ἐστὶν, μαρτυρεῖ τοῦ Ἄβελ τοῦ δικαίου**) τὸ αἷμα ἐντυγχάνον τῷ θεῷ· οὐ γὰρ τὸ αἷμα ἄν ποτε προήσεται φωνὴν, μὴ οὐχὶ ὁ λόγος νοούμενος τὸ αἷμα· τύπος γὰρ ὁ δίκαιος ὁ παλαιὸς τοῦ νέου δικαίου καὶ τὸ αἷμα τὸ ἐντυγχάνον τὸ παλαιὸν ὑπερεντυγχάνει τοῦ αἵματος τοῦ νέου. φθέγγεται δὲ πρὸς τὸν θεὸν τὸ αἷμα ὁ λόγος, ἐπεὶ λόγον ἐμήνυεν τὸν πεισόμενον.

§. 48. Ἀλλὰ καὶ ἡ σὰρξ αὐτὴ καὶ τὸ ἐν αὐτῇ αἷμα τῷ γάλακτι, οἷον ἀντιπελαργούμενον, ἄρδεταί τε καὶ αὔξεται. καὶ δὴ καὶ ἡ διαμόρφωσις τοῦ συλληφθέντος τῷ τῆς ἐπὶ μῆνα καθάρσεως ὑπολελειμμένῳ καθαρῷ περιπτώματι κιρναμένου τοῦ σπέρματος γίνεται· ἡ γὰρ ἐν τούτῳ δύναμις, θρομβοῦσα τοῦ αἵματος τὴν φύσιν, ὃν τρόπον ἡ πυτία συνίστησι τὸ γάλα καὶ οὐσίαν ἐργάζεται μορφώσεως· εὐθαλεῖ γὰρ ἡ κρᾶσις, σφαλερὰ δὲ ἡ ἀκρότης εἰς ἀτεκνίαν. καὶ γὰρ αὐτῆς ἤδη τῆς γῆς ὑπὸ μὲν ἐπομβρίας κατακλυσθὲν, ἀποσύρεται τὸ σπέρμα, διὰ δὲ αὐχμὸν νοτίδος ἀποξηραίνεται; κολλώδης δὲ ὁ χυμὸς ὢν συνέχει τὸ σπέρμα καὶ φύει. τινὲς δὲ καὶ τὸ σπέρμα τοῦ ζώου ἀφρὸν εἶναι τοῦ αἵματος κατ᾽ οὐσίαν ὑπο-

*) Genes. 49, 11. **) Ibid. 4, 10. cl. Hebr. 12, 24.

τίθενται, ὃ δὴ τῇ ἐμφύτῳ τοῦ ἄρρενος θέρμῃ παρὰ τὰς συμπλοκὰς ἐκταραχθὲν, ἐκριπιζόμενον ἐξαφροῦται κἀν ταῖς σπερματίσι παρατίθεται φλεψίν· ἐντεῦθεν γὰρ ὁ Ἀπολλωνιάτης Διογένης τὰ ἀφροδί- P. 127 Pott. σια κεκλῆσθαι βούλεται.

§. 49. Συμφανὲς τοίνυν ἐκ τούτων ἁπάντων αἷμα εἶναι τοῦ ἀνθρωπίνου σώματος τὴν οὐσίαν. καὶ δὴ καὶ τὸ κατὰ γαστρὸς, τὸ μὲν πρῶτον ὑγροῦ ἐστὶ σύστασις γαλακτοειδὴς, ἔπειτα ἐξαιματουμένη σαρκοῦται ἡ σύστασις αὕτη, πηγνυμένη δὲ ἐν τῇ ὑστέρᾳ ὑπὸ τοῦ φυσικοῦ καὶ θερμοῦ πνεύματος, ὑφ᾽ οὗ διαπλάττεται τὸ ἔμβρυον ζωογονεῖται. ἀλλὰ καὶ μετὰ τὴν κύησιν αὖθις ἐκτρέφεται τὸ παιδίον αἵματι τῷ αὐτῷ· αἵματος γὰρ φύσις τοῦ γάλακτος ἡ ῥύσις, καὶ πηγὴ τροφῆς τὸ γάλα, ᾧ δὴ καὶ γυνὴ θήλη τεκοῦσα ἀληθῶς [καὶ] μήτηρ, δι᾽ οὗ καὶ φίλτρον εὐνοίας προσλαμβάνει· διὰ τοῦτο ἄρα μυστικῶς τὸ ἐν τῷ ἀποστόλῳ ἅγιον πνεῦμα τῇ τοῦ κυρίου ἀποχρώμενον φωνῇ, „γάλα ὑμᾶς ἐπότισα" *), λέγει. εἰ γὰρ ἀνεγεννήθημεν εἰς Χριστὸν, ὁ ἀναγεννήσας ἡμᾶς ἐκτρέφει τῷ ἰδίῳ γάλακτι, τῷ λόγῳ, πᾶν γὰρ τὸ γεννῆσαν ἔοικεν εὐθὺς παρέχειν τῷ γεννωμένῳ τροφήν· καθάπερ δὲ ἡ ἀναγέννησις ἀναλόγως, οὕτω καὶ ἡ τροφὴ γέγονε τῷ ἀνθρώπῳ πνευματική. πάντῃ τοίνυν ἡμεῖς τὰ πάντα Χριστῷ προσῳκειώμεθα καὶ εἰς συγγένειαν διὰ τὸ αἷμα αὐτοῦ, ᾧ λυτρούμεθα, καὶ εἰς συμπάθειαν, διὰ τὴν ἀνατροφὴν τὴν ἐκ τοῦ λόγου καὶ εἰς ἀφθαρσίαν διὰ τὴν ἀγωγὴν τὴν αὐτοῦ·

τὸ θρέψαι δ᾽ ἐν βροτοῖσι πολλάκις
πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

τὸ αὐτὸ ἄρα καὶ αἷμα καὶ γάλα τοῦ κυρίου πάθους καὶ διδασκαλίας σύμβολον.

§. 50. Ἐφεῖται τοιγαροῦν ἡμῶν ἑκάστῳ τῶν νηπίων ἐγκαυχᾶσθαι τῷ κυρίῳ, ἐπιφθεγγομένοις,

*) 1 Cor. 3, 2.

P. 47 Sylb. πατρὸς δ᾽ ἐξ ἀγαθοῖο καὶ αἵματος εὔχομαι εἶναι. ὡς δ᾽ ἐξ αἵματος γάλα κατὰ μεταβολὴν γίνεται, ἤδη μὲν σαφές, οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ποιμνίων, ἔκ τε τῶν βουκολίων ἔξεστι μαθεῖν· τὰ γὰρ ζῶα ταῦτα τοῦ ἔτους κατὰ τὴν ὥραν, ἣν ἔαρ καλοῦμεν, ὑγροτέρου τοῦ περιέχοντος γεγονότος, ἀλλὰ καὶ τῆς πόας καὶ τῶν νομῶν εὐχύλων τοτηνικάδε οὐσῶν καὶ ἐνίκμων αἵματος πίμπλαται πρότερον, ὡς ἐκ τῆς διατάσεως τῶν φλεβῶν κυρτουμένων τῶν ἀγγείων δείκνυται· ἐκ δὲ τοῦ αἵματος δαψιλέστερον χεῖται τὸ γάλα· θέρους δ᾽ ἔμπαλιν ὑπὸ τοῦ καύματος συγκαιόμενον καὶ ἀναξηραινόμενον ἵστησι τὴν μεταβολὴν τὸ αἷμα καὶ ταύτῃ ἔλαττον ἀμέλγονται· ναὶ μὴν καὶ συγγένειάν τινα πρὸς τὸ ὕδωρ φυσικωτάτην ἔχει τὸ P. 128 Pott. γάλα, καθάπερ ἀμέλει πρὸς τὴν πνευματικὴν τροφὴν τὸ λουτρὸν τὸ πνευματικόν· οἱ γοῦν ἐπιῤῥοφῶντες τῷ προειρημένῳ γάλακτι ψυχροῦ ὀλίγον ὕδατος ὠφελοῦνται παραχρῆμα· οὐ γὰρ ἀποξύνεσθαι τὸ γάλα ἐᾷ ἡ πρὸς τὸ ὕδωρ κοινωνία, οὐκ ἀντιπαθείᾳ τινὶ, προσπεπαινομένου δὲ προσπαθείᾳ. καὶ ἣν ὁ λόγος ἔχει πρὸς τὸ βάπτισμα κοινωνίαν, ταύτην ἔχει τὸ γάλα τὴν συναλλαγὴν πρὸς τὸ ὕδωρ. δέχεται γὰρ μόνον τῶν ὑγρῶν τοῦτο καὶ τὴν πρὸς τὸ ὕδωρ μῖξιν ἐπικάθαρσιν παραλαμβανόμενον καθάπερ τὸ βάπτισμα ἐπὶ ἀφέσει ἁμαρτιῶν.

§. 51. Μίγνυται δὲ καὶ μέλιτι προσφυῶς καὶ τοῦτο ἐπὶ καθάρσει πάλιν μετὰ γλυκείας τῆς τροφῆς· μιγνύμενος γὰρ ὁ λόγος φιλανθρωπίᾳ, ἰᾶταί γε ἅμα τὰ πάθη, καὶ ἀνακαθαίρει τὰς ἁμαρτίας· καὶ τὸ

μέλιτος γλυκίων ῥέεν αὐδὴ *)

ἐπὶ τοῦ λόγου λελέχθαι μοὶ δοκεῖ, ὅς ἐστι μέλι. καὶ πολλαχοῦ δὲ ἡ προφητεία „ὑπὲρ μέλι καὶ κηρίον" **) ἀνάγει· ναὶ μὴν ἐπιμίγνυται τὸ γάλα καὶ οἴνῳ τῷ γλυκεῖ, ἐπωφελὴς δὲ ἡ μῖξις, καθάπερ ἀνακιρνα-

*) Hom. Iliad. α. 249. **) Psalm. 19, 10. 119, 103

μένου τοῦ πάθους εἰς ἀφθαρσίαν· ἐξορροῦται γὰρ ὑπὸ τοῦ οἴνου τὸ γάλα καὶ σχίζεται, καὶ ὅτιπερ αὐτοῦ νόθον, τοῦτ᾿ ἀποχετεύεται. κατὰ τὰ αὐτὰ δὲ τῆς πίστεως ἡ κοινωνία ἡ πνευματικὴ πρὸς τὸν παθητὸν ἄνθρωπον τὰς σαρκικὰς ἐπιθυμίας ἐξορροῦσα εἰς ἀϊδιότητα συστέλλει τὸν ἄνθρωπον, τοῖς θείοις ἀπαθανατίζουσα. ἀλλ᾿ οἱ πολλοὶ δὲ καὶ τῷ λιπαρῷ τοῦ γάλακτος, ὃ δὴ βούτυρον καλοῦσι, καταχρῶνται εἰς λύχνον, τὸ πολυέλαιον τοῦ λόγου δι᾿ αἰνίγματος ἀριδήλου σαφηνίσαντες, ὡς μόνου τοῦδε ἐνδίκως καὶ τρέφοντος καὶ αὔξοντος καὶ φωτίζοντος τοὺς νηπίους.

§. 52. *Διὰ* τοῦτο γὰρ καὶ ἡ γραφὴ περὶ τοῦ κυρίου λέγει· „ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν, ἐθήλασαν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας, βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν“ *)· καὶ τὰ ἐπὶ τούτοις ἔδωκεν αὐτοῖς· ἀλλὰ καὶ τὴν γέννησιν τοῦ παιδίου ὁ προφητεύων, „βούτυρον“, φησίν, „ἔδεται καὶ μέλι“ **). ἐμοὶ δὲ καὶ θαυμάζειν ἔπεισιν, ὅπως σφᾶς τελείους τινὲς τολμῶσι καλεῖν καὶ γνωστικοὺς ὑπὲρ τὸν ἀπό- **P. 129 Pott.** στολον φρονοῦντες, φυσιούμενοί τε καὶ φρυαττόμενοι, αὐτοῦ ὁμολογοῦντος τοῦ Παύλου περὶ ἑαυτοῦ „οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ᾿ ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ. ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι, ἓν δὲ ὅτι τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐν Χριστῷ Ἰησοῦ“ ***). καὶ τέλειον μὲν ἑαυτὸν ἡγεῖται, ὅτι ἀπήλλακται τοῦ προτέρου βίου, ἔχεται δὲ τοῦ κρείττονος, οὐχ ὡς ἐν γνώσει τέλειος, ἀλλ᾿ ὡς τοῦ τελείου ἐφιέμενος· διὸ καὶ ἐπιφέρει „ὅσοι οὖν τέλειοι, τοῦτο φρονοῦμεν“ †)·

---

*) Deut. 32, 13 sqq. **) Ies. 8, 15. ***) Philipp. 3, 12—14. †) Ibid. v. 15.

τελείωσιν δῆλον ὅτι λέγων τὸ ἀποτετάχθαι ταῖς ἁμαρτίαις καὶ εἰς πίστιν τοῦ μόνου τελείου ἀναγεγεννῆσθαι ἐκλαθομένους τῶν κατόπισθεν ἁμαρτιῶν.

Cap. VII.

Τίς ὁ παιδαγωγὸς, καὶ περὶ τῆς παιδαγωγίας αὐτοῦ.

§. 53. Ἐπεὶ τοίνυν ἀπεδείξαμεν παῖδας ἡμᾶς τοὺς πάντας ὑπὸ τῆς γραφῆς καλουμένους οὐ μόνον ἀλλὰ καὶ τοὺς Χριστῷ κατηκολουθηκότας ἡμᾶς νηπίους ἀλληγορουμένους, μόνον δὲ εἶναι τέλειον τὸν πατέρα τῶν ὅλων — ἐν αὐτῷ γὰρ ὁ υἱὸς καὶ ἐν τῷ υἱῷ ὁ πατήρ —, καὶ ὥρα ἡμῖν ἑπομένοις τῇ τάξει καὶ τὸν παιδαγωγὸν ἡμῶν εἰπεῖν, ὅστις ἐστί. καλεῖται δὲ Ἰησοῦς. ἔσθ᾽ ὅτε οὖν ποιμένα ἑαυτὸν καλεῖ καὶ λέγει, „ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός" *) κατὰ μεταφορὰν ἀπὸ τῶν ποιμένων τῶν καθηγουμένων τοῖς προβάτοις, ὁ καθηγούμενος τῶν παιδίων, παιδαγωγὸς νοούμενος, ὁ τῶν νηπίων κηδεμονικὸς ποιμήν· ἁπλοῖ γὰρ οἱ νήπιοι ὡς πρόβατα ἀλληγορούμενοι· „καὶ γενήσονται", φησὶν, „οἱ πάντες μία ποίμνη καὶ εἷς ποιμήν" **). παιδαγωγὸς οὖν εἰκότως ὁ λόγος ὁ τοὺς παῖδας ἡμᾶς εἰς σωτηρίαν ἄγων. ἐναργέστατα γοῦν ὁ λόγος περὶ ἑαυτοῦ διὰ Ὠσηὲ εἴρηκεν· „ἐγὼ δὲ παιδευτὴς ὑμῶν εἰμί" ***). παιδαγωγία δὲ ἡ θεοσέβεια μάθησις οὖσα θεοῦ θεραπείας καὶ παίδευσις εἰς ἐπίγνωσιν ἀληθείας, ἀγωγή τε ὀρθὴ, ἀνάγουσα εἰς οὐρανόν.

§. 54. Παιδαγωγία δὲ καλεῖται πολλαχῶς· καὶ γὰρ ἡ τοῦ ἀγομένου καὶ μανθάνοντος καὶ ἡ τοῦ ἄγοντος καὶ διδάσκοντος, καὶ αὐτὴ τρίτον ἡ ἀγωγὴ καὶ

---

*) Ioann. 10, 11. **) Ibid. v. 16. ***) Hos. 5, 2.

τὰ διδασκόμενα τέταρτον οἷον αἱ ἐντολαί. ἔστι P. 130 Pott. δὲ ἡ κατὰ θεὸν παιδαγωγία κατευθυσμὸς ἀληθείας P. 48 Sylb. εἰς ἐποπτείαν θεοῦ καὶ πράξεων ἁγίων ὑποτύπωσις ἐν αἰωνίῳ διαμονῇ. ὥσπερ οὖν κατευθύνει τὴν φάλαγγα ὁ στρατηγὸς τῆς σωτηρίας τῶν μισθοφόρων προμηθούμενος καὶ ὡς ὁ κυβερνήτης οἰακίζει τὸ σκάφος σώζειν προαιρούμενος τοὺς ἐμπλέοντας, οὕτως καὶ ὁ παιδαγωγὸς ἄγει τοὺς παῖδας ἐπὶ τὴν σωτήριον δίαιταν τῆς ἡμῶν αὐτῶν ἕνεκεν κηδεμονίας· καὶ καθόλου ὁπόσα ἂν παρὰ τοῦ θεοῦ εὐλόγως αἰτήσαιμεν ἡμῖν γενέσθαι, ταῦτα πειθομένοις τῷ παιδαγωγῷ περιέσται. ὅνπερ οὖν τρόπον ὁ κυβερνήτης οὐκ αἰεὶ τοῖς ἀνέμοις ὑπείκει, ἀντίπρωρος δὲ ἔσθ' ὅτε ὅλαις ἀνθίσταται καταιγίσιν, οὕτως ὁ παιδαγωγὸς οὐχὶ τοῖς ἐν τῷ κόσμῳ τῷδε καταπνέουσι νόμοις ὑπείκει ποτὲ οὐδὲ ἐπιτρέπει αὐτοῖς τὸ παιδίον, ὥσπερ σκάφος, εἰς θηριώδη καὶ ἀσελγῆ προσρῆξαι δίαιταν, μόνῳ δὲ ἄρα τῷ ἀληθείας πνεύματι ἔπουρος ἀρθεὶς, ἀντέχεται μάλα ἐρρωμένως τῶν οἰάκων τοῦ παιδὸς, τῶν ὤτων λέγω· ἕως ἂν ἀβλαβὲς καθορμίσῃ τὸ παιδίον εἰς τὸν λιμένα τῶν οὐρανῶν. τὸ μὲν γὰρ πάτριον καλούμενον παρ' αὐτοῖς ἔθος, ὅσον οὐδέπω παρέρχεται· ἡ δὲ ἀγωγὴ ἡ θεία κτῆμά ἐστιν εἰς ἀεὶ παραμένον.

§. 55. Ἀχιλλέως μὲν οὖν παιδαγωγὸν τὸν Φοίνικά φασι γεγονέναι καὶ τῶν Κροίσου παίδων Ἄδραστον, Ἀλεξάνδρου δὲ Λεωνίδην, καὶ Φιλίππου Ναυσίθοον. ἀλλ' ὁ μὲν γυναικομανὴς ὁ Φοίνιξ ἦν, ὁ δὲ φυγὰς ὁ Ἄδραστος ἦν, Λεωνίδης δὲ οὐ περιεῖλεν τὸν τῦφον τοῦ Μακεδόνος, οὐδὲ Ναυσίθοος μεθύοντα τὸν ἐκ Πέλλης ἰάσατο, Ἀλκιβιάδου δὲ τὴν πορνείαν ὁ Θρᾷξ ἐπισχεῖν οὐκ ἴσχυσε Ζώπυρος, ἀλλ' ὠνητὸν ἀνδράποδον ὁ Ζώπυρος ἦν, καὶ τῶν Θεμιστοκλέους παίδων ὁ παιδαγωγὸς Σίκιννος οἰκέτης ῥάθυμος ἦν, ὀρχεῖσθαί φασιν αὐτὸν καὶ σικιννίζειν εὑρηκέναι. οὐκ ἔλαθον ἡμᾶς οἱ παρὰ Πέρσαις βασίλειοι

καλούμενοι παιδαγωγοὶ, οὓς τέτταρας τὸν ἀριθμὸν P. 131 Pott. ἀριστίνδην ἐκλέγοντες ἐκ πάντων Περσῶν οἱ βασιλεῖς Περσῶν τοῖς σφῶν αὐτῶν ἐφίστων παισίν· ἀλλὰ τοξεύειν μόνον οἱ παῖδες αὐτοῖς μανθάνουσιν, ἡβήσαντες δὲ ἀδελφαῖς καὶ μητράσι καὶ γυναιξὶ, γαμεταῖς τε ἅμα καὶ παλλακίσιν ἀναρίθμοις ἐπιμίσγονται, καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι· ὁ δὲ ἡμέτερος παιδαγωγὸς ἅγιος θεὸς Ἰησοῦς, ὁ πάσης τῆς ἀνθρωπότητος καθηγεμὼν λόγος, αὐτὸς ὁ φιλάνθρωπος θεός ἐστι παιδαγωγός.

§. 56. *Λέγει* δέ που διὰ τῆς ᾠδῆς τὸ πνεῦμα τὸ ἅγιον εἰς αὐτόν· „αὐτάρκησε τὸν λαὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος, ἐν ἀνύδρῳ ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύλαξεν ὡς κόρην ὀφθαλμοῦ, ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ· κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ᾽ αὐτῶν θεὸς ἀλλότριος“ *). σαφῶς οἶμαι τὸν παιδαγωγὸν ἐνδείκνυται ἡ γραφὴ τὴν ἀγωγὴν αὐτοῦ διηγουμένη. πάλιν δὲ ὅταν λέγῃ διὰ τοῦ ἰδίου προσώπου, ἑαυτὸν ὁμολογεῖ παιδαγωγόν· „ἐγὼ κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου“ **). τίς οὖν ἔχει ἐξουσίαν τοῦ ἄγειν εἴσω τε καὶ ἔξω; οὐχὶ ὁ παιδαγωγός; οὗτος ὤφθη τῷ Ἀβραὰμ καὶ εἶπεν αὐτῷ. „ἐγώ εἰμι ὁ θεός σου, εὐαρέστει ἐνώπιόν μου“ ***). τοῦτον δὲ παιδαγωγικώτατα ὑποκατασκευάζει παῖδα πιστόν· „καὶ γίνου“, φήσας, „ἄμεμπτος, καὶ θήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ, καὶ τοῦ σπέρματός σου“. φιλίας ἐνταῦθα ἐπιστατικῆς ἐστὶ κοινωνία· τοῦ δὲ Ἰακὼβ ἐναργέστατα παιδαγωγὸς εἶναι φαίνεται. λέγει γοῦν αὐτῷ· „ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν

---

*) Deut. 32, 10—12. **) Exod. 20, 2. ***) Genes. 17, 1 sq.

τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω P. 132 Pott. ἕως τοῦ ποιῆσαί με, ὅσα ἐλάλησά σοι"*). τούτῳ δὲ καὶ συμπαλαίειν λέγεται. „ὑπελείφθη δὲ", φησὶν, „Ἰακὼβ μόνος καὶ ἐπάλαιεν μετ' αὐτοῦ ἄνθρωπος", ὁ παιδαγωγὸς, „μέχρι πρωΐ"**).

§. 57. Οὗτος ἦν ὁ ἄνθρωπος ὁ ἄγων καὶ φέρων, ὁ συγγυμναζόμενος καὶ ἀλείφων κατὰ τοῦ πονηροῦ τὸν ἀσκητὴν Ἰακώβ· ὅτι δὲ ὁ λόγος ἦν ὁ ἀλείπτης ἅμα τῷ Ἰακὼβ καὶ παιδαγωγὸς τῆς ἀνθρωπότητος, „ἠρώτησε", φησὶν, „αὐτὸν καὶ εἶπεν αὐτῷ· ἀνάγγειλόν μοι, τί τὸ ὄνομά σου. καὶ εἶπεν· ἱνατί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου"***); ἐτήρει γὰρ τὸ ὄνομα τὸ καινὸν τῷ νέῳ λαῷ τῷ νηπίῳ. ἔτι δὲ καὶ ἀνονόμαστος ἦν ὁ θεὸς ὁ κύριος, μηδέπω γεγενημένος ἄνθρωπος. πλὴν ἀλλὰ „ὁ Ἰακὼβ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου εἶδος θεοῦ, εἶδον γὰρ", φησὶν, „θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μοῦ ἡ ψυχή"†). πρόσωπον δὲ τοῦ θεοῦ ὁ λόγος, ᾧ φωτίζεται ὁ θεὸς καὶ γνωρίζεται. τότε καὶ Ἰσραὴλ ἐπωνόμασται, ὅτε εἶδε τὸν θεὸν τὸν κύριον. οὗτός ἐστιν ὁ θεὸς, ὁ λόγος, ὁ παιδαγωγὸς, ὁ φήσας αὐτῷ πάλιν ὕστερον· „μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον"††). ὅρα πῶς μὲν ἕπεται τῷ δικαίῳ ὁ παιδαγωγὸς, ὅπως τε καὶ ἀλείφει τὸν ἀσκητὴν, πτερνίζειν διδάσκων τὸν ἀνταγωνιστήν. αὐτὸς γοῦν οὗτος καὶ τὸν Μωϋσέα διδάσκει παιδαγωγεῖν· λέγει γὰρ ὁ κύριος, „εἴ τις ἡμάρτηκεν ἐνώπιόν μου, ἐξαλείψω αὐτὸν ἐκ τῆς βίβλου μου, νυνὶ δὲ βάδιζε καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον, ὃν εἶπόν σοι"†††).

§. 58. Ἐνταῦθα διδάσκαλός ἐστι παιδαγωγίας· καὶ γὰρ ἦν ὡς ἀληθῶς διὰ μὲν Μωϋσέως παιδαγωγὸς ὁ κύριος τοῦ λαοῦ τοῦ παλαιοῦ, δι' αὐτοῦ δὲ

---

*) Genes. 28, 15. **) Ibid. 32, 24. ***) Ibid. v. 29. †) Ibid. v. 30. ††) Ibid. 46, 3. †††) Exod. 32, 33 sq.

τοῦ νέου καθηγεμὼν λαοῦ, πρόσωπον πρὸς πρόσωπον. „Ἰδοὺ" γάρ, φησὶ τῷ Μωϋσεῖ, „ὁ ἄγγε- P. 133 Pott.
P. 49 Sylb. λός μου προπορεύεταί σου" *)· τὴν εὐαγγέλιον καὶ ἡγεμόνιον ἐπιστήσας τοῦ λόγου δύναμιν, τὸ δὲ ἀξίωμα τὸ κυριακὸν φυλάττων. „ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι", φησίν, „ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν" **), τουτέστιν, ᾗ δ' ἂν ἡμέρᾳ κριτὴς καθεσθῶ, ἀποδώσω τῶν ἁμαρτιῶν αὐτῶν τὰ ἀντάξια· ὁ γὰρ αὐτὸς παιδαγωγὸς καὶ κριτὴς τοὺς παρακούσαντας αὐτοῦ δικάζει, τὸ δὲ ἁμάρτημα αὐτῶν οὐ παρασιωπᾷ ὁ φιλάνθρωπος λόγος, ἐλέγχει δέ, ἵνα μετανοήσωσιν· „θέλει γὰρ ὁ κύριος τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν θάνατον" ***). ἡμεῖς δὲ τὰς ἄλλων ἁμαρτίας ὡς νήπιοι δι' ἀκοῆς παραδεξάμενοι φόβῳ τῆς ἀπειλῆς τοῦ μὴ τὰ ὅμοια παθεῖν ἀποσχώμεθα τῶν ἴσων πλημμελημάτων. τί οὖν ἦν ὃ ἥμαρτον; „ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους καὶ τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον, ἐπικατάρατος ὁ θυμὸς αὐτῶν" †).

§. 59. Τίς ἂν οὖν τούτου μᾶλλον ἡμᾶς φιλανθρωπότερον παιδεῦσαι; τὸ μὲν οὖν πρότερον τῷ πρεσβυτέρῳ λαῷ πρεσβυτέρα διαθήκη ἦν καὶ νόμος ἐπαιδαγώγει τὸν λαὸν μετὰ φόβου καὶ λόγος ἄγγελος ἦν, καινῷ δὲ καὶ νέῳ λαῷ καινὴ καὶ νέα διαθήκη δεδώρηται καὶ ὁ λόγος γεγένηται καὶ ὁ φόβος εἰς ἀγάπην μετατέτραπται καὶ ὁ μυστικὸς ἐκεῖνος ἄγγελος Ἰησοῦς τίκτεται. ὁ γὰρ αὐτὸς οὗτος παιδαγωγός, τότε μὲν „φοβηθήσῃ κύριον τὸν θεὸν" ††) ἔλεγεν, ἡμῖν δὲ „ἀγαπήσεις κύριον τὸν θεόν σου" †††) παρῄνεσεν. διὰ τοῦτο καὶ ἐντέλλεται ἡμῖν· „παύσασθε ἀπὸ τῶν ἔργων ὑμῶν", τῶν παλαιῶν ἁμαρτιῶν, „μάθετε καλὸν ποιεῖν, ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, ἠγάπησας δικαιοσύνην, ἐμίσησας ἀνομίαν".

---

*) Exod. 32, 34. **) Ibidem, ***) Ezech. 18, 23. 32. 33, 11. †) Genes. 49, 6. ††) Deut. 6, 2. †††) Matth. 32, 37.

αὕτη μοὺ ἡ νέα διαθήκη παλαιῷ κεχαραγμένη γράμματι. οὐκ ἄρα ἡ νεότης τοῦ λόγου ὀνειδιστέα, ἀλλὰ καὶ ἐν τῷ Ἱερεμίᾳ ὁ κύριος λέγει· „μὴ λέγε ὅτι νεώτερός εἰμι· πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε" *). ταῦτα δύναται πρὸς ἡμᾶς ἡ προφητεία αἰνίττεσθαι τοὺς πρὸ καταβολῆς κόσμου εἰς πίστιν ἐγνωσμένους θεῷ, νυνὶ δὲ νηπίους διὰ τὴν ἔναγχος πεπληρωμένην βούλησιν τοῦ θεοῦ, καθὸ εἰς κλῆσιν καὶ σωτηρίαν νεογνοὶ γεγόναμεν.

§. 60. *Διὸ* καὶ ἐπιφέρει „προφήτην εἰς ἔθνη τέθεικά σε" **), προφητεῦσαι λέγων αὐτὸν δεῖν, μὴ ὄνειδος εἶναι δοκεῖν, τοῦ νεωτέρου τὴν προσηγορίαν τοῖς νηπίοις καλουμένοις. ὁ δὲ νόμος χάρις ἐστὶ παλαιὰ διὰ Μωϋσέως ὑπὸ τοῦ λόγου δοθεῖσα. διὸ P. 134 Pott. καί φησιν ἡ γραφή, „ὁ νόμος διὰ Μωϋσέως ἐδόθη" ***), οὐχὶ ὑπὸ Μωϋσέως, ἀλλὰ ὑπὸ μὲν τοῦ λόγου, διὰ Μωϋσέως δὲ τοῦ θεράποντος αὐτοῦ· διὸ καὶ πρόσκαιρος ἐγίνετο, „ἡ δὲ ἀΐδιος χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο". ὁρᾶτε τὰς λέξεις τῆς γραφῆς· ἐπὶ μὲν τοῦ νόμου „ἐδόθη" φησὶ μόνον, „ἡ δὲ ἀλήθεια" χάρις οὖσα τοῦ πατρὸς ἔργον ἐστὶ τοῦ λόγου αἰώνιον καὶ οὐκέτι δίδοσθαι λέγεται, ἀλλὰ „διὰ Ἰησοῦ γίνεσθαι, οὗ χωρὶς ἐγένετο οὐδὲ ἕν" †). αὐτίκα γοῦν ὁ Μωϋσῆς τῷ τελείῳ προφητικῶς παραχωρῶν παιδαγωγῷ τῷ λόγῳ καὶ τὸ ὄνομα καὶ τὴν παιδαγωγίαν προθεσπίζει καὶ τῷ λαῷ παρατίθεται τὸν παιδαγωγόν, ἐντολὰς ὑπακοῆς ἐγχειρίσας· „προφήτην ὑμῖν ἀναστήσει", φησίν, „ὁ θεὸς ὡς ἐμὲ ἐκ τῶν ἀδελφῶν ὑμῶν" ††), τὸν Ἰησοῦν τὸν τοῦ Ναυὴ αἰνιττόμενος διὰ τὸν Ἰησοῦν τὸν τοῦ θεοῦ υἱόν· σκιαγραφία γὰρ ἦν τοῦ κυρίου τὸ ὄνομα τὸ Ἰησοῦ προκηρυσσόμενον ἐν νόμῳ. ἐπι-

*) Ierem. 1, 7. 5. **) Ibidem. ***) Ioann. 1, 17.
†) Ibid. v. 3. ††) Deut. 18, 15.

φέρει γοῦν τὸ λυσιτελὲς τῷ λαῷ συμβουλεύων· „αὐτοῦ ἀκούσεσθε"*) λέγων, „καὶ ὁ ἄνθρωπος, ὃς ἂν μὴ ἀκούσῃ τοῦ προφήτου τούτου, τούτῳ ἀπειλεῖ" **).

§. 61. Τοιοῦτον ἡμῖν ὄνομα σωτηρίου προφητεύει παιδαγωγοῦ· διὰ τοῦτο αὐτῷ ῥάβδον περιτίθησιν ἡ προφητεία, ῥάβδον παιδευτικήν, ἀρχικήν, κατεξουσιαστικήν, ἵν' οὓς ὁ λόγος ὁ πειθήνιος οὐκ ἰᾶται, ἀπειλὴ ἰάσεται, οὓς δὲ ἡ ἀπειλὴ οὐκ ἰᾶται, ῥάβδος ἰάσεται, οὓς δὲ ἡ ῥάβδος οὐκ ἰᾶται, τὸ πῦρ ἐπινέμεται. „ἐξελεύσεται", φησί, „ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί" ***). ὅρα καὶ τὴν ἐπιμέλειαν καὶ τὴν σοφίαν καὶ τὴν δύναμιν τοῦ παιδαγωγοῦ· „οὐ κατὰ τὴν δόξαν", φησί, „κρινεῖ οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν καὶ ἐλέγξει τοὺς ἁμαρτωλοὺς τῆς γῆς". καὶ διὰ Δαβίδ· „κύριος παιδεύων ἐπαίδευσέ με καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με" †)· τὸ γὰρ ὑπὸ κυρίου παιδευθῆναι καὶ παιδαγωγηθῆναι θανάτου ἐστὶν ἀπαλλαγή. καὶ διὰ τοῦ αὐτοῦ προφήτου φησίν· „ἐν ῥάβδῳ σιδηρᾷ ποιμανεῖς αὐτούς" ††). ταύτῃ καὶ ὁ ἀπόστολος κινηθεὶς ἐν τῇ πρὸς Κορινθίους, „τί θέλετε"; φησίν, „ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πρᾳότητος" †††); ἀλλὰ καὶ „ῥάβδον δυνάμεως P. 135 ἐξαποστελεῖ κύριος ἐκ Σιών" *), δι' ἄλλου προφήτου Pott. λέγει. ἡ δὲ παιδαγωγικὴ αὕτη ἡ „ῥάβδος σοὺ καὶ ἡ βακτηρία σοὺ παρεκάλεσάν με" **), εἶπέ τις ἕτερος. αὕτη τοῦ παιδαγωγοῦ ἡ δύναμις ἡ σεμνή, ἡ παρακλητική, ἡ σωτήριος.

*) Deut. 18, 15. **) Ibid. v. 19. ***) Ies. 11, 1. 3. 4. †) Psalm. 118, 18. ††) Psalm. 2, 9. †††) 1 Cor. 4, 21. *) Psalm. 110, 2. **) Psalm. 23, 4.

Cap. VIII.

Πρὸς τοὺς ἡγουμένους μὴ εἶναι ἀγαθὸν τὸ δίκαιον.

§. 62. Ἐνταῦθα ἐπιφύονταί τινες οὐκ ἀγαθὸν εἶναι φάμενοι τὸν κύριον διὰ τὴν ῥάβδον καὶ τὴν ἀπειλὴν καὶ τὸν φόβον καὶ παρακούσαντες μὲν, ὡς ἔοικε, τῆς γραφῆς ὧδέ που λεγούσης· „καὶ ὁ φοβούμενος κύριον ἐπιστρέφει ἐπὶ καρδίαν αὐτοῦ" *), ἐκλαθόμενοι δὲ τὸ μέγιστον αὐτοῦ τῆς φιλανθρωπίας, P. 50 ὅτι δι' ἡμᾶς ἄνθρωπος ἐγένετο. καὶ δὴ οἰκειότε- Sylb. ρον αὐτῷ προσεύχεται ὁ προφήτης διὰ τούτων· „μνήσθητι ἡμῶν, ὅτι χοῦς ἐσμὲν" **), τουτέστι συμπάθησον ἡμῖν, ὅτι τὴν ἀσθένειαν τῆς σαρκὸς αὐτοπαθῶς ἐπείρασας. ταύτῃ τοίνυν ἄριστος καὶ ἀνεπίληπτός ἐστιν ὁ παιδαγωγὸς ὁ κύριος τῇ ἑκάστου τῶν ἀνθρώπων δι' ὑπερβολὴν φιλανθρωπίας συμπαθήσας φύσει. „ἦν γὰρ οὐδὲν, ὃ μισεῖ ὁ κύριος" ***)· οὐ γὰρ δήπου μισεῖ μέν τι, βούλεται δὲ αὐτὸ εἶναι, ὃ μισεῖ, οὐδὲ βούλεται μέν τι μὴ εἶναι, αἴτιος δὲ γίνεται τοῦ εἶναι αὐτὸ, ὃ βούλεται μὴ εἶναι, οὐδὲ μὴν οὐ βούλεται μέν τι μὴ εἶναι, τὸ δὲ ἔστιν. εἴ τι ἄρα μισεῖ ὁ λόγος, βούλεται αὐτὸ μὴ εἶναι, οὐδὲν δὲ ἔστιν, οὗ μὴ τὴν αἰτίαν τοῦ εἶναι ὁ θεὸς παρέχεται. οὐδὲν ἄρα μισεῖται ὑπὸ τοῦ θεοῦ, ἀλλ' οὐδὲ ὑπὸ τοῦ λόγου· ἓν γὰρ ἄμφω, ὁ θεὸς, ὅτι εἶπεν, „ἐν ἀρχῇ ὁ λόγος ἦν ἐν τῷ θεῷ, καὶ θεὸς ἦν ὁ λόγος" †). εἰ δὲ οὐ μισεῖ τῶν ὑπ' αὐτοῦ γενομένων οὐδὲν, λείπεται φιλεῖν αὐτό.

§. 63. *Πολὺ* δὴ πλέον τῶν ἄλλων ἀγαπήσει τὸν ἄνθρωπον, εἰκότως, τὸ κάλλιστον τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων καὶ φιλόθεον ζῶον. φιλάνθρωπος ἄρα ὁ θεὸς, φιλάνθρωπος ἄρα ὁ λόγος. ὁ δὲ P. 136 φιλῶν τι ὠφελεῖν αὐτὸ βούλεται, τὸ δὲ ὠφελοῦν Pott.

*) Eccles. 21, 6. **) Psalm. 103, 14. ***) Sap. 11, 25. †) Ioann. 1, 1.

τοῦ μὴ ὠφελοῦντος πάντως ἄν που κρεῖττον εἴη, τοῦ δὲ ἀγαθοῦ κρεῖττον οὐδὲ ἕν, ὠφελεῖ ἄρα τὸ ἀγαθόν· ἀγαθὸς δὲ ὁ θεὸς ὁμολογεῖται, ὠφελεῖ ἄρα ὁ θεός. τὸ δὲ ἀγαθὸν, ᾗ ἀγαθόν ἐστιν, οὐδὲν ἄλλο ποιεῖ ἢ ὅτι ὠφελεῖ, πάντα ἄρα ὠφελεῖ ὁ θεός. καὶ οὐ δήπου ὠφελεῖ μέν τι τὸν ἄνθρωπον, οὐχὶ δὲ καὶ κήδεται αὐτοῦ, οὐδὲ κήδεται μὲν, οὐχὶ δὲ καὶ ἐπιμελεῖται αὐτοῦ. κρεῖττον μὲν γὰρ τὸ κατὰ γνώμην ὠφελοῦν τοῦ μὴ ὠφελοῦντος κατὰ γνώμην, τοῦ δὲ θεοῦ κρεῖττον οὐδέν. καὶ οὐκ ἄλλο τί ἐστι τὸ κατὰ γνώμην ὠφελεῖν, ὅτι μὴ ἐπιμελεῖσθαι τοῦ ἀνθρώπου, κήδεται ἄρα καὶ ἐπιμελεῖται τοῦ ἀνθρώπου ὁ θεός. τοῦτο δὲ ἐνδείκνυται ἔργῳ παιδαγωγῶν αὐτὸν λόγῳ, ὅς ἐστι τῆς τοῦ θεοῦ φιλανθρωπίας συναγωνιστὴς γνήσιος. τὸ δὲ ἀγαθὸν εἶναι οὐ τῷ τὴν ἀρετὴν ἔχειν ἀγαθὸν εἶναι λέγεται, καθὸ καὶ ἡ δικαιοσύνη ἀγαθὸν εἶναι λέγεται, οὐ τῷ ἀρετὴν ἔχειν, ἀρετὴ γάρ ἐστιν αὕτη, ἀλλὰ τῷ αὐτὴν καθ᾽ αὑτὴν καὶ δι᾽ αὑτὴν ἀγαθὴν εἶναι.

§. 64. *Λέγεται* δὲ καὶ κατ᾽ ἄλλον τρόπον ἀγαθὸν τὸ συμφέρον, οὐ τῷ τέρπειν, ἀλλὰ τῷ ὠφελεῖν. ἃ δὴ πάντα ἡ δικαιοσύνη καὶ ὡς ἀρετὴ καὶ ὡς δι᾽ αὑτὴν αἱρετὴ ἀγαθὸν καὶ ὡς οὐ τέρπουσα· οὐ γὰρ πρὸς χάριν κρίνει, ἀλλὰ τοῦ κατ᾽ ἀξίαν ἑκάστου ἐστὶν ἀπονεμητική. ἕπεται δὲ τῷ συμφέροντι τὸ ὠφέλιμον. κατὰ πάντα ἄρα τὰ μέρη, καθ᾽ ἃ τὸ ἀγαθὸν ἐξετάζεται καὶ ἡ δικαιοσύνη χαρακτηρίζεται, τῶν ἴσων ἐπίσης ἀμφοῖν μετεχόντων, τὰ δὲ τοῖς ἴσοις χαρακτηριζόμενα ἴσα τε ἀλλήλοις καὶ ὅμοια. ἀγαθὸν ἄρα ἡ δικαιοσύνη. πῶς οὖν, φασὶν, εἰ φιλάνθρωπός ἐστι καὶ ἀγαθὸς ὁ κύριος, ὀργίζεται καὶ κολάζει; ἀναγκαῖον οὖν καὶ περὶ τούτου ὡς οἷόν τε διὰ βραχυτάτων ἐπεξελθεῖν; ἐπεὶ λυσιτελής πως ἡ τοιάδε οἰκονομία πρὸς τὴν ὀρθὴν τῶν παίδων ἀγωγὴν, ἀναγκαίου βοηθήματος ἔχουσα τάξιν· θεραπεύεται δὲ πολλὰ τῶν παθῶν τιμωρίᾳ καὶ προστάξει αὐστηροτέρων παραγ-

γελμάτων, καὶ δὴ καὶ διὰ τῆς ἐνίων θεωρημάτων διδασκαλίας. ἔστι δὲ οἱονεὶ χειρουργία τῶν τῆς ψυχῆς παθῶν ὁ ἔλεγχος, ἀπόστασις δὲ τὰ πάθη τῆς ἀληθείας, ἃ χρὴ διελέγχειν διαιροῦντα τῇ τομῇ. P. 137 Pott.

§. 65. Φαρμακείᾳ δὲ ἔοικεν ὁ ὀνειδισμὸς τὰ τετυλωμένα ἀναλύων τῶν παθῶν καὶ τὰ ῥυπαρὰ τοῦ βίου τῆς λαγνείας ἀνακαθαίρων, πρὸς δὲ καὶ τὰς ὑπερσαρκώσεις τοῦ τύφου ἐξομαλίζων, εἰς τὸν ὑγιῆ καὶ ἀληθινὸν ἀνασκευάζων τὸν ἄνθρωπον. ἡ νουθέτησις οὖν οἱονεὶ δίαιτά ἐστι νοσούσης ψυχῆς, ὧν χρὴ μεταλαμβάνειν συμβουλευτική, καὶ ὧν οὐ χρὴ ἀπαγορευτική· τὰ δὲ πάντα εἰς σωτηρίαν καὶ ἀΐδιον ὑγείαν διατείνει. ἀλλὰ καὶ ὁ στρατηγὸς χρημάτων ζημίας καὶ τὰς εἰς αὐτὰ τὰ σώματα διηκούσας αἰκίας μετὰ δεσμῶν καὶ τῆς ἐσχάτης ἀτιμίας προσφέρων τοῖς ἠδικηκόσιν, ἔσθ᾽ ὅτε δὲ καὶ θανάτῳ κολάζων τινὰς, τέλος ἔχει τὸ ἀγαθὸν, ὑπὲρ νουθεσίας τῶν ὑπηκόων στρατηγῶν. ὡσαύτως καὶ ὁ μέγας ἡμῶν ἐκεῖνος στρατηγὸς, ὁ τῶν ὅλων ἡγεμὼν λόγος, τοὺς παρὰ τὸν νόμον ἀφηνιάζοντας τὸν αὐτοῦ ὑπὲρ ἀπαλλαγῆς δουλείας καὶ πλάνης καὶ τῆς τοῦ ἀντικειμένου αἰχμαλωσίας εἰς καταστολὴν τῶν τῆς ψυχῆς παθῶν νουθετῶν, ἐπὶ τὴν ἱερὰν τῆς πολιτείας ὁμόνοιαν εἰρηναγωγεῖ.

§. 66. Καθάπερ οὖν τῷ συμβουλευτικῷ λόγῳ παράκειται τὸ προτρεπτικὸν καὶ παρακλητικὸν εἶδος, οὕτω καὶ τῷ ἐγκωμιαστικῷ τὸ λοιδορητικὸν καὶ ὀνειδιστικὸν καὶ ἐγκωμιαστικόν. τὸ δὲ εἶδος τοῦτο τέχνη ἐστὶ ψεκτική, εὐνοίας δὲ τὸ ψέγειν, οὐ μίσους σύμβολον. ἄμφω μὲν γὰρ ὀνειδίζετον καὶ ὁ φίλος καὶ ὁ μὴ, ἀλλ᾽ ὁ μὲν ἐχθρὸς ἐπιγελῶν, ὁ δὲ φίλος εὐνοῶν. οὐκ ἄρα διὰ μῖσος ὁ κύριος τοῖς ἀνθρώποις λοιδορεῖται, οὓς καὶ ἐξὸν αὐτῷ ἀπολέσαι παρὰ τὰς ἰδίας αἰτίας, ὁ δὲ ὑπὲρ ἡμῶν καὶ πέπονθεν· παιδαγωγὸς γὰρ ἅτε ἀγαθὸς, ἐντέχνως σφόδρα καὶ διὰ τῆς λοιδορίας ὑποδύεται τὸν ψόγον, οἱονεὶ μά-

στιγι, τῇ βλασφημίᾳ τὸ νωθρὸν τῆς διανοίας ἐπεγείρων, πάλιν τε αὖ ἐν μέρει προτρέπειν ἐπιχειρεῖ τοὺς αὐτούς· οὓς γὰρ ὁ ἔπαινος οὐ προετρέψατο, τούτους παρώξυνεν ὁ ψόγος, καὶ οὓς ὁ ψόγος οὐκ ἐξεκαλέσατο εἰς σωτηρίαν καθάπερ νεκροὺς, τούτους πρὸς ἀλήθειαν ἡ βλασφημία διανίστησι· „μάστιγες γὰρ καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας, συγκολλῶν ὄστρακον καὶ διδάσκων μωρὸν, εἰς αἴσθησιν ἄγων", φησὶ, „τὴν γῆν καὶ τὸν ἀπηλπισμένον εἰς σύν- P. 138 Pott.
P. 51 Sylb. εσιν ὀξύνων" *)· διὰ τοῦτο ἐναργῶς ἐπήγαγεν, „ἐξεγείρων καθεύδοντα ἐκ βαθέος ὕπνου", ὃς τῶν ἄλλων μάλιστα θανάτῳ ἔοικεν. καὶ δὴ αὐτὸς περὶ αὑτοῦ σαφέστατα οὓς ἐκφαίνει, τὴν πολύτροπον καὶ πολυωφελῆ θεραπείαν ἀλληγορῶν, ὁπηνίκα εἰπὼν, „ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν." εἶτα ἐπήγαγε πάλιν· „πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτὸ καὶ πᾶν τὸ καρποφοροῦν καθαίρει, ἵνα καρπὸν πλείω φέρῃ" **). καθυλομανεῖ γὰρ μὴ κλαδευομένη ἡ ἄμπελος, οὕτως δὲ καὶ ὁ ἄνθρωπος. καθαίρει δὲ αὐτοῦ τὰς ἐξυβριζούσας παραφυάδας ὁ λόγος, ἡ μάχαιρα, καρποφορεῖν οὐκ ἐπιθυμεῖν τὰς ὀρέξεις ἀναγκάσας· ἡ δὲ πρὸς τοὺς ἁμαρτάνοντας ἐπίπληξις ἔχει σκοπὸν τὴν σωτηρίαν, μεθαρμοζομένου μουσικῶς τοῦ λόγου κατὰ τοὺς οἰκείους ἑκάστων τρόπους, πῇ μὲν ἐπιτείνοντος αὐτοῦ, πῇ δὲ ἀνιέντος.

§. 67. Σαφέστατα οὖν διὰ Μωϋσέως λέλεκται· „θαρρεῖτε, ἕνεκεν τοῦ πειράσαι ὑμᾶς παρεγενήθη ὁ θεὸς, ὅπως ἂν γένηται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε" ***). ἐντεῦθεν καλῶς καὶ ὁ Πλάτων μαθὼν, πάντες μὲν γὰρ, φησὶν, ὡς ἀληθῶς ἀγαθὰ πάσχουσιν οἱ δίκην διδόντες; ὠφελοῦνται γὰρ τῷ βελτίω τὴν ψυχὴν αὐτοῖς γίγνεσθαι δικαίως κο-

---

*) Eccles. 22, 6 sq. **) Ioann. 15, 1. 2. ***) Exod. 20, 20.

λαζομένοις. εἰ δὲ ἀγαθὰ πάσχουσιν ὑπὸ τοῦ δικαίου οἱ ἐπανορθούμενοι καὶ κατὰ Πλάτωνα ὁμολογεῖται ἀγαθὸν εἶναι τὸ δίκαιον· αὐτὸς γοῦν ὁ φόβος ὠφελεῖ καὶ πρὸς ἀγαθοῦ τοῖς ἀνθρώποις ἐξηύρηται, ὅτι „πνεῦμα φοβούμενον κύριον ζήσεται· ἡ γὰρ ἐλπὶς ἐπὶ τὸν σώζοντα αὐτούς" *). ὁ δὲ αὐτὸς οὗτος λόγος δίκην ἐπιτιθεὶς κριτής ἐστιν, περὶ οὗ καὶ Ἡσαΐας λέγει· „κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν" **), διορθωτὴν δηλονότι καὶ κατευθυντῆρα τῶν ἁμαρτιῶν.

§. 68. *Διὰ* τοῦτο μόνος οὗτος οἷός τε ἀφιέναι τὰ πλημμελήματα ὑπὸ τοῦ πατρὸς τῶν ὅλων ὁ ταχθεὶς παιδαγωγὸς ἡμῶν, μόνος ὁ τῆς ὑπακοῆς διακρῖναι τὴν παρακοὴν δυνάμενος. ὁ δὲ ἀπειλῶν δῆλός ἐστι μηδὲν ἐθέλων πρᾶξαι κακὸν, μηδὲ ἅπερ ἀπειλεῖ ἐπιτελέσαι, καταστήσας δὲ εἰς δέος τὴν ἐπὶ τὰς ἁμαρτίας ἀνέκοψε φορὰν καὶ τὸ φιλάνθρωπον αὐτοῦ ἐνδείκνυται, μέλλων ἔτι καὶ διασαφῶν οἷα πείσονται, εἰ παραμένουσιν ἁμαρτωλοί· οὐχὶ δὲ ὥσπερ ὄφις ἐμφὺς, ἔδακεν εὐθέως. ἀγαθὸς ἄρα ὁ θεὸς, καὶ ὅ γε κύριος εἰς πολλὰ συγχρῆται πρὸ τοῦ ἔργου τῷ λόγῳ. „τὰ γὰρ βέλη μου", φησὶ, „συντελέσει αὐτοὺς, τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος, ὀδόντας θηρίων ἐπαποστελῶ **P. 139 Pott.** εἰς αὐτοὺς μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς, ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα καὶ ἐκ τῶν ταμιείων φόβος" ***). ὡς οὐκ ὀργίζεται τὸ θεῖον, ᾗ τισὶν ἔδοξεν, ἀλλὰ τὰ μὲν πλεῖστα ἀπέχεται, τὰ πάντα δὲ παρῄνεσε τὴν ἀνθρωπότητα καὶ ὑπέδειξεν ὡς πρακτέα. ἀγαθὴ δὲ αὕτη ἡ τέχνη ἐκφοβεῖν ἵνα μὴ ἁμάρτωμεν, „φόβος γὰρ κυρίου ἀπωθεῖται ἁμαρτήματα, ἄφοβος δ᾽ οὐ δυνήσεται δικαιωθῆναι" †), φησὶν ἡ γραφή. καὶ τὴν κόλασιν ὁ θεὸς οὐχ ὑπὸ ὀργῆς ἐπι-

---

*) Eccles. 34, 13. **) Ies. 53, 6. ***) Deut. 32, 23—25. †) Eccles. 1, 18. 22.

φέρει, ἀλλὰ τὸ δίκαιον σκοπεῖ, ὡς οὐ συμφέρει παραλειφθῆναι τὸ δίκαιον δι' ἡμᾶς.

§. 69. Αἱρεῖται δὲ ἕκαστος ἡμῶν τὰς τιμωρίας αὐτὸς ἑκὼν ἁμαρτάνων, αἰτία δὲ ἑλομένου, θεὸς ἀναίτιος. „εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν, τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς, ὁ ἐπιφέρων τὴν ὀργήν; μὴ γένοιτο"*). λέγει γοῦν ἀπειλῶν, „παροξυνῶ τὴν μάχαιράν μου καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ αὐτὸς ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν ἀνταποδώσω, μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα ἀπὸ αἵματος τραυματιῶν"**). σαφὲς γὰρ ἐνταῦθα ὡς ἄρα οἱ μὴ διεχθρεύοντες τῇ ἀληθείᾳ μηδὲ μισοῦντες τὸν λόγον οὐκ ἂν τὴν σφῶν αὐτῶν μισήσαιεν σωτηρίαν, ἐκφύγοιεν δ' ἂν τῆς ἔχθρας τὰ ἐπιτίμια. „στέφανος ἄρα σοφίας", ἧ φησὶν ἡ σοφία, „φόβος κυρίου"***). σαφέστατα γοῦν διὰ τοῦ Ἀμῶς τοῦ προφήτου τὴν οἰκονομίαν μεμήνυκεν ὁ λόγος τὴν ἑαυτοῦ· „κατέστρεψα ὑμᾶς", λέγων, „καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρὸς, καὶ οὐδ' ὧς ἐπεστρέψατε πρός με, λέγει κύριος"†).

§. 70. Ὁρᾶτε πῶς ὁ θεὸς τὴν μετάνοιαν ὑπὸ φιλαγαθίας ζητεῖ, ἐνδείκνυταί τε παρὰ τὴν οἰκονομίαν τῆς ἀπειλῆς ἡσυχῇ τὸ φιλάνθρωπον τὸ ἑαυτοῦ. „ἀποστρέψω", φησὶ, „τὸ πρόσωπόν μου ἀπ' αὐτῶν καὶ δείξω τί ἔσται αὐτοῖς"††)· οὗ γὰρ τὸ πρόσωπον κυρίου ἐπιβλέπει, εἰρήνη καὶ ἀγαλλίασις, οὗ δὲ ἀπέστραπται, παρείσδυσις γίνεται πονηρίας. οὐ βούλεται οὖν ἐφορᾶν τὰ κακά· ἀγαθὸς γάρ ἐστι· παρορῶντος δὲ αὐτοῦ ἑκοντὶ, διὰ τὴν ἀπιστίαν τὴν ἀνθρωπίνην γένεσιν ἴσχει κακία. „ἴδε οὖν", φησὶν ὁ Παῦλος, „χρηστότητα καὶ ἀποτομίαν θεοῦ, P. 140 Pott.

---

*) Rom. 3, 5. 6. **) Deut. 32, 41 sq. ***) Eccles. 1, 18. †) Amos 4, 11. ††) Deut. 32, 20.

ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν, ἐπὶ δὲ σὲ χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι" *), τουτέστι τῇ εἰς Χριστὸν πίστει. ἕπεται δὲ τῷ ἀγαθῷ, ᾗ φύσει ἀγαθός ἐστιν, ἡ μισοπονηρία. διὸ καὶ κολάζειν μὲν αὐτὸν ὁμολογήσαιμι τοὺς ἀπίστους· ἡ γὰρ κόλασις ἐπ' ἀγαθῷ καὶ ἐπ' ὠφελείᾳ τοῦ κολαζομένου, ἔστι γὰρ ἐπανόρθωσις ἀντιτείνοντος· τιμωρεῖσθαι δὲ μὴ βούλεσθαι. τιμωρία δέ ἐστιν ἀνταπόδοσις κακοῦ ἐπὶ τὸ τοῦ τιμωροῦντος συμφέρον ἀναπεμπομένη. οὐκ ἂν δὲ ἐπιθυμήσειε τιμωρεῖσθαι ὁ ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς προσεύχεσθαι **) διδάσκων.

§. 71. Ἀλλὰ ὅτι μὲν ἀγαθὸς ὁ θεὸς καὶ ἄκοντες ὁμολογοῦσιν οἱ πάντες· ὅτι δὲ καὶ δίκαιος ὁ αὐ-
P. 52 Sylb. τὸς θεὸς, οὔ μοι χρὴ πλειόνων ἔτι λόγων τὴν εὐαγγέλιον τοῦ κυρίου παραθεμένῳ φωνήν· „ἕνα μὲν αὐτὸν λέγει, ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ, πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα καὶ ὁ κόσμος πιστεύῃ, ὅτι σύ με ἀπέστειλας, κἀγὼ τὴν δόξαν, ἣν ἔδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν· ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν" ***)· ἓν δὲ ὁ θεὸς καὶ ἐπέκεινα τοῦ ἑνὸς καὶ ὑπὲρ αὐτὴν μονάδα. διὸ καὶ τὸ σὺ μόριον δεικτικὴν ἔχον ἔμφασιν τὸν ὄντως μόνον ὄντα, ὃς ἦν καὶ ἔστι καὶ ἔσται, δείκνυσι θεὸν, καθ' ὧν τριῶν χρόνων ἓν ὄνομα κεῖται „ὁ ὤν" †). ὅτι δὲ ὁ αὐτὸς μόνος ὢν θεὸς καὶ δίκαιός ἐστιν ὁ αὐτὸς καὶ μόνος καὶ ὄντως, ἐν τῷ αὐτῷ μαρτυρήσει κύριος εὐαγγελίῳ λέγων· „πάτερ, οὓς ἔδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων κἀκεῖνοι ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας, καὶ

*) Rom. 11, 22. **) Matth. 5, 44. ***) Ioann. 17, 21—23. †) Exod. 3, 14.

ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω" *). οὗτός ἐστιν „ὁ ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα τοῖς μισοῦσι καὶ ποιῶν ἔλεος τοῖς ἀγαπῶσιν" **). ὁ γὰρ ἱστὰς τοὺς μὲν „ἐκ δεξιῶν" ***), τοὺς δὲ „ἐξ εὐωνύμων", καθὸ μὲν πατὴρ νοεῖται ἀγαθὸς ὤν, αὐτὸ μόνον ὅ ἐστι κέκληται „ἀγαθὸς" †), καθὸ δὲ υἱὸς ὢν ὁ λόγος αὐτοῦ ἐν τῷ πατρί ἐστι, δίκαιος προσαγορεύεται ἐκ τῆς πρὸς ἄλληλα σχέσεως, ἀγάπης ἰσότητι μεμετρημένον ὄνομα δυνάμεως. „ἄνδρα", φησί, „κατὰ τὰ ἔργα αὐτοῦ κρινεῖ" ††)· ἀγαθοῦ ζυγοῦ πρόσωπον ἡμῖν δικαιοσύνης, τὸν Ἰησοῦν, γνωρίσαντος τοῦ θεοῦ, δι' οὗ καὶ τὸν θεὸν, οἷον ἐκ τρυτάνης ἰσοσθενοῦς, ἔγνωμεν. P. 141 Pott.

§. 72. Ἐπὶ τούτου καὶ ἡ σοφία διαρρήδην λέγει· „ἔλεος γὰρ καὶ ὀργὴ μετ' αὐτοῦ· κύριος γὰρ ἀμφοῖν οὗτος μόνος, δυνάστης ἐξιλασμῶν, ἐκχέων ὀργήν· κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ ὁ ἔλεγχος αὐτοῦ" †††)· ἐλέους γὰρ καὶ ἐλέγχου σκοπὸς ἡ τῶν ἐλεγχομένων σωτηρία. ναὶ μὴν ὅτι ἀγαθὸς αὐτὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ, ὁ αὐτὸς πάλιν ὁμολογήσει λόγος, „ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς" *)· καὶ προσέτι, „γίνεσθε οἰκτίρμονες", λέγων, „καθὼς ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν"· οὐ μὴν ἀλλὰ καὶ ὁπηνίκα διαρρήδην λέγει· „οὐδεὶς ἀγαθὸς, εἰ μὴ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς"· ἐπὶ τούτοις αὖθις, „ὁ πατήρ μου", φησὶν, „ἐπιλάμπει τὸν ἥλιον τὸν αὐτοῦ ἐπὶ πάντας" **). παρασημειωτέον ἐνταῦθα, ὅτι τὸν αὐτοῦ πατέρα τὸν ἀγαθὸν καὶ δημιουργὸν εἶναι ὁμολογεῖ, δίκαιος δὲ ὁ δημιουργὸς εἶναι οὐκ ἀντιλέγεται. καὶ πάλιν, „ὁ πατήρ μου", φησί, „βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους" ***). καὶ καθὸ μὲν

*) Ioann. 17. 24—26. **) Exod. 20, 5 sq. ***) Matth. 20, 21. 25. 33. †) Ibid. 19, 17. ††) Eccles. 16, 12. †††) Ibid. 12, 11—13. *) Luc. 6, 35 sq. **) Matth. 5, 45. ***) Ibidem.

βρέχει, δημιουργὸς ὑδάτων ἐστὶ καὶ νεφῶν, καθὸ δὲ ἐπὶ πάντας, δικαίως ἰσοστατεῖ καὶ μετ' ἀρετῆς, ὡς δὲ ἀγαθὸς, ἐπὶ δικαίους καὶ ἀδίκους ὁμοίως.

§. 73. Σαφέστατον τοίνυν ἕνα καὶ τὸν αὐτὸν εἶναι θεὸν συλλογιζόμεθα, ὧδέ πως ὅτι „ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου“ *)· καὶ, „ὁ κτίσας τοὺς οὐρανοὺς ἐν τοῖς οὐρανοῖς κατοικεῖ“· καὶ „ὁ οὐρανὸς θρόνος σου“ **), τὸ ἅγιον πνεῦμα ἔψαλλεν. ὁ δὲ κύριός φησιν ἐν τῇ προσευχῇ, „πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς“ ***). οὐρανοὶ δὲ τοῦ κτίσαντος τὸν κόσμον εἰσὶν, ἀναντίρρητον ἄρα μὴ οὐχὶ καὶ υἱὸν εἶναι τὸν κύριον τοῦ δημιουργοῦ. εἰ δὲ ὁ κτίστης πρὸ πάντων ὁμολογεῖται δίκαιος, υἱὸς δὲ τοῦ δημιουργοῦ ὁ κύριος, υἱὸς ἄρα τοῦ δικαίου ὁ κύριος. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι· „νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται“ †). καὶ πάλιν, ἵνα μᾶλλον ὑπολάβῃς θεὸν, „δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας, οὐ γάρ ἐστι διαστολή.“ καὶ προσέτι μαρτυρῶν τῇ ἀληθείᾳ μετ' ὀλίγα ἐπιφέρει, „ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ, πρὸς τὴν ἔνδειξιν τοῦ εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦν“ ††). τὸ δὲ δίκαιον ἀγαθὸν εἰδὼς φαίνεταί που λέγων· P. 142 „ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ Pott. δικαία καὶ ἀγαθὴ“ †††), καὶ κατὰ τῆς αὐτῆς δυνάμεως ἄμφω τάσσων τὰ ὀνόματα.

§. 74. Ἀλλὰ καὶ „οὐδεὶς ἀγαθὸς, εἰ μὴ ὁ πατὴρ αὐτοῦ“ *), ὁ αὐτὸς ἄρα πατὴρ αὐτοῦ ὁ ἐν ὢν πολλαῖς μηνυόμενος δυνάμεσι, καὶ τοῦτο ἦν τὸ „οὐδεὶς ἔγνω τὸν πατέρα“ πάντα αὐτὸν ὄντα, πρὶν ἐλθεῖν τὸν υἱόν· ὡς εἶναι ταῖς ἀληθείαις καταφανὲς τὸ τῶν συμπάντων θεὸν, ἕνα μόνον εἶναι ἀγαθὸν, δίκαιον, δημιουργὸν, υἱὸν ἐν πατρὶ, ᾧ ἡ δόξα εἰς

*) Psalm. 8, 3. **) Ibid. 2, 4. 11, 4. 103, 19. ***) Matth. 6, 9. †) Rom. 3, 21 sq. ††) Ibid. v. 25 sq. †††) Ibid. 7, 12. *) Matth. 19, 17.

τοὺς αἰῶνας*), ἀμήν. ἀλλ' οὐδὲ ἀλλότριον τοῦ σωτηρίου λόγου κηδεμονικῶς λοιδορεῖσθαι. καὶ γὰρ οὖν καὶ τοῦτο τῆς θείας φιλανθρωπίας φάρμακον, ἐξ οὗ τὸ τῆς αἰδοῦς ἐρύθημα ἐξανθεῖ, καὶ ἡ πρὸς τὸ ἁμαρτάνειν αἰσχύνη παρεισδύεται. εἰ γὰρ ψέξαι χρὴ, καὶ λοιδορεῖσθαι δεῖ· ἔνθα τὴν ἀπηλγηκυῖαν ψυχὴν καιρός ἐστι τρῶσαι, οὐ θανασίμως, ἀλλὰ σωτηρίως, ὀλίγης ἀλγηδόνος ἀΐδιον κερδάναντα θάνατον. πολλὴ δὲ ἡ σοφία περὶ τὴν παιδαγωγίαν αὐτοῦ καὶ ὁ τρόπος τῆς οἰκονομίας αὐτοῦ ποικίλος εἰς σωτηρίαν· προσμαρτυρεῖ μὲν γὰρ τοῖς ἀγαθοῖς ὁ παιδαγωγὸς, ἐκκαλεῖται δὲ τοὺς κλητοὺς ἐπὶ τὰ βελτίω καὶ τοὺς ἀδικεῖν σπεύδοντας ἀποτρέπει τῆς ὁρμῆς, μεταθέσθαι δὲ εἰς ἀμείνω βίον παρακελεύεται. οὐχ ἕτερον γὰρ ἀμάρτυρον θατέρου προσμαρτυρουμένου, ἥ τε χάρις ἐκ μαρτυρίας μεγίστη· ἀλλὰ καὶ τὸ ἐμπαθὲς τῆς ὀργῆς, εἰ δὴ ὀργὴν τὴν νουθεσίαν αὐτοῦ χρὴ καλεῖν, φιλάνθρωπόν ἐστιν εἰς πάθη καταβαίνοντος τοῦ θεοῦ διὰ τὸν ἄνθρωπον, δι' ὃν καὶ γέγονεν ἄνθρωπος ὁ λόγος τοῦ θεοῦ.

P. 53 Sylb.

Cap. IX.

Ὅτι τῆς αὐτῆς δυνάμεως καὶ εὐεργετεῖν καὶ κολάζειν δικαίως, ἐν ᾧ τίς ὁ τρόπος τῆς παιδαγωγίας τοῦ λόγου.

§. 75. Παντὶ τοίνυν σθένει ὁ τῆς ἀνθρωπότητος παιδαγωγὸς, ὁ θεῖος ἡμῶν λόγος, πάσῃ καταχρώμενος σοφίας μηχανῇ, σώζειν ἐπιβέβληται τοὺς νηπίους, νουθετῶν, ἐπιτιμῶν, ἐπιπλήττων, ἐλέγχων, ἀπειλούμενος, ἰώμενος, ἐπαγγελλόμενος, χαριζόμενος, πολλοῖς τισὶν οἱονεὶ χαλινοῖς τὰς ἀλόγους τῆς ἀνθρωπό-

---

*) Luc. 10, 22. Ioann. 17, 25.

τητος δεσμεύων ὁρμάς. συνελόντι γοῦν εἰπεῖν, οὕτως ὁ κύριος πρὸς ἡμᾶς, ὡς καὶ ἡμεῖς πρὸς τὰ τέκνα ἡμῶν. τέκνα σοί ἐστι· „παίδευσον αὐτά", ἡ σο- P. 143 φία παραινεῖ, „καὶ κάμψον αὐτὰ ἐκ νεότητος αὐτῶν. Pott. θυγατέρες σοί εἰσι· πρόσεχε τῷ σώματι αὐτῶν καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου" *). καίτοι τὰ τέκνα ἡμῶν υἱούς τε καὶ θυγατέρας σφόδρα καὶ ὑπὲρ πᾶν ὁτιοῦν ἀγαπῶμεν. ἐπεὶ δ' οἱ μὲν πρὸς χάριν ὁμιλοῦντες ὀλίγον ἀγαπῶσιν ὃ μὴ λυποῦσιν, οἱ δὲ πρὸς ὠφέλειαν ἐπιστύφοντες εἰ καὶ παραυτίκα λυπηροὶ, ἀλλὰ εἰς τὸν ἔπειτα εὐεργετοῦσιν αἰῶνα· οὐ τὴν παραυτίκα ἡδονὴν ὁ κύριος, ἀλλὰ τὴν μέλλουσαν ἐσκόπησε τρυφήν. ἐπίωμεν δὲ ἤδη καὶ τὸν τρόπον αὐτοῦ τῆς φιλανθρώπου παιδαγωγίας μετὰ μαρτυρίας προφητικῆς.

§. 76. Νουθέτησις μὲν οὖν ἐστὶ ψόγος κηδεμονικὸς, νοῦ ἐμποιητικός. τοιοῦτος ὁ παιδαγωγὸς νουθετῶν, ὡς κἀν τῷ εὐαγγελίῳ λέγων· „ποσάκις ἠθέλησα συναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις συνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε" **). αὖθίς τε ἡ γραφὴ νουθετεῖ· „καὶ ἐμοίχευον", λέγουσα, „τὸ ξύλον καὶ τὸν λίθον, καὶ ἐθυμίασαν τῇ Βαάλ" ***). μέγιστον γὰρ τεκμήριον τῆς φιλανθρωπίας αὐτοῦ, ὅτι καίτοι σαφῶς εἰδὼς τὴν ἀναισχυντίαν τοῦ ἐκλακτίσαντος λαοῦ καὶ ἀποσκιρτήσαντος, ὅμως ἐπὶ τὴν μετάνοιαν παρακαλεῖ καί φησι διὰ τοῦ Ἰεζεκιήλ. „υἱὲ ἀνθρώπου, ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς, πλὴν λάλησον αὐτοῖς, ἐὰν ἄρα ἀκούσωσιν" †). ἀλλὰ καὶ τῷ Μωϋσῇ, „πορεύου", φησὶ, „καὶ εἰπὲ τῷ Φαραῷ, ἵνα ἐξαποστείλῃ τὸν λαὸν, ἐγὼ δὲ οἶδα, ὅτι οὐ μὴ ἐξαποστείλῃ αὐτούς" ††). ἐμφαίνει γὰρ ἄμφω καὶ τὸ θεῖον

*) Eccles. 7, 23 sq. **) Matth. 23, 32. ***) Ierem. 3, 9. 7, 8. 11, 13. 32, 29. †) Ezech. 2, 6 sq. ††) Exod. 3, 18 sq.

προειδὼς τὸ ἐσόμενον καὶ τὸ φιλάνθρωπον τὸ αὑτοῦ τῷ αὐτεξουσίῳ τῆς ψυχῆς ἀφορμὰς μετανοίας χαριζόμενος. νουθετεῖ δὲ καὶ διὰ Ἡσαΐου κηδόμενος τοῦ λαοῦ, ὁπηνίκα λέγει· „ὁ λαὸς οὗτος τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἐστὶν ἀπ' ἐμοῦ" — τοῦτό ἐστι ψόγος ἐλεγκτικός — „μάτην δὲ σέβονταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων"*). ἐνταῦθα ἡ κηδεμονία φανερώσασα τὴν ἁμαρτίαν ἐκ παραλλήλου δείκνυσι τὴν σωτηρίαν.

§. 77. Ἐπιτίμησις δέ ἐστι ψόγος ἐπ' αἰσχροῖς οἰκειῶν πρὸς τὰ καλά. τοῦτο ἐνδείκνυται διὰ Ἱερεμίου· „ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι", λέγει κύριος, „ἢ ἐν λαῷ τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου"**); παραπλέκει δὲ πανταχοῦ τὸν φόβον, ὅτι „φόβος κυρίου ἀρχὴ αἰσθήσεως"***). καὶ πάλιν διὰ Ὡσηέ· „οὐκ ἐπισκέψομαι", φησίν, „αὐτούς, ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συνεφύροντο καὶ μετὰ τῶν τετελεσμένων ἔθυον P. 144 Pott. καὶ ὁ λαὸς ὁ συνιὼν συνεπλέκετο πόρνῃ"†); δείκνυσιν αὐτῶν φανερώτερον τὸ ἁμάρτημα, συνιέναι αὐτοὺς ὁμολογῶν, ὡς ἑκόντας ἁμαρτάνοντας. καὶ ἡ σύνεσις ὄψις ἐστὶ ψυχῆς. διὸ καὶ ὁ Ἰσραὴλ ὁ ὁρῶν τὸν θεόν, τουτέστιν ὁ συνιὼν τὸν θεόν. μέμψις δέ ἐστι ψόγος ὡς ὀλιγωρούντων ἢ ἀμελούντων. κέχρηται τῷ τρόπῳ τούτῳ τῆς παιδαγωγίας διὰ Ἡσαΐου λέγων „ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω"††). πῶς γὰρ οὐ δεινόν, εἰ ὁ εἰδὼς τὸν θεὸν οὐ γνώσεται τὸν κύριον, ἀλλ' ὁ μὲν βοῦς καὶ ὄνος τὰ νωθῆ ζῶα καὶ τὰ μωρὰ εἴσεται τὸν τρέφοντα, ὁ δὲ

---

*) Ies. 29, 13. **) Ierem. 5, 8 sq. ***) Prouerb. 1, 7. †) Hos. 4, 14. ††) Ies. 1, 2 sq.

Ἰσραὴλ ἀλογώτερος καὶ τούτων εὑρεθήσεται; καὶ διὰ Ἱερεμίου πολλὰ καταμεμψάμενος τὸν λαὸν ἐπιφέρει· „καὶ ἐμὲ ἐγκατέλιπον, λέγει κύριος“ *).

§. 78. Ἐπίπληξις δέ ἐστιν ἐπιτίμησις ἐπιπληκτικὴ ἢ ψόγος πληκτικὸς, κέχρηται δὲ καὶ ταύτῃ τῇ θεραπείᾳ ὁ παιδαγωγὸς διὰ Ἡσαΐου λέγων· „οὐαὶ τέκνα ἀποστάται, τάδε λέγει κύριος· ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου“ **). στύμματι δὲ αὐστηροτάτῳ παρ' ἕκαστα προσχρῆται τῷ φόβῳ ἀναστομῶν ἅμα καὶ ἐπιστρέφων δι' αὐτοῦ πρὸς σωτηρίαν τὸν λαὸν, καθάπερ καὶ τὰ βαπτόμενα τῶν ἐρίων προστύφεσθαι φιλεῖ εἰς βεβαίαν εὐτρεπιζόμενα τῆς βαφῆς παραδοχήν. ἔλεγχος δέ ἐστι προφορὰ ἁμαρτίας εἰς τὸ μέσον φέρουσα. τούτῳ μάλιστα συγχρῆται ὡς ἀναγκαίῳ τῷ τρόπῳ τῆς παιδαγωγίας διὰ τὸ ἔκλυτον τῆς τῶν πολλῶν πίστεως. λέγει μὲν γὰρ διὰ Ἡσαΐου· „ἐγκατελίπετε τὸν κύριον καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ“ ***). λέγει δὲ καὶ διὰ Ἱερεμίου· „ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖω ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος καὶ ὤρυξαν λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συσχεῖν ὕδωρ“ †). καὶ πάλιν διὰ τοῦ
P. 54 αὐτοῦ· „ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλὴμ, διὰ
Sylb. τοῦτο εἰς σάλον ἐγένετο· πάντες οἱ δοξάζοντες αὐτὴν ἠτίμασαν αὐτὴν, ὅτι εἶδον ἀσχημοσύνην αὐτῆς“ ††). τὸ δὲ αὐστηρὸν τοῦ ἐλέγχου καὶ ἐπιδεικτικὸν διὰ Σολομῶντος παραμυθούμενος λέγει αἰνιττόμενος κατὰ τὸ παρασιωπώμενον τὸ φιλότεκνον τῆς παιδαγωγίας· „υἱέ μου, μὴ ὀλιγώρει παιδείας P. 145
κυρίου μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν Pott.
γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα

---

*) Ierem. 1, 16 sq. 2, 13. 19. **) Psalm. 30, 1. ***) Ies. 1, 4. †) Ierem. 2, 12. 19. ††) Ibid. 1, 8.

υἱὸν, ὃν παραδέχεται"*), ὅτι „ἁμαρτωλὸς ἄνθρωπος ἐκκλίνει ἐλεγμόν"**). ἀκολούθως τοίνυν, „ἐλεγχέτω με δίκαιος", ἡ γραφὴ λέγει, „καὶ παιδευσάτω με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου"***).

§. 79. Φρένωσις δέ ἐστι ψόγος φρενῶν ἐμποιητικός. οὐδὲ τούτου ἀπέσχηται τοῦ τρόπου τῆς παιδαγωγίας, ἀλλὰ διὰ Ἱερεμίου φησίν· „ἕως τίνος κεκράξομαι καὶ οὐκ εἰσακούσονται; ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν"†). ὢ τῆς μακαρίας ἀνεξικακίας. καὶ πάλιν διὰ τοῦ αὐτοῦ· „ἀπερίτμητα πάντα τὰ ἔθνη, ὁ δὲ λαὸς οὗτος, ἀπερίτμητος καρδίᾳ††), ὅτι λαὸς ἀπειθής ἐστιν, οἱ υἱοὶ", φησὶν, „οἷς οὐκ ἔστι πίστις"†††). ἐπισκοπὴ δέ ἐστιν ἐπίπληξις σφοδρά. κέχρηται τῷ εἴδει τούτῳ ἐν εὐαγγελίῳ· „Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν"*). καὶ ἡ ἐπαναδίπλωσις τοῦ ὀνόματος ἰσχυρὰν τὴν ἐπίπληξιν πεποίηται. ὁ γὰρ εἰδὼς τὸν θεὸν πῶς τοὺς διακόνους τοῦ θεοῦ διώκει; „διὰ τοῦτο", φησὶν, „ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, λέγω γὰρ ὑμῖν ἀπάρτι· οὐ μὴ ἴδητέ με, ἕως ἂν εἴποιτε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου". εἰ γὰρ οὐ δέχεσθε τὴν φιλανθρωπίαν, ἐπιγνώσεσθε τὴν ἐξουσίαν.

§. 80. Λοιδορία δέ ἐστι λόγος ἐπιτεταμένος. κέχρηται δὲ τῇ λοιδορίᾳ ἐν φαρμάκου μοίρᾳ διὰ Ἡσαΐου λέγων· „οὐαὶ ἔθνος ἁμαρτωλὸν, υἱοὶ ἄνομοι, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν"**). κἀν τῷ εὐαγγελίῳ διὰ Ἰωάννου, „ὄφεις", φησὶ, „γεννήματα ἐχιδνῶν". ἔγκλησις δέ ἐστι ψόγος ἀδικούντων. τούτῳ τῷ παιδαγωγήματι διὰ Δαβὶδ κέχρηται· „λαὸς, ὃν οὐκ ἔγνων", λέγων, „ἐδούλευσέ

---

*) Prouerb. 3, 11 sq. **) Eccl. 32, 17. ***) Psalm. 141, 5. †) Ierem. 6, 10. ††) Ibid. 9, 26. †††) Ies. 30, 9. *) Math. 23, 37 — 39. **) Ies. 1, 3.

μοι· καὶ εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου, υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν" *). καὶ διὰ Ἱερεμίου· „καὶ ἔδωκα αὐτῇ βιβλίον ἀποστασίου καὶ οὐκ ἐφοβήθη ἀσύνθετος Ἰούδα" **). αὖθίς τε· „καὶ ἠθέτησεν εἰς ἐμὲ ὁ οἶκος P. 146 Ἰσραὴλ καὶ ὁ οἶκος Ἰούδα ἐψεύσατο τῷ κυρίῳ" ***). Pott. μεμψιμοιρία δέ ἐστι λάθριος ψόγος, τεχνικῇ βοηθείᾳ καὶ αὐτὴ σωτηρίαν οἰκονομουμένη ἐν παρακαλύμματι. κέχρηται δὲ αὐτῇ διὰ Ἱερεμίου· „πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυμμένη λαῶν; ἐγενήθη ὡσεὶ χήρα ἄρχουσα χωρῶν, ἐγενήθη εἰς φόρους, κλαίουσα ἔκλαυσεν ἐν νυκτί" †).

§. 81. Διάσυρσις δέ ἐστι ψόγος διασυρτικός, καὶ τούτῳ κέχρηται τῷ βοηθήματι ὁ θεῖος παιδαγωγὸς διὰ Ἱερεμίου λέγων· „ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας, καὶ οὐχ ὡς οἶκον ἐκάλεσάς με καὶ πατέρα καὶ ἄρχοντα τῆς παρθενίας σου" ††). καὶ „πόρνη καλὴ καὶ ἐπίχαρις ἡγουμένη φαρμάκων" †††). τεχνικῶς πάνυ τὴν παρθένον τῷ τῆς πορνείας ἐνυβρίσας ὀνόματι αὖθις ἐπὶ τὴν σεμνότητα ἐντρέπων μετακαλεῖται. κατανεμέσησις δέ ἐστιν ἐπιτίμησις νόμιμος ἢ ἐπιτίμησις τῶν ὁδῶν παρὰ τὸ προσῆκον ἐπαιρομένων. ταύτῃ διὰ Μωϋσέως ἐπαιδαγώγει, „τέκνα", λέγων, „μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός. οὐκ αὐτὸς οὗτος ὁ πατὴρ ἐκτήσατό σε" *); καὶ διὰ Ἡσαΐου φησίν· „οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες" **). καθόλου δὲ ἡ περὶ τὸν φόβον αὐτοῦ τεχνολογία σωτηρίας ἐστὶ πηγή, ἀγαθοῦ δέ γε τὸ σώζειν· „ἔλεος δὲ κυρίου ἐπὶ πᾶσαν σάρκα

*) Psalm. 18, 43—45. **) Ierem. 3, 8. ***) Ibid. 5, 10. 11. †) Thren. 1, 2. 3. ††) Ierem. 3, 3. 4. †††) Nahum. 3, 4. *) Deut. 32, 5. 6. **) Ies. 1, 23.

ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ, τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ καὶ τοὺς κατασπουδάζοντας εἰς κόλλησιν αὐτῷ" *), καὶ ταύτῃ τῇ ἀγωγῇ „ἑξακοσίας χιλιάδας πεζῶν" **), τοὺς ἐπισυναχθέντας, ἐν ῇ ἔσχον σκληροκαρδίᾳ, μαστιγῶν, ἐλεῶν, τύπτων, ἰώμενος, ἐν οἰκτιρμῷ καὶ παιδείᾳ διεφύλαξεν. „κατὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ ὁ ἔλεγχος αὐτοῦ" ***). καλὸν μὲν γὰρ τὸ μὴ ἁμαρτεῖν, ἀγαθὸν δὲ καὶ τὸν ἁμαρτάνοντα μετανοεῖν, ὥσπερ ἄριστον τὸ ὑγιαίνειν ἀεὶ, καλὸν δὲ καὶ τὸ ἀνασφῆλαι τῆς νόσου.

§. 82. Ταύτῃ τοὶ καὶ διὰ Σολομῶντος παραγγέλλεται· „σὺ μὲν ῥάβδῳ πάταξον τὸν υἱὸν, τὴν P. 147 Pott. δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥῦσαι" †). καὶ πάλιν· „μὴ ἀπόσχου νήπιον παιδεύων, εὔθυναι δὲ αὐτὸν ῥάβδῳ, οὐ γὰρ θανεῖται" ††). ἔλεγχος γὰρ καὶ ἐπίπληξις, ὥσπερ οὖν καὶ τοὔνομα αἰνίττεται, αὗται πληγαὶ ψυχῆς εἰσὶ, σωφρονίζουσαι τὰς ἁμαρτίας καὶ θάνατον ἀπείργουσαι, εἰς δὲ τὴν σωφροσύνην ἄγουσαι τοὺς εἰς ἀκολασίαν ὑποφερομένους. ταύτῃ τοὶ καὶ Πλάτων τὴν μεγίστην τῆς ἐπανορθώσεως δύναμιν καὶ τὴν κυριωτάτην κάθαρσιν τὸν ἔλεγχον εἰδὼς ἀκολούθως τῷ λόγῳ τὸν τὰ μέγιστα ἀκάθαρτον ὄντα ἀπαίδευτόν τε καὶ αἰσχρὸν γεγονέναι διὰ τὸ ἀνέλεγκτον εἶναι βούλεται, ᾗ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι. εἰ γὰρ „οἱ ἄρχοντες οὐκ εἰσὶ φόβος τῷ ἀγαθῷ" †††) ἔργῳ, πῶς ὁ φύσει ἀγαθὸς θεὸς φόβος ἔσται τῷ μὴ ἁμαρτάνοντι; „ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ", ᾗ φησὶν ὁ ἀπόστολος.

§. 83. Διὰ τοῦτό τοι καὶ αὐτὸς ὁ ἀπόστολος
P. 55 Sylb. ἐπιστύφει παρ᾽ ἕκαστα τὰς ἐκκλησίας κατ᾽ εἰκόνα κυρίου, καὶ συναισθόμενος τῆς ἑαυτοῦ παῤῥησίας

*) Eccles. 18, 13. 14. **) Cf. Exod. 12, 37. ***) Eccl. 16, 12. †) Prouerb. 23, 14. ††) Ibid. v. 19. †††) Rom. 13, 4. 5.

καὶ τῆς τῶν ἀκουόντων ἀσθενείας πρὸς τοὺς Γαλάτας λέγει· „ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν"*). ὡς δὲ οἱ ὑγιαίνοντες οὐ χρῄζουσιν ἰατροῦ**), παρ' ὅσον ἔρρωνται, οἱ δὲ νοσοῦντες ἐπιδέονται τῆς τέχνης, οὕτω καὶ ἡμεῖς οἱ ἐν τῷ βίῳ νοσοῦντες περί τε τὰς ἐπιθυμίας τὰς ἐπονειδίστους περί τε τὰς ἀκρασίας τὰς ἐπιψόγους καὶ περὶ τὰς ἄλλας τῶν παθῶν φλεγμονὰς τοῦ σωτῆρος ἐπιδεόμεθα, ὁ δὲ οὐ μόνον τὰ ἤπια ἐπιπάσσει φάρμακα***), ἀλλὰ καὶ τὰ στυπτικά. ἱστᾶσι γοῦν τῶν ἁμαρτιῶν τὰς νομὰς αἱ πικραὶ τοῦ φόβου ῥίζαι. διὸ καὶ σωτήριος, εἰ καὶ πικρός, ὁ φόβος. εἰκότως ἄρα σωτῆρος μὲν οἱ νοσοῦντες δεόμεθα, οἱ πεπλανημένοι δὲ τοῦ καθηγησομένου καὶ οἱ τυφλοὶ τοῦ φωταγωγήσοντος καὶ οἱ διψῶντες τῆς πηγῆς τῆς ζωτικῆς, ἀφ' ἧς οἱ μεταλαμβάνοντες οὐκέτι διψήσουσι, καὶ οἱ νεκροὶ δὲ τῆς ζωῆς ἐνδεεῖς καὶ τοῦ ποιμένος τὰ πρόβατα καὶ οἱ παῖδες τοῦ παιδαγωγοῦ, ἀλλὰ καὶ πᾶσα ἡ ἀνθρωπότης Ἰησοῦ, ἵνα μὴ ἀνάγωγοι καὶ ἁμαρτωλοὶ εἰς τέλος τῇ καταδίκῃ ἐμπέσωμεν, διακριθῶμεν δὲ τῶν ἀχυρμιῶν καὶ εἰς τὴν πατρῴαν ἀποθήκην σωρευθῶμεν. τὸ γὰρ πτύον ἐν τῇ χειρὶ τοῦ κυρίου, ᾧ [P. 148 Pott.] ἀποκρίνεται τοῦ πυροῦ τὸ ἄχυρον τὸ ὀφειλόμενον τῷ πυρί†).

§. 84. Ἐξὸν δέ, εἰ βούλεσθε, τοῦ παναγίου ποιμένος καὶ παιδαγωγοῦ τοῦ παντοκράτορος καὶ πατρικοῦ λόγου τὴν ἄκραν σοφίαν καταμανθάνειν ἡμῖν, ἔνθα ἀλληγορεῖ, „ποιμένα"††) ἑαυτὸν προβάτων λέγων· ἔστι δὲ παιδαγωγὸς νηπίων. φησὶ γοῦν διὰ Ἰεζεκιὴλ πρὸς τοὺς πρεσβυτέρους ἀποταθεὶς καί τινα αὐτοῖς σωτήριον παρατιθέμενος εὐλόγου φροντίδος ὑπογραμμόν· „καὶ τὸ χωλὸν καταδή-

*) Galat. 4, 16. **) Cf. Luc. 5, 31. ***) Cf. Hom. Iliad. δ. 218. †) Cf. Matth. 3, 12. Luc. 3, 17. ††) Ioann. 10, 11 14.

σω καὶ τὸ ὀχλούμενον ἰάσομαι καὶ τὸ πλανώμενον ἐπιστρέψω καὶ βοσκήσω αὐτοὺς ἐγὼ εἰς τὸ ὄρος τὸ ἅγιόν μου" *). ταῦτ' ἐστὶν ἀγαθοῦ ποιμένος ἐπαγγέλματα· βόσκησον ἡμᾶς τοὺς νηπίους ὡς πρόβατα. ναὶ, δέσποτα, τῆς σῆς πλήρωσον νομῆς τῆς δικαιοσύνης, ναὶ, παιδαγωγὲ, ποίμανον ἡμᾶς εἰς τὸ ἅγιόν σου ὄρος, πρὸς τὴν ἐκκλησίαν, τὴν ὑψουμένην, τὴν ὑπερνεφῆ, τὴν ἁπτομένην οὐρανῶν. „καὶ ἔσομαι", φησὶν, „αὐτῶν ποιμὴν καὶ ἔσομαι ἐγγὺς αὐτῶν" **), ὡς ὁ χιτὼν τοῦ χρωτὸς αὐτῶν· σῶσαι βούλεταί μου τὴν σάρκα, περιβαλὼν τὸν χιτῶνα τῆς ἀφθαρσίας, καὶ τὸν χρῶτά μου κέχρικεν. „καλέσουσί με", φησὶ, „καὶ ἐρῶ ἰδοὺ πάρειμι" ***). θᾶττον ὑπήκουσας ἢ προσεδόκησα, δέσποτα· „καὶ ἐὰν καταβαίνωσιν, οὐκ ὀλισθήσουσι, λέγει κύριος" †). οὐ γὰρ πεσούμεθα εἰς φθορὰν οἱ διαβαίνοντες εἰς ἀφθαρσίαν, ὅτι ἀνθέξεται ἡμῶν αὐτὸς, ἔφη γὰρ αὐτὸς καὶ ἠθέλησεν αὐτός.

§. 85. Τοιοῦτος ἡμῶν ὁ παιδαγωγὸς ἀγαθὸς ἐνδίκως „οὐκ ἦλθον", φησὶ, „διακονηθῆναι, ἀλλὰ διακονῆσαι" ††). διὰ τοῦτο εἰσάγεται, ἐν τῷ εὐαγγελίῳ „κεκμηκὼς" †††) ὁ κάμνων ὑπὲρ ἡμῶν καὶ δοῦναι τὴν ψυχὴν τὴν ἑαυτοῦ λύτρον ἀντὶ πολλῶν *) ὑπισχνούμενος. τοῦτον γὰρ μόνον ὁμολογεῖ ἀγαθὸν εἶναι ποιμένα· μεγαλόδωρος οὖν ὁ τὸ μέγιστον ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἐπιδιδοὺς καὶ μεγαλωφελὴς καὶ φιλάνθρωπος, ὅτι καὶ ἄνθρωπος, ἐξὸν εἶναι κύριον, ἀδελφὸς εἶναι βεβούληται, ὁ δὲ καὶ εἰς τοσοῦτον ἀγαθὸς, ὥστε ἡμῶν καὶ ὑπεραποθανεῖν. ἀλλὰ καὶ ἡ δικαιοσύνη κέκραγεν αὐτοῦ· „ἐὰν ὀρθοὶ πρός με ἥκητε, κἀγὼ ὀρθὸς πρὸς ὑμᾶς, ἐὰν πλάγιοι πορεύησθε, κἀγὼ πλάγιος, λέγει κύριος τῶν δυνά-

*) Ezech. 34, 14 — 16. **) Ibidem. ***) Ies. 38, 9. †) Ibid. 43, 2. ††) Matth. 20, 28. Marc. 10, 45. †††) Ioann. 4, 6. *) Cf. Matth. 20, 28.

μεων" *), τὰς ἐπιπλήξεις τῶν ἁμαρτωλῶν πλαγίας αἰνιττόμενος ὁδούς· ἡ γὰρ εὐθεῖα καὶ κατὰ φύσιν, ἣν αἰνίττεται τῷ ἰῶτα τοῦ Ἰησοῦ, ἡ ἀγαθοσύνη αὐτοῦ, ἡ πρὸς τοὺς ἐξ ὑπακοῆς πεπιστευκότας P. 149 ἀμετακίνητός τε καὶ ἀρρεπής· „ἐπειδὴ ἐκάλουν καὶ Pott. οὐχ ὑπηκούετε, λέγει κύριος, ἀλλὰ ἀκύρους ἐποιεῖτε τὰς ἐμὰς βουλὰς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις οὐ προσείχετε" **). οὕτως ὁ κυριακὸς ἔλεγχος ὠφελιμώτατος.

§. 86. Περὶ τούτων καὶ διὰ Δαβὶδ λέγει· „γενεὰ σκολιὰ καὶ παραπικραίνουσα, γενεὰ ἥτις οὐ κατηύθυνε τὴν καρδίαν ἑαυτῆς καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς, οὐκ ἐφυλάξαντο τὴν διαθήκην τοῦ θεοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι" ***). αὗται αἰτίαι παραπικρασμοῦ, δι' ἃς ὁ κριτὴς ἔρχεται τὴν δίκην ἐποίσων τοῖς τὴν εὐζωΐαν ἑλέσθαι μὴ βεβουλημένοις. διὰ τοῦτο αὐτοῖς ταχύτερον ἐνθένδε προσενήνεκται, εἴ πως ἀναχαιτίσαιεν τῆς ἐπὶ τὸν θάνατον ὁρμῆς. λέγει γοῦν διὰ Δαβὶδ σαφεστάτην αἰτίαν τῆς ἀπειλῆς· „οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ, ὅταν ἀπέκτεινεν αὐτοὺς, ἐξεζήτουν αὐτὸν καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν θεὸν καὶ ἐμνήσθησαν, ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστὶ καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστίν" †). οὕτως οἶδεν ἐπιστρέφοντας αὐτοὺς διὰ τὸν φόβον, τῆς δὲ φιλανθρωπίας αὐτοῦ καταπεφρονηκότας. ὀλιγωρεῖται μὲν γὰρ ὡς ἐπίπαν τὸ ἀγαθὸν, χρηστευόμενον ἀεὶ, θεραπεύεται δὲ ὑπομιμνήσκων τῷ φιλανθρώπῳ τῆς δικαιοσύνης φόβῳ.

§. 87. Διττὸν δὲ τὸ εἶδος τοῦ φόβου, ὧν τὸ μὲν ἕτερον γίνεται μετὰ αἰδοῦς, ᾧ χρῶνται πολῖται μὲν πρὸς ἡγεμόνας ἀγαθοὺς καὶ ἡμεῖς πρὸς τὸν θεὸν, καθάπερ οἱ παῖδες οἱ σώφρονες πρὸς τοὺς πατέρας· „ἵππος γὰρ", φησὶν, „ἀδάμαστος ἐκβαίνει σκληρὸς,

---

*) Cf. Ierem. 6. Leuit. 26 etc. **) Prouerb. 1, 24 sq. ***) Psalm. 58, 8. 10. †) Ibid. v. 32 — 35.

καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής" *). τὸ δὲ ἕτερον εἶδος τοῦ φόβου μετὰ μίσους γίνεται, ᾧ δοῦλοι πρὸς δεσπότας κέχρηνται χαλεποὺς, καὶ Ἑβραῖοι δε- P. 56 Sylb. σπότην ποιήσαντες οὐ πατέρα τὸν θεόν. πολλῷ δὲ οἶμαι καὶ τῷ παντὶ τὸ ἑκούσιον καὶ κατὰ προαίρεσιν τοῦ κατὰ ἀνάγκην εἰς εὐσέβειαν διαφέρει. „αὐτὸς γὰρ", φησὶν, „οἰκτίρμων ἐστὶν, ἰάσεται τὰς ἁμαρτίας αὐτῶν καὶ οὐ διαφθερεῖ, καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ καὶ οὐκ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ" **). ὅρα πῶς τὸ δίκαιον ἐπιδείκνυται τοῦ παιδαγωγοῦ τὸ περὶ τὰς ἐπιτιμήσεις, καὶ τὸ ἀγαθὸν τοῦ θεοῦ τὸ περὶ τὰς οἰκτειρήσεις. διὰ τοῦτο ὁ Δαβὶδ, τουτέστι τὸ πνεῦμα τὸ δι' αὐτοῦ, ἄμφω περιλαβὼν ἐπὶ τοῦ αὐτοῦ ψάλλει θεοῦ· „δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σοῦ, „ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σοῦ" ***), τῆς αὐτῆς εἶναι δυνάμεως ὁμολογεῖ καὶ κρίνειν καὶ εὐεργετεῖν. ἅμα γὰρ ἀμφοῖν ἡ ἐξουσία P. 150 Pott. ἡ κρίσις τοῦ δικαίου διακρίνουσα τὰ ἐναντία.

§. 88. Καὶ ὁ αὐτὸς δίκαιος καὶ ἀγαθὸς, ὁ ὄντως θεὸς, ὁ ὢν αὐτὸς τὰ πάντα καὶ τὰ πάντα αὐτὸς, ὅτι αὐτὸς θεὸς, ὁ μόνος θεός. ὡς γὰρ τὸ ἔσοπτρον τῷ αἰσχρῷ οὐ κακὸν, ὅτι δεικνύει αὐτὸν οἷός ἐστιν, καὶ ὡς ὁ ἰατρὸς τῷ νοσοῦντι οὐ κακὸς ὁ τὸν πυρετὸν ἀναγγέλλων αὐτοῦ — οὐ γὰρ αἴτιος τοῦ πυρετοῦ ὁ ἰατρὸς, ἀλλὰ ἔλεγχός ἐστι τοῦ πυρετοῦ —, οὕτως οὐδὲ ὁ ἐλέγχων δύσνους τῷ κάμνοντι τὴν ψυχήν· οὐ γὰρ ἐντίθησι τὰ πλημμελήματα, τὰ δὲ προσόντα ἐπιδείκνυσιν ἁμαρτήματα εἰς τὴν τῶν ὁμοίων ἐπιτηδευμάτων ἀποτροπήν. ὥστε ἀγαθὸς μὲν ὁ θεὸς δι' ἑαυτὸν, δίκαιος δὲ ἤδη δι' ἡμᾶς, καὶ τοῦτο ὅτι ἀγαθός. τὸ δίκαιον δὲ ἡμῖν διὰ τοῦ λόγου ἐνδείκνυται τοῦ ἑαυτοῦ ἐκεῖθεν ἄνωθεν, ὅθεν

*) Eccles. 30, 8. **) Psalm. 78, 38. ***) Ibid. 89, 14.

γέγονε πατήρ. πρὶν γὰρ κτίσιν γενέσθαι θεὸς ἦν, ἀγαθὸς ἦν, καὶ διὰ τοῦτο καὶ δημιουργὸς εἶναι καὶ πατὴρ ἠθέλησεν, καὶ ἡ τῆς ἀγάπης ἐκείνης σχέσις δικαιοσύνης γέγονεν ἀρχὴ καὶ τὸν ἥλιον ἐπιλάμποντος τὸν αὐτοῦ καὶ τὸν υἱὸν καταπέμποντος τὸν αὐτοῦ καὶ πρῶτος οὗτος τὴν ἐξ οὐρανῶν ἀγαθὴν κατήγγειλε δικαιοσύνην· „οὐδεὶς ἔγνω τὸν υἱόν, εἰ μὴ ὁ πατήρ", λέγων, „οὐδὲ τὸν πατέρα, εἰ μὴ ὁ υἱός" *). αὕτη ἡ ἀντιταλαντεύουσα γνῶσις ἐπίσης δικαιοσύνης ἀρχαίας σύμβολον, ἔπειτα δὲ ἐπὶ τοὺς ἀνθρώπους καταβέβηκεν ἡ δικαιοσύνη καὶ γράμματι καὶ σώματι τῷ λόγῳ καὶ τῷ νόμῳ εἰς μετάνοιαν τὴν ἀνθρωπότητα βιαζομένη σωτήριον· ἀγαθὴ γὰρ ἦν. ἀλλ' οὐχ ὑπακούεις τῷ θεῷ· σεαυτὸν αἰτιῶ τὸν κριτὴν ἐπισπώμενος.

Cap. X.

Ὅτι ὁ αὐτὸς θεὸς διὰ τοῦ αὐτοῦ λόγου καὶ ἀπείργει τῶν ἁμαρτιῶν ἀπειλῶν καὶ σώζει τὴν ἀνθρωπότητα παρακαλῶν.

§. 89. *Εἰ* τοίνυν τὴν περὶ τὸ ἐπιστύφειν τὴν ἀνθρωπότητα οἰκονομίαν ἀγαθὴν οὖσαν καὶ σωτήριον ἀναγκαίως ὑπὸ τοῦ λόγου παραλαμβανομένην ἐπεδείξαμεν πρός τε μετάνοιαν καὶ πρὸς τῶν ἁμαρτιῶν τὴν κώλυσιν εὔθετον γενομένην, ἑξῆς ἂν εἴη σκοπεῖν τὸ ἤπιον τοῦ λόγου· δίκαιος γὰρ οὗτος ἀποδέδεικται, καὶ τὰς ἰδίας παρατίθεται γνώμας τὰς πρὸς σωτηρίαν παρακλητικάς, δι' ὧν καὶ τὸ καλὸν καὶ τὸ συμφέρον πατρικῷ θελήματι γνωρίζειν ἡμῖν βούλεται. σκόπει δὲ ταῦτα. τὸ μὲν καλὸν τοῦ **P. 151**
ἐγκωμιαστικοῦ, τὸ δὲ συμφέρον τοῦ συμβουλευ- **Pott.**

*) Luc. 10, 22.

τικοῦ· καὶ γὰρ οὖν τοῦ μὲν συμβουλευτικοῦ σχέσις τὸ προτρεπτικὸν καὶ ἀποτρεπτικὸν, τοῦ δὲ ἐγκωμιαστικοῦ ἐπαινετικόν τε καὶ ψεκτικὸν γίνεται. πῶς γὰρ ἔχουσα ἡ διάνοια ἡ συμβουλευτικὴ προτρεπτικὴ γίνεται, καὶ πῶς ἔχουσα ἀποτρεπτική. ὡσαύτως δὲ καὶ τὸ ἐγκωμιαστικὸν πῶς μὲν ἔχον ψεκτικὸν γίνεται, πῶς δὲ ἔχον ἐπαινετικόν. περὶ ἃ καταγίνεται μάλιστα ὁ παιδαγωγὸς ὁ δίκαιος ὁ τοῦ ἡμετέρου συμφέροντος ἐστοχασμένος. ἀλλὰ γὰρ τὸ μὲν ψεκτικὸν καὶ ἀποτρεπτικὸν εἶδος ὑποδέδεικται ἡμῖν ἤδη πρότερον, νῦν δὲ αὖ τὸ προτρεπτικὸν καὶ ἐπαινετικὸν μεταχειριστέον, καὶ καθάπερ ἐπὶ ζυγοῦ τὰς ἰσοστασίους ἀντισηκώσωμεν τοῦ δικαίου πλάστιγγας.

§. 90. Τῇ μὲν οὖν ἐπὶ τὰ συμφέροντα προτροπῇ ὁ παιδαγωγὸς διὰ Σολομῶντος ὧδέ πως χρῆται· „ἐγὼ ὑμᾶς, ἄνθρωποι, παρακαλῶ καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ἐπακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ" *) καὶ τὰ ἑξῆς. συμβουλεύει δὲ τὰ σωτήρια, ὅτι ἡ συμβουλὴ πρὸς αἵρεσίν ἐστι καὶ φυγὴν ἐπιτήδειος. καθάπερ ποιεῖ διὰ τοῦ Δαβὶδ λέγων· „μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ" **). τῆς δὲ συμβουλίας μέρη τρία, τὸ μὲν ἐκ τῶν παρεληλυθότων χρόνων λαμβάνον τὰ παραδείγματα, οἷον τί ἔπαθον οἱ Ἑβραῖοι τῷ χρυσῷ εἰδωλολατρήσαντες ἐν μόσχῳ, καὶ τί ἔπαθον ἐκπορνεύσαντες καὶ τὰ ὅμοια, τὸ δὲ ἐκ τῶν παρόντων χρόνων κατανοούμενον, οἷον αἰσθητικῶς καταλαμβανόμενον, ὡς ἐκεῖνο εἴρηται πρὸς τοὺς ἐρομένους τὸν κύριον, εἰ αὐτὸς εἴη ὁ Χριστὸς ἢ ἄλλον περιμένομεν, „ἀπέλθετε καὶ εἴπατε Ἰωάννῃ· τυφλοὶ ἀναβλέπουσι, κωφοὶ ἀκούουσι, λεπροὶ καθαρίζονται, ἀνίστανται νεκροὶ, καὶ μακάριός ἐστιν

*) Prouerb. 8, 4. 6. **) Psalm. 1, 1 sq.

ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί"*). τοῦτ' ἄρα ἦν ὃ προφητεύων εἴρηκε Δαβίδ· „καθὼς ἠκούσαμεν, οὕτως καὶ εἴδομεν"**).

§. 91. Ἐκ δὲ τῶν μελλόντων τὸ τρίτον συν-
P. 57 ίσταται μέρος τῆς συμβουλίας, ᾧ τὰ ἀποβησό-
Sylb. μενα κελεύει φυλάττεσθαι, καθὸ κἀκεῖνο εἴρηται· „οἱ δὲ ἁμαρτίαις περιπεσόντες βληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων"***) καὶ τὰ παραπλήσια. ὡς ἐκ τούτων εἶναι συμφανὲς διὰ πάσης θεραπείας χωροῦντα τὸν κύριον εἰς σωτηρίαν ἐκκαλεῖσθαι τὴν ἀνθρωπότητα. τῇ δὲ παραμυθίᾳ παρηγορεῖ τὰ ἁμαρτήματα, μειῶν μὲν τὴν ἐπιθυμίαν, ἅμα δὲ καὶ ἐλπίδα ἐνδιδοὺς εἰς σωτηρίαν. φησὶ γὰρ διὰ Ἰεζεκιήλ·
„ἐὰν ἐπιστραφῆτε ἐξ ὅλης τῆς καρδίας καὶ εἴπητε, P. 152
πάτερ, ἀκούσομαι ὑμῶν, ὥσπερ λαοῦ ἁγίου"†). Pott.
καὶ πάλιν λέγει· „δεῦτε πάντες πρός με οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς"††), καὶ τὰ ἐπὶ τούτοις αὐτοπροσωπεῖ ὁ κύριος. σαφέστατα δὲ ἐπὶ τὴν ἀγαθοσύνην καλεῖ διὰ Σολομῶντος λέγων· „μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς εἶδε φρόνησιν· τὸ γὰρ ἀγαθὸν τῷ ζητοῦντι εὑρίσκεται, καὶ ὁρᾶσθαι τῷ εὑρόντι φιλεῖ"†††). ναὶ μὴν καὶ διὰ Ἱερεμίου τὴν φρόνησιν ἐξηγεῖται· „μακάριοί ἐσμεν Ἰσραὴλ", λέγων, „ὅτι τὰ ἀρεστὰ τῷ θεῷ γνωστὰ ἡμῖν ἐστι"*), γνωστὰ δὲ διὰ τοῦ λόγου, δι' ὃν μακάριοι καὶ φρόνιμοι. φρόνησις γὰρ καὶ ἡ γνῶσις διὰ τοῦ αὐτοῦ προφήτου μηνύεται λέγοντος, „ἄκουε, Ἰσραὴλ, ἐντολὰς ζωῆς, ἐνωτίσασθε γνῶναι φρόνησιν"**). διὰ δὲ Μωϋσέως ἔτι καὶ προσυπισχνεῖται δωρεὰν διὰ τὴν ὑπάρχουσαν φιλανθρωπίαν τοῖς σπεύδουσιν εἰς σωτηρίαν. φησὶ γάρ· „καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τὴν ἀγαθὴν, ἣν

---

*) Matth. 11, 3—6. Luc. 7, 19. 22 sq. **) Psalm. 48, 8. ***) Matth. 22, 13. 25, 30. †) Ezech. 18 et 33. ††) Matth. 11, 28. †††) Prouerb. 3, 13. *) Baruch. 4, 4. **) Ibid. 3, 9.

ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν"*), πρὸς δὲ, „καὶ εἰσάξω ὑμᾶς εἰς τὸ ὄρος τὸ ἅγιον, καὶ εὐφρανῶ ὑμᾶς"**), διὰ Ἡσαΐου λέγει.

§. 92. Ἔτι δὲ καὶ ἄλλο εἶδος αὐτοῦ παιδαγωγίας ὁ μακαρισμὸς, καὶ, „μακάριος ἐκεῖνος", διὰ Δαβὶδ λέγει, „ὁ μὴ ἁμαρτὼν, καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται" — ταυτὶ μὲν καὶ πρὸς τὴν ἀνάστασιν ᾐνίξατο — „καὶ πάντα ὅσα ἂν ποιήσῃ, κατευοδωθήσεται αὐτῷ"***), τοιούτους ἡμᾶς γεγονέναι βούλεται, ἵνα ὦμεν μακάριοι. ἔμπαλιν δὲ τὸ ἀντισοῦν τῷ τῆς δικαιοσύνης ἐνδεικνύμενος ζυγῷ· „οὐχ οὕτως", φησὶν, „οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς†)". τὸ ἐπιτίμιον τῶν ἁμαρτωλῶν καὶ τὸ εὐδιαφόρητον αὐτῶν καὶ τὸ ὑπηνέμιον δείξας ὁ παιδαγωγὸς ἀπετρέψατο τῆς αἰτίας διὰ τῆς ἐπιτιμίας, καὶ τὴν κόλασιν ἐπανατεινάμενος τὴν κατ' ἀξίαν τῆς εὐεργεσίας ἐνεδείξατο τὴν εὐποιίαν, τεχνικώτατα ἐπὶ τὴν χρῆσιν ἡμᾶς καὶ τὴν κτῆσιν τῶν καλῶν διὰ ταύτης καλῶν. ναὶ μὴν καὶ ἐπὶ τὴν γνῶσιν παρακαλεῖ διὰ μὲν τοῦ Ἱερεμίου λέγων· „τῇ ὁδῷ τοῦ θεοῦ εἰ ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ εἰς τὸν αἰῶνα"††). ὑποδεικνύων γὰρ ἐνταῦθα τὸν μισθὸν τῆς γνώσεως εἰς ἔρωτα αὐτῆς P. 153 Pott. τοὺς συνετοὺς ἐκκαλεῖται, καὶ τῷ πεπλανημένῳ συγγνώμην νέμων· „ἐπίστρεφε γὰρ, ἐπίστρεφε, ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλον αὐτοῦ"†††) λέγει. ὁρᾷς τὸ ἀγαθὸν τῆς δικαιοσύνης μετανοεῖν συμβουλευούσης;

§. 93. Ἔτι δὲ διὰ Ἱερεμίου φωτίζει τοῖς πεπλανημένοις τὴν ἀλήθειαν· „τάδε λέγει κύριος· στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ ἴδετε καὶ ἐρωτήσατε τρίβους κυ-

---

*) Deut. 31, 20. **) Ies. 56, 7. ***) Psalm. 1, 1 sq. †) Ibid. v. 4. ††) Baruch. 3, 13. †††) Ierem. 6, 9.

ρίου αἰωνίας, ποία ἐστὶν ἡ τρίβος ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν"*). ἄγει δὲ ἐπὶ τὴν μετάνοιαν σωτηρίας χάριν τῆς ἡμῶν. διὰ τοῦτο φησίν· „ἐὰν μετανοήσῃς, περικαθαριεῖ κύριος τὴν καρδίαν σοῦ καὶ τὴν καρδίαν τοῦ σπέρματός σου"**). ἐνῆν μὲν οὖν συνηγόρους ἡμῖν τῆς ζητήσεως ταύτης ἐπισπάσασθαι φιλοσόφους, οἵ φασιν ἐπαινετὸν εἶναι μόνον τὸν τέλειον, ψεκτὸν δὲ τὸν φαῦλον τυγχάνειν. ἀλλ' ἐπεὶ συκοφαντοῦσί τινες τὸ μακάριον, ὡς πρᾶγμα οὐκ ἔχον οὔτε αὐτὸ οὔτε ἄλλῳ τῷ παρεχόμενον, τὴν φιλανθρωπίαν ἀσυνετοῦντες αὐτοῦ, διὰ τούτους δὴ καὶ τοὺς ἔτι τὸ δίκαιον οὐ προσάπτοντας τῷ ἀγαθῷ, ὅδε ὁ λόγος ἡμῖν παρετέθη. ἑπόμενον γὰρ ἦν φάσκειν ἡμᾶς τὸ ἐπιπληκτικὸν καὶ ψεκτικὸν εἶδος τῆς παιδαγωγίας ἁρμόδιον εἶναι τοῖς ἀνθρώποις, ἐπεὶ πάντας ἀνθρώπους φαύλους λέγουσι· σοφὸς δὲ ὁ θεὸς μόνος, ἀφ' οὗ ἡ σοφία, καὶ τέλειος μόνος, διὰ τοῦτο καὶ μόνος ἐπαινετός.

§. 94. Ἀλλὰ οὐ συγχρῶμαι τῷ λόγῳ τῷδε. φημὶ δ' οὖν ἔπαινον ἢ ψόγον ἢ ἐπαίνῳ τι ἐοικὸς καὶ ψόγῳ μάλιστα πάντων τοῖς ἀνθρώποις ἀναγκαιότατα φάρμακα. οἱ μὲν οὖν δυσίατοι, καθάπερ ὁ σίδηρος πρὸς τοῦ πυρὸς καὶ σφύρας καὶ ἄκμονος, τουτέστιν ἀπειλῆς, ἐλέγχου, ἐπιτιμήσεως, ἐλαύνονται, οἱ δὲ αὐτοὶ προσέχοντες τῇ πίστει οἷον αὐτοδίδακτοι καὶ προαιρετικοὶ αὔξονται τῷ ἐπαίνῳ· P. 154 Pott.

ἀρετὰ γὰρ ἐπαινεομένα
δένδρον ὣς ἀέξεται.

καί μοι δοκεῖ, συνεὶς τοῦτο ὁ Σάμιος παραγγέλλει Πυθαγόρας·

δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ τέρπου.

τὸ δὲ ἐπιπλήσσειν καὶ νουθετεῖν καλεῖται, τὸ δὲ ἐτυμολογεῖται, ἡ νουθέτησις, νοῦ ἐνθεματισμὸς, ὡς εἶναι τὸ ἐπιπληκτικὸν εἶδος νοῦ περιποιητικόν. ἀλλὰ γὰρ

*) Ierem. 6, 16. **) Deut. 30, 6.

μυρίαι ὅσαι προσεξεύρηνται παραγγελίαι εἰς κτῆσιν ἀγαθῶν καὶ φυγὴν κακῶν· „τοῖς γὰρ ἀσεβέσιν οὐκ ἔστιν εἰρήνη, λέγει κύριος" *). διὰ τοῦτο φυλάττεσθαι τοῖς νηπίοις διὰ Σολομῶντος παραγγέλλει· „υἱὲ, μὴ πλανήσωσί σε οἱ ἁμαρτωλοὶ μηδὲ πυρευθῇς μετ' αὐτῶν ὁδοὺς μηδὲ πορευθῇς, ἐὰν παρακαλέσωσί σε λέγοντες· ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος ἀθῴου,
P. 58 Sylb. κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, ἀφανίσωμεν αὐτὸν, ὥσπερ Ἅιδης ζῶντα" **).

§. 95. Τοῦτο μὲν οὖν καὶ περὶ τοῦ κυριακοῦ προφητεύεται πάθους, ὑποτίθεται δὲ καὶ διὰ Ἰεζεκιὴλ ἡ ζωὴ τὰς ἐντολάς· „ἡ ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθανεῖται, ὁ δὲ ἄνθρωπος ἔσται δίκαιος, ὁ ποιῶν τὴν δικαιοσύνην, οὐκ ἐπὶ τῶν ὀρέων φάγεται, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο ***) ἐπὶ τὰ ἐνθυμήματα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν οὐκ ἐγγιεῖ, καὶ ἄνθρωπον οὐ καταδυναστεύσει, καὶ ἐνεχυρασμὸν ὀφείλοντος ἀποδώσει καὶ ἅρπαγμα οὐχ ἁρπάσει, τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι δώσει καὶ γυμνὸν περιβαλεῖ, τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ οὐ δώσει καὶ πλεόνασμα οὐ λήψεται, καὶ ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, καὶ κρίμα δίκαιον ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ, ἐν τοῖς προστάγμασί μου πεπόρευται καὶ τὰ δικαιώματά μου πεφύλακται τοῦ ποιῆσαι αὐτά. δίκαιος οὗτός ἐστι, ζωῇ ζήσεται, λέγει κύριος" †). ταῦτα ὑποτύπωσιν Χριστιανῶν περιέχει πολιτείας καὶ προτροπὴν ἀξιόλογον εἰς μακάριον γέρας εὐζωΐας, ζωὴν αἰώνιον.

---

*) Ies. 48, 22. 57, 21. **) Prouerb, 1, 10 — 12. ***) Cf. Ezech. 18, 15. †) Ibid. 4 — 9.

Cap. XI.

P. 155 Pott.

Ὅτι διὰ νόμου καὶ προφητῶν ὁ λόγος ἐπαιδαγώγει.

§. 96. Ὁ μὲν δὴ τρόπος τῆς φιλανθρωπίας αὐτοῦ καὶ παιδαγωγίας ὡς ἐνῆν ἡμῖν ὑποδέδεικται. διόπερ παγκάλως αὐτὸς αὑτὸν ἐξηγούμενος „κόκκῳ νάπυος"*) εἴκασεν· καὶ τοῦ σπειρομένου λόγου τὸ πνευματικὸν καὶ τὸ πολύχουν τῆς φύσεως καὶ τὸ μεγαλοπρεπὲς ἅμα καὶ εὐαγὲς τῆς δυνάμεως τῆς λογικῆς, πρὸς δὲ καὶ τῆς ἐπιτιμήσεως τὸ δηκτικὸν καὶ τὸ ἀνακαθαρτικὸν ὀνησιφόρον εἶναι ὑπὸ δριμύτητος αἰνιττόμενος. δι᾽ ὀλίγου γοῦν τοῦ κόκκου τοῦ ἀλληγορουμένου πάμπολυ τὴν σωτηρίαν ἁπάσῃ χαρίζεται τῇ ἀνθρωπότητι. τὸ μὲν οὖν μέλι γλυκύτατον ὂν χολῆς ἐστι γεννητικὸν, ὡς τὸ ἀγαθὸν καταφρονήσεως, ὃ δὴ αἴτιον τοῦ ἐξαμαρτάνειν, τὸ δὲ νάπυ καὶ τῆς χολῆς ἐστὶ μειωτικὸν, τουτέστι τοῦ θυμοῦ, καὶ τοῦ φλέγματος διακοπτικὸν, τουτέστι τοῦ τύφου, ἐξ οὗ λόγου ἡ ἀληθὴς τῆς ψυχῆς ὑγεία καὶ ἡ ἀΐδιος εὐκρασία περιγίνεται. πάλαι μὲν οὖν διὰ Μωϋσέως ὁ λόγος ἐπαιδαγώγει, ἔπειτα δὲ καὶ διὰ προφητῶν, προφήτης δὲ καὶ ὁ Μωϋσῆς· ὁ γὰρ νόμος παιδαγωγία παίδων ἐστὶ δυσηνίων. „χορτασθέντες γοῦν", φησὶν, „ἀνέστησαν παίζειν"**), τὸ ἄλογον τῆς τροφῆς πλήρωμα χόρτασμα, οὐ βρῶμα εἰπών.

§. 97. Ἐπεὶ δὲ ἀλόγως κορεσθέντες ἀλόγως ἔπαιζον, διὰ τοῦτο αὐτοῖς καὶ ὁ νόμος καὶ ὁ φόβος εἵπετο εἰς ἀνακοπὴν ἁμαρτημάτων καὶ προτροπὴν κατορθωμάτων, καταρτίζων εὐηκοΐαν εἰς τοὺς τοῦ ἀληθοῦς παιδαγωγοῦ, τὴν εὐπείθειαν, εἷς καὶ ὁ αὐτὸς ὢν λόγος πρὸς τὸ κατεπεῖγον ἁρμοττόμενος, τὸν νόμον· „δοθῆναι" γάρ φησιν ὁ Παῦλος „παιδαγωγὸν εἰς Χριστόν"***). ὡς ἐκ τούτου συμφανὲς εἶναι

*) Matth. 13, 31. Luc. 13, 9. **) Exod. 32, 6. 1 Cor. 10, 7. ***) Galat. 3, 24.

ἕνα μόνον ἀληθινὸν, ἀγαθὸν, δίκαιον, κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν τοῦ πατρὸς υἱὸν Ἰησοῦν, τὸν λόγον τοῦ θεοῦ, παιδαγωγὸν ἡμῶν εἶναι, ᾧ παρέδωκεν ἡμᾶς ὁ θεὸς, ὡς πατὴρ φιλόστοργος γνησίῳ παιδαγωγῷ παρακατατιθέμενος τὰ παιδία, διαρρήδην παραγγείλας ἡμῖν· „οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε" *). ἀξιόπιστος ὁ θεῖος παιδαγωγὸς τρισὶ τοῖς καλλίστοις κεκοσμημένος, ἐπιστήμῃ, εὐνοίᾳ, παρρησίᾳ. ἐπιστήμῃ μὲν ὅτι σοφία ἐστὶ P. 156 πατρική — πᾶσα σοφία παρὰ κυρίου καὶ μετ᾽ αὐτοῦ Pott. ἐστὶν εἰς τὸν αἰῶνα — **), παρρησίᾳ δὲ ὅτι θεὸς καὶ δημιουργός — „πάντα γὰρ δι᾽ αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν" — ***), εὐνοίᾳ δὲ ὅτι μόνος ὑπὲρ ἡμῶν ἱερεῖον ἑαυτὸν ἐπιδέδωκεν· „ὁ γὰρ ἀγαθὸς ποιμὴν τὴν ψυχὴν ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων" †) καὶ δὴ ἔθηκεν. εὔνοια δὲ οὐδὲν ἀλλ᾽ ἢ βούλησίς ἐστιν ἀγαθοῦ τοῦ πλησίον αὐτοῦ χάριν ἐκείνου.

Cap. XII.

Ὅτι ἀναλόγως τῇ πατρικῇ διαθέσει κέχρηται ὁ παιδαγωγὸς αὐστηρίᾳ καὶ χρηστότητι.

§. 98. Τούτων ἤδη προδιηνυσμένων ἑπόμενον ἂν εἴη τὸν παιδαγωγὸν ἡμῶν Ἰησοῦν τὸν βίον ἡμῖν τὸν ἀληθινὸν ὑποτυπώσασθαι καὶ τὸν ἐν Χριστῷ παιδαγωγῆσαι ἄνθρωπον. ἔστι δὲ ὁ χαρακτηρισμὸς οὐ φοβερὸς ἄγαν αὐτοῦ οὐδὲ ἔκλυτος κομιδῇ ὑπὸ χρηστότητος. ἐντέλλεται δὲ ἅμα καὶ χαρακτηρίζεται τὰς ἐντολὰς, αὐτὰς ἐκτελεῖν δύνασθαι. καί μοι δοκεῖ αὐτὸς οὗτος πλάσαι μὲν τὸν ἄνθρωπον ἐκ χοὸς, ἀναγεννῆσαι δὲ ὕδατι, αὐξῆσαι δὲ πνεύματι, παιδαγω-

*) Matth. 17, 5. **) Cf. Prouerb. 2, 6. ***) Ioann. 1, 3. †) Ibid. 10, 11.

γῆσαι δὲ ῥήματι εἰς υἱοθεσίαν καὶ σωτηρίαν ἁγίαις ἐντολαῖς κατευθύνων, ἵνα δὴ τὸν γηγενῆ εἰς ἅγιον καὶ ἐπουράνιον μεταπλάσας ἐκ προσβάσεως ἄνθρωπον, ἐκείνην τὴν θεϊκὴν μάλιστα πληρώσῃ φωνήν· „ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμῶν"*). καὶ δὴ γέγονεν ὁ Χριστὸς τοῦτο πλῆρες, ὅπερ εἴρηκεν ὁ θεὸς, ὁ δὲ ἄλλος ἄνθρωπος κα-
P. 59 Sylb. τὰ μόνην νοεῖται τὴν εἰκόνα. ἡμεῖς δὲ, ὦ παῖδες ἀγαθοῦ πατρὸς, ἀγαθοῦ παιδαγωγοῦ θρέμματα, πληρώσωμεν τὸ θέλημα τοῦ πατρὸς, ἀκούωμεν τοῦ λόγου καὶ τὸν σωτήριον ὄντως ἀναμαξώμεθα τοῦ σωτῆρος ἡμῶν βίον· ἐνθένδε ἤδη τὴν ἐπουράνιον μελετῶντες πολιτείαν, καθ' ἣν ἐκθεούμενοι τὸ P. 157 Pott.
ἀειθαλὲς εὐφροσύνης ἀκήρατον εὐωδίας ἐπαλειφώμεθα χρίσμα, ἐναργὲς ὑπόδειγμα ἀφθαρσίας τὴν πολιτείαν ἔχοντες τοῦ κυρίου καὶ τὰ ἴχνη τοῦ θεοῦ διώκοντες, ᾧ μόνῳ προσήκει σκοπεῖν καὶ δὴ μέλει πῶς καὶ τίνα τρόπον ὑγιεινότερος ἂν ὁ τῶν ἀνθρώπων βίος γένοιτο. ἀλλὰ καὶ πρὸς αὐτάρκειαν τοῦ βίου καὶ ἀπεριττότητα, ἔτι τε εὔζωνόν τε καὶ εὔλυτον ὁδοιπορικὴν ἑτοιμότητα, εἰς ἀϊδιότητα εὐζωΐας παρασκευάζει, αὐτὸν αὐτοῦ ἕκαστον ἡμῶν ταμιεῖον εἶναι διδάσκων· „μὴ γὰρ μεριμνᾶτε", φησὶ, „περὶ τῆς αὔριον"**), χρῆναι λέγων τὸν ἀπογεγραμμένον Χριστῷ αὐτάρκη καὶ αὐτοδιάκονον καὶ προσέτι ἐφήμερον ἐπαναιρεῖσθαι βίον. οὐ γὰρ ἐν πολέμῳ, ἀλλ' ἐν εἰρήνῃ παιδαγωγούμεθα.

§. 99. Πολέμῳ μὲν οὖν πολλῆς δεῖ τῆς παρασκευῆς, δαψιλείας τε χρῄζει ἡ τρυφή, εἰρήνη δὲ καὶ ἀγάπη ἀφελεῖς καὶ ἀπράγμονες ἀδελφαὶ οὐχ ὅπλων δέονται, οὐ παρασκευῆς ἀσώτου, λόγος ἐστὶν αὐταῖς ἡ τροφή. ὁ δὲ τὴν ἐνδεικτικὴν καὶ παιδευτικὴν ἡγεμονίαν κεκληρωμένος λόγος, παρ' οὗ τὸ εὐτελές τε καὶ ἄτυφον καὶ τὸ ὅλον φιλελεύθερον καὶ φιλάνθρω-

---

*) Genes. 1, 26. **) Matth. 6, 34.

που φιλόκαλόν τε ἐκμανθάνομεν, τοῦτον, εἰ καὶ ἑνὶ λόγῳ μετ' οἰκειότητος ἀρετῆς ἐξομοιούμενοι τῷ θεῷ, οὐκ εἰς ἐκμέλειαν καὶ ῥαθυμίαν μεταχωρεῖν δεῖ, ἀλλ' ἐκπόνει καὶ μὴ ἀπόκαμνε· ἔσῃ γὰρ οἷος οὐκ ἐλπίζεις οὐδ' εἰκάσαι δύναιο ἄν. ὡς δὲ ἔστι τις ἄλλη μὲν φιλοσόφων ἀγωγὴ, ἄλλη δὲ ῥητόρων, παλαιστῶν δὲ ἄλλη, οὕτως ἐστὶ γενναία διάθεσις φιλοκάλῳ προαιρέσει κατάλληλος ἐκ τῆς Χριστοῦ παιδαγωγίας περιγενομένη, καὶ τὰ τῆς ἐνεργείας πεπαιδευμέναι σεμναὶ διαπρέπουσι, πορεία τε καὶ κατάκλισις καὶ τροφὴ καὶ ὕπνος καὶ κοίτη καὶ δίαιτα καὶ ἡ λοιπὴ παιδεία· οὐ γὰρ ὑπέρτονος ἡ τοιάδε ἀγωγὴ τοῦ λόγου, ἀλλ' εὔτονος.

§. 100. Ταύτῃ οὖν καὶ σωτὴρ ὁ λόγος κέκληται, ὁ τὰ λογικὰ ταῦτα ἐξευρὼν ἀνθρώποις εἰς εὐαισθησίαν καὶ σωτηρίαν φάρμακα, ἐπιτηρῶν μὲν τὴν εὐκαιρίαν, ἐλέγχων δὲ τὴν βλάβην καὶ τὰς αἰτίας τῶν παθῶν διηγούμενος καὶ τὰς ῥίζας τῶν ἀλόγων ἐπικόπτων ἐπιθυμιῶν, παραγγέλλων μὲν ὧν ἀπέχεσθαι δεῖ, τὰς ἀντιδότους δὲ ἁπάσας τῆς σωτη- P. 158 Pott.
ρίας τοῖς νοσοῦσι προσφέρων· τοῦτο γὰρ τὸ μέγιστον καὶ βασιλικώτατον ἔργον τοῦ θεοῦ σώζειν τὴν ἀνθρωπότητα. τῷ μὲν οὖν ἰατρῷ οὐδὲ πρὸς ὑγείαν συμβουλεύοντι ἄχθονται οἱ κάμνοντες, τῷ δὲ παιδαγωγῷ τῷ θείῳ πῶς οὐκ ἂν ὁμολογήσαιμεν τὴν μεγίστην χάριν μὴ σιωπῶντι μηδὲ παρενθυμουμένῳ τὰς εἰς ἀπώλειαν φερούσας ἀπειλὰς, ἀλλὰ καὶ ταύτας διελέγχοντι καὶ τὰς ὁρμὰς τὰς εἰς αὐτὰς διατεινούσας ἀνακόπτοντι καὶ τὰς καθηκούσας πρὸς τὴν ὀρθὴν πολιτείαν ὑποθημοσύνας ἐκδιδάσκοντι; πλείστην ἄρα ὁμολογητέον χάριν αὐτῷ. τὸ γάρτοι ζῶον τὸ λογικὸν, τὸν ἄνθρωπον λέγω, ἄλλο τι φαμὲν ἢ θεάσασθαι τὸ θεῖον δεῖν; θεάσασθαι δὲ καὶ τὴν ἀνθρωπίνην φύσιν φημὶ χρῆναι, ζῆν τε ὡς ὑφηγεῖται ἡ ἀλήθεια, ἀγαμένους ὑπερφυῶς τόν τε παιδαγωγὸν αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ, ὡς πρέποντα ἀλλήλοις ἐστὶ καὶ ἁρμόττοντα, καθ' ἣν εἰκόνα καὶ ἡμᾶς ἁρμοσαμένους χρὴ σφᾶς

αὐτοὺς πρὸς τὸν παιδαγωγὸν σύμφωνον τὸν λόγον ποιησαμένους τοῖς ἔργοις τῷ ὄντι ζῆν.

Cap. XIII.

Ὅτι ὡς τὸ κατόρθωμα κατὰ τὸν ὀρθὸν γίνεται λόγον, οὕτως ἔμπαλιν τὸ ἁμάρτημα παρὰ τὸν λόγον.

§. 101. Πᾶν τὸ παρὰ τὸν λόγον τὸν ὀρθὸν τοῦτο ἁμάρτημά ἐστιν. αὐτίκα γοῦν τὰ πάθη τὰ γενικώτατα ὧδέ πως ὁρίζεσθαι ἀξιοῦσιν οἱ φιλόσοφοι, τὴν μὲν ἐπιθυμίαν ὄρεξιν ἀπειθῆ λόγῳ, τὸν δὲ φόβον ἔκλυσιν ἀπειθῆ λόγῳ, ἡδονὴν δὲ ἔπαρσιν ψυ- P. 159
χῆς ἀπειθῆ λόγῳ. εἰ τοίνυν ἡ πρὸς τὸν λόγον Pott.
ἀπείθεια ἁμαρτίας ἐστὶ γεννητική, πῶς οὐχὶ ἐξ ἀνάγκης ἡ τοῦ λόγου ὑπακοή, ἣν δὴ πίστιν φαμέν, τοῦ καλουμένου καθήκοντος ἔσται περιποιητική; καὶ γὰρ ἡ ἀρετὴ αὐτὴ διάθεσίς ἐστι ψυχῆς σύμφωνος ὑπὸ τοῦ λόγου περὶ ὅλον τὸν βίον. ναὶ μὴν τὸ κορυφαιότατον αὐτὴν φιλοσοφίαν ἐπιτήδευσιν λόγου ὀρθότητος ἀποδιδόασιν. ὡς ἐξ ἀνάγκης εἶναι τὸ πλημμελούμενον πᾶν διὰ τὴν τοῦ λόγου διαμαρτίαν γινόμενον, καὶ εἰκότως καλεῖσθαι ἁμάρτημα. αὐτίκα γοῦν ὅτε ἥμαρτεν ὁ πρῶτος ἄνθρωπος καὶ παρήκουσε τοῦ θεοῦ· „καὶ παρωμοιώθη", φησί, „τοῖς κτήνεσιν ὁ ἄνθρωπος" *) παρὰ τὸν λόγον ἐξαμαρτών, εἰκότως ἄλογος νομισθεὶς εἰκάζεται κτήνεσιν.

§. 102. Ἐντεῦθεν καὶ ἡ σοφία λέγει· „ἵππος εἰς ὀχείαν ὁ φιλήδονος καὶ μοιχὸς ἀλογίστῳ κτήνει παρομοιωθείς", διὸ καὶ ἐπιφέρει· „παντὸς ὑποκάτω ἐπικαθημένου χρεμετίζει" **)· οὐκέτι, φησί, λαλεῖ ὁ ἄνθρωπος· οὐ γάρ ἐστι λογικὸς ἔτι ὁ παρὰ λόγον ἁμαρτάνων, θηρίον δὲ δὴ ἄλογον, ἔκδοτον ἐπιθυμίαις, ᾧ πᾶσαι ἐπικάθηνται ἡδοναί. τὸ δὲ κατορθούμενον κατὰ τὴν τοῦ λόγου ὑπακοὴν προσῆκον καὶ καθῆκον Στωϊκῶν ὀνομάζουσι παῖδες· τὸ μὲν οὖν κα-

*) Psalm. 49. 12, 20. **) Eccles. 33, 6.

P. 60 θῆκον προσῆκόν ἐστιν, ὑπακοὴ δὲ θεμελιοῦται
Sylb. ἐντολαῖς· αὗται δὲ ταῖς ὑποθήκαις αἱ αὐταὶ P. 160
οὖσαι τὴν ἀλήθειαν ἔχουσαι σκοπὸν, ἐπὶ τὸ ἔσχα- Pott.
τον ὀρεκτὸν, ὃ τέλος νοεῖται, παιδαγωγοῦσι, τέλος δέ ἐστι θεοσεβείας ἡ ἀΐδιος ἀνάπαυσις ἐν τῷ θεῷ, τοῦ δὲ αἰῶνός ἐστιν ἀρχὴ τὸ ἡμέτερον τέλος. τὸ μέντοι τῆς θεοσεβείας κατόρθωμα δι᾽ ἔργων τὸ καθῆκον ἐκτελεῖ· ὅθεν εἰκότως τὰ καθήκοντα περὶ τὰς πράξεις, οὐ τὰς λέξεις, συνίστανται· καὶ ἔστιν ἡ μὲν πρᾶξις ἡ τοῦ Χριστιανοῦ ψυχῆς ἐνέργεια λογικῆς κατὰ κρίσιν ἀστείαν καὶ ὄρεξιν ἀληθείας διὰ τοῦ συμφυοῦς καὶ συναγωνιστοῦ σώματος ἐκτελουμένη, καθῆκον δὲ ἀκόλουθον ἐν τῷ βίῳ, θεῷ καὶ Χριστῷ βούλημα ἓν, κατορθούμενον ἀϊδίῳ ζωῇ, καὶ γὰρ ὁ βίος ὁ Χριστιανῶν, ὃν παιδαγωγούμεθα νῦν, σύστημά τί ἐστι λογικῶν πράξεων, τουτέστι τῶν ὑπὸ τοῦ λόγου διδασκομένων ἀδιάπτωτος ἐνέργεια, ἣν δὴ πίστιν κεκλήκαμεν.

§. 103. Τὸ δὲ σύστημα ἐντολαὶ κυριακαὶ, αἳ δὴ δόξαι οὖσαι θεϊκαὶ ὑποθῆκαι πνευματικαὶ ἡμῖν αὐτοῖς ἀναγεγράφαται πρός τε ἡμᾶς αὐτοὺς καὶ πρὸς τοὺς πέλας εὔθετοι, καὶ δὴ καὶ αὗται αὖθις πρὸς ἡμᾶς ἀνταναστρέφουσι, καθάπερ πρὸς τὸν βάλλοντα ἡ σφαῖρα, διὰ τὴν ἀντιτυπίαν παλινδρομοῦσα, ὅθεν καὶ ἔστιν ἀναγκαῖα τὰ καθήκοντα εἰς παιδαγωγίαν θεϊκὴν, ὡς ὑπὸ θεοῦ παρηγγελμένα καὶ εἰς σωτηρίαν πεπορισμένα. καὶ ἐπεὶ τῶν ἀναγκαίων τὰ μὲν πρὸς τὸ ζῆν ἐστι τὸ ἐνταῦθα μόνον, τὰ δὲ ἔνθεν πρὸς τὸ εὖ ζῆν ἐκεῖσε ἀναπτεροῖ, ἀναλόγως καὶ τῶν καθηκόντων τὰ μὲν πρὸς τὸ ζῆν, τὰ δὲ πρὸς τὸ εὖ ζῆν διατάττεται. ὅσα μὲν οὖν πρὸς τὸ ἐθνικὸν ζῆν παραγγέλλεται, ταῦτα καὶ παρὰ τοῖς πολλοῖς δεδήμευται, ἃ δὲ πρὸς τὸ εὖ ζῆν ἁρμόττει, ἐξ ὧν τὸ ἀΐδιον ἐκεῖνο περιγίνεται ζῆν, ταῦτα δὲ ἐν ὑπογραφῆς μέρει ἐξ αὐτῶν ἀναλεγομένοις τῶν γραφῶν ἔξεστω σκοπεῖν.

Κλήμεντος παιδαγωγοῦ τῶν εἰς τρία τὸ πρῶτον.

CLEMENTIS ALEXANDRINI P.162. Pott.

PAEDAGOGI

LIBER SECUNDUS.

Argumentum.

Cap. I. Quomodo circa alimenta versari oporteat (§. 1—18.). C. II. Quomodo in potu se gerere oporteat (§. 19—34.). C. III. In sumptuosam vasorum supellectilem non esse studium conferendum (§. 35—39.). C. IV. Quomodo in conuiuiis se recreare oporteat (§. 40—44.). C. V. De risu (§. 45—48.). C. VI. De turpiloquio (§. 49—52.). C. VII. Quaenam obseruare oporteat eos, qui honeste simul viuunt (§. 53—60.). C. VIII. Num vnguentis et coronis vtendum sit (§. 61—76.). C. IX. Quomodo se in somno gerere oporteat (§. 77—82.). C. X. Quaenam de procreatione liberorum tractanda sint (§. 83—115.). C. XI. De calceamentis (§. 116. 117.). C. XII. Non oportere gemmas et aureum ornatum stupere et admirari (§. 118—129.).

Cap. I.

Πῶς περὶ τὰς τροφὰς ἀναστρεπτέον.

§. 1. Ἐχομένοις τοίνυν τοῦ σκοποῦ καὶ τὰς γραφὰς πρὸς τὸ βιωφελὲς τῆς παιδαγωγίας ἐκλεγομένοις, ὁποῖόν τινα εἶναι χρὴ παρ' ὅλον τὸν βίον τὸν Χριστιανὸν καλούμενον, κεφαλαιωδῶς ὑπογραπτέον. ἀρκτέον οὖν ἡμῖν ἀφ' ἡμῶν αὐτῶν καὶ ὅπως ἁρμόττειν γε χρή. στοχαζομένοις τοίνυν τῆς συμμετρίας τοῦ συντάγματος, ὁποῖόν τινα τῷ ἑαυτοῦ σώματι ἕκαστον ἡμῶν προσφέρεσθαι, μᾶλλον δὲ ὅπως

αὐτὸ κατευθύνειν χρὴ, λεκτέον· ὁπόταν γάρ τις ἀπὸ τῶν ἐκτὸς καὶ αὐτῆς ἔτι τῆς τοῦ σώματος ἀγωγῆς ἐπὶ τὴν διάνοιαν ἀναχθεὶς ὑπὸ τοῦ λόγου τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ σπουδάζειν μὲν περὶ τὰ ἐκτὸς, τὸ δὲ ἴδιον τοῦ ἀνθρώπου τὸ ὄμμα τῆς ψυχῆς ἐκκαθαίρειν, ἁγνίζειν δὲ καὶ τὴν σάρκα αὐτῆς. ὁ γὰρ ἐκείνων καθαρῶς ἀπολυθεὶς, δι᾽ ὧν ἔτι χοῦς ἐστὶ, τί ἂν ἄλλο προὐργιαίτερον ἑαυτοῦ ἔχοι πρὸς τὸ ὁδῷ ἐλθεῖν ἐπὶ τὴν κατάληψιν τοῦ θεοῦ; οἱ μὲν δὴ ἄλλοι ἄνθρωποι ζῶσιν, ἵνα ἐσθίωσιν, P. 163 Pott. ὥσπερ ἀμέλει καὶ τὰ ἄλογα ζῶα, οἷς οὐδὲν ἀλλ᾽ ἢ γαστήρ ἐστιν ὁ βίος, ἡμῖν δὲ ὁ παιδαγωγὸς ἐσθίειν παραγγέλλει, ἵνα ζῶμεν. οὔτε γὰρ ἔργον ἡμῖν ἡ τροφὴ οὔτε σκοπὸς ἡδονὴ, ὑπὲρ δὲ τῆς ἐνταῦθα διαμονῆς, ἣν ὁ λόγος εἰς ἀφθαρσίαν παιδαγωγεῖ.

§. 2. Διὸ καὶ ἐκκρίνεται ἡ τροφή. ἁπλῆ δὲ αὕτη καὶ ἀπερίεργος ἡ ἀλήθεια καταλλήλως ἁπλοῖς καὶ ἀπεριέργοις ἁρμόζουσα παιδίοις, ὡσὰν εἰς τὸ ζῆν, οὐκ εἰς τρυφὴν ἐπιτήδειος· τὸ δὲ ἐκ δυεῖν τὸ ζῆν τοῦτο ὑγείας τε καὶ ἰσχύος σύγκειται, οἷς μάλιστα κατάλληλον τῆς τροφῆς τὸ εὔκολον, εἴς τε τὰς ἀναδόσεις καὶ τὴν τοῦ σώματος κουφότητα χρησιμεῦον, ἐξ ὧν αὔξησίς τε καὶ ὑγεία καὶ ἰσχὺς δικαία, οὐχὶ δὲ ἄδικος ἢ σφαλερὰ ἢ ἀθλία ὡς ἡ τῶν ἀθλητῶν ἐξ ἀναγκοφαγίας περιγίνεται. αἱ μὲν οὖν πολυειδεῖς ποιότητες ἀποπτυστέαι, ποικίλας ἐντίκτουσαι βλάβας, καχεξίας σωμάτων, ἀνατροπὰς στομάχων, ἐκπορνευούσης τῆς γεύσεως διά τινος κακοδαίμονος τέχνης τῆς ὀψαρτυτικῆς καὶ τῆς ἀμφὶ τὰ πέμματα ματαιοτεχνίας. τροφὴν γὰρ τολμῶσι καλεῖν τὴν ἐν τρυφαῖς ἐπιτήδευσιν εἰς ἡδονὰς ἐπιβλαβεῖς ὀλισθαίνουσαν. Ἀντιφάνης δὲ ὁ Δήλιος ἰατρὸς καὶ μίαν τῶν νόσων αἰτίαν ταύτην εἴρηκεν τῶν ἐδεσμάτων τὴν πολυειδίαν, τῶν περὶ τὴν ἀλήθειαν δυσαρεστούντων κενοδοξίᾳ ποικίλῃ τὸ σῶφρον τῆς διαίτης ἐξομνυμέ-

νων καὶ τὰς διαποντίους πολυπραγμονούντων ἐδωδάς.

§. 3. Κἀμοὶ μὲν ἔλεος ὕπεισι τῆς νόσου, οἳ P. 164 Pott. δὲ ἐξυμνεῖν οὐκ αἰσχύνονται τὰς σφετέρας ἡδυπαθείας τὰς ἐν τῷ πορθμῷ τῷ Σικελικῷ σμυραίνας πολυπραγμονοῦντες καὶ τὰς ἐγχέλεις τὰς Μαιανδρείους P. 61 Sylb. καὶ τὰς ἐν Μήλῳ ἐρίφους καὶ τοὺς ἐν Σκιάθῳ κεστρεῖς καὶ τὰς Πελωρίδας κόγχας καὶ τὰ ὄστρεια τὰ Ἀβυδηνά, οὐ παραλείποντες δὲ τὰς ἐν Λιπάρᾳ μαινίδας οὐδὲ τὴν γογγύλην τὴν Μαντινικήν, ἀλλὰ οὐδὲ τὰ παρὰ τοῖς Ἀσκραίοις τεῦτλα, κτένας τε ἐκζητοῦσι Μηθυμναίους καὶ ψήττας Ἀττικὰς καὶ τὰς Δαφνίους κίχλας Χελιδονίους τε ἰσχάδας, δι᾽ ἃς εἰς Ἑλλάδα πεντακοσίαις ἅμα μυριάσιν ὁ κακοδαίμων ἐστείλατο Πέρσης. ὄρνεις ἐπὶ τούτοις συνωνοῦνται τοὺς ἀπὸ Φάσιδος, ἀτταγὰς Αἰγυπτίας, Μῆδον ταῶνα. ταῦτα τοῖς ἡδύσμασιν ἐξαλλάσσοντες οἱ γαστρίμαργοι τοῖς ὄψοις ἐπικεχήνασιν, ὅσα τε χθὼν πόντου τε βένθη καὶ ἀέρος ἀμέτρητον εὖρος ἐκτρέφει, τῇ αὐτῶν ἐκποριζόμενοι λαιμαργίᾳ· σαγηνεύειν ἀτεχνῶς οἱ πλεονέκται καὶ πολυπράγμονες οὗτοι ἐοίκασιν εἰς ἡδυπάθειαν τὸν κόσμον, ταγήνοις σίζουσι περιηχούμενοι, ἀμφὶ τὴν ἴγδην καὶ τὸν ἀλετρίβανον τὸν πάντα αὐτῶν κατατρίβοντες βίον οἱ παμφάγοι, καθάπερ τὸ πῦρ τῆς ὕλης ἐξεχόμενοι. ἀλλὰ καὶ τὴν εὔκολον βρῶσιν τὸν ἄρτον ἐκθηλύνουσιν ἀποσήθοντες τοῦ πυροῦ τὸ τρόφιμον, ὡς τὸ ἀναγκαῖον τῆς τροφῆς P. 165 Pott. ὄνειδος γίνεσθαι ἡδονῆς.

§. 4. Οὐκ ἔχει δὲ ὅρον παρὰ τοῖς ἀνθρώποις ἡ λιχνεία. καὶ γὰρ εἰς τὰ πέμματα καὶ τὰ μελίπηκτα, πρὸς δὲ καὶ εἰς τὰ τραγήματα ἐξώκειλεν ἐπιδορπισμάτων πλῆθος εὑρίσκουσα, παντοδαπὰς θηρωμένη ποιότητας. καί μοι δοκεῖ ὁ τοιοῦτος ἄνθρωπος οὐδὲν ἀλλ᾽ ἢ γνάθος εἶναι· „μηδὲ ἐπιθύμει", φησὶν ἡ γραφή, „τῶν ἐδεσμάτων τῶν πλουσίων"*).

*) Prouerb. 23, 3.

ταῦτα γὰρ ἔχεται βίου ψευδοῦς τε καὶ αἰσχροῦ· οἱ μὲν γὰρ ἐξέχονται τῶν ὄψων, ἃ μετ᾽ ὀλίγον ἐκδέχεται κοπρὼν, ἡμῖν δὲ τοῖς θηρωμένοις τὴν βρῶσιν τὴν ἐπουράνιον ἄρχειν ἀνάγκη τῆς ὑπὸ τὸν οὐρανὸν γαστρὸς, ἔτι τε μᾶλλον καὶ τῶν ταύτῃ προσφιλῶν, ἃ ὁ θεὸς καταργήσει, φησὶν ὁ ἀπόστολος*), εἰκότως ἐπικαταρώμενος λαιμάργοις ἐπιθυμίαις, τὰ γὰρ βρώματα τῇ κοιλίᾳ, ἐξ ὧν ὁ σαρκικὸς ὄντως οὑτοσὶ καὶ φθοροποιὸς ἀπήρτηται βίος, ὃν ἀγάπην τινὲς τολμῶσι καλεῖν ἀθύρῳ γλώττῃ κεχρημένοι, δειπνάριά τινα κνίσης καὶ ζωμῶν ἀποπνέοντα, τὸ καλὸν καὶ σωτήριον ἔργον τοῦ λόγου, τὴν ἀγάπην τὴν ἡγιασμένην, κυθριδίοις καὶ ζωμοῦ ῥύσει καθυβρίζοντες, ποτῷ τε καὶ τρυφῇ καὶ καπνῷ βλασφημοῦντες τοὔνομα σφάλλονται τῆς ὑπολήψεως, τὴν ἐπαγγελίαν τοῦ θεοῦ δειπναρίοις ἐξωνεῖσθαι προσδοκήσαντες. τὰς μὲν γὰρ ἐπὶ τῆς εὐφροσύνης συναγωγὰς ἐγκαταλεγόμενοι καὶ αὐτοὶ δειπνάριά τε καὶ ἄριστα καὶ δοχὰς εἰκότως ἂν καλοῖμεν τὴν συνήλυσιν ταύτην ἑπόμενοι λόγῳ, τὰς τοιαύτας δὲ ἑστιάσεις ὁ κύριος ἀγάπας οὐ κέκληκεν. λέγει γοῦν πῇ μὲν „ὅταν κληθῇς εἰς γάμους, μὴ κατάκεισο εἰς τὴν πρωτοκλισίαν, ἀλλ᾽ ὅταν κληθῇς, εἰς τὸν ἔσχατον τόπον ἀνάπιπτε"**), πῇ δὲ „ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον" καὶ πάλιν „ἀλλ᾽ ὅταν ποιῇς δοχὴν, κάλει τοὺς πτωχοὺς"***), ἐφ᾽ ᾧ μάλιστα δεῖπνον ποιητέον. ἔτι τε „ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα καὶ ἐκάλεσε πολλούς"†). **P. 166 Pott.**

§. 5. Ἀλλ᾽ αἰσθάνομαι ὅθεν ἡ εὐπρόσωπος ἐρρύη τῶν δείπνων προσηγορία,
ἀπὸ τῶν φαρύγων καὶ φοιτητῆς μανίας ἐπὶ δείπνων
κατὰ τὸν κωμικόν. ἔστι γὰρ ὡς ἀληθῶς
τὰ πολλὰ τοῖς πολλοῖσι τοῦ δείπνου χάριν.
οὐ γάρ που μεμαθήκασι τὸν θεὸν παρασκευάσαι τῷ δημιουργήματι, τῷ ἀνθρώπῳ λέγω, σῖτα καὶ

---

*) 1 Cor. 6, 23. **) Luc. 14, 8. 10. ***) Ibid. v. 12. 13. †) Ibid. v. 16.

ποτὰ τοῦ σώζεσθαι χάριν, οὐχὶ δὲ τοῦ ἥδεσθαι, ἐπεὶ μηδὲ ὠφελεῖσθαι πέφυκε τὰ σώματα ἐκ τῆς πολυτελείας τῶν βρωμάτων· πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι καὶ ὑγιεινότατοι καὶ γενναιότατοι, ὡς οἰκέται δεσποτῶν καὶ γεωργοὶ κτητόρων· καὶ οὐ μόνον ῥωμαλεώτεροι, ἀλλὰ καὶ φρονιμώτεροι, ὡς φιλόσοφοι πλουσίων· οὐ γὰρ ἐπέχωσαν τὸν νοῦν ταῖς τροφαῖς οὐδὲ ἠπάτησαν αὐτὸν ἡδοναῖς. ἀγάπη δὲ τῷ ὄντι ἐπουράνιός ἐστι τροφὴ, ἑστίασις λογικὴ, „πάντα στέγει, πάντα ὑπομένει, πάντα ἐλπίζει, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει" *), „μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ" **), χαλεπώτατον δὲ πάντων πτωμάτων τὴν ἄπτωτον ἀγάπην ἄνωθεν ἐξ οὐρανῶν ἐπὶ τοὺς ζωμοὺς ῥίπτεσθαι χαμαί. καὶ οἴει με δεῖπνον ἡγεῖσθαι τὸ καταργούμενον; „ἐὰν γὰρ", φησὶ, „διαδῶ τὰ ὑπάρχοντά μου, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι" ***).

§. 6. Ταύτης ὅλης ἀπήρτηται τῆς ἀγάπης ὁ νόμος καὶ ὁ λόγος, κἂν ἀγαπήσῃς κύριον τὸν θεόν σου καὶ τὸν πλησίον σου ἐν οὐρανοῖς ἐστὶν αὕτη ἡ ἐπουράνιος εὐωχία, ἡ δὲ ἐπίγειος δεῖπνον κέκληται, ὡς ἐκ τῆς γραφῆς ἀποδέδεικται, δι' ἀγάπην μὲν γινόμενον τὸ δεῖπνον, ἀλλ' οὐκ ἀγάπη τὸ δεῖπνον, δεῖγμα δὲ εὐνοίας κοινωνικῆς καὶ εὐμεταδότου. „μὴ βλασφημείσθω οὖν ἡμῶν τὸ ἀγαθὸν, οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις", φησὶν ὁ ἀπόστολος, ἵνα μὴ τὸ ἐφήμερον ἄριστον νοηθῇ, „ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ" †). τούτου ὁ φαγὼν τοῦ ἀρίστου τὸ ἄριστον τῶν ὄντων, τὴν βασιλείαν τοῦ θεοῦ κτήσεται, με- P. 167
λετήσας ἐνθένδε ἁγίαν συνήλυσιν ἀγάπης οὐράνιον Pott.
ἐκκλησίαν.

---

*) 1 Cor. 13, 7 sq. **) Luc. 14, 15. ***) 1 Cor. 13, 3. †) Rom. 14, 16 sq.

§. 7. Ἀγάπη μὲν οὖν χρῆμα καθαρὸν καὶ τοῦ
θεοῦ ἄξιον, ἔργον δὲ αὐτῆς ἡ μετάδοσις, „φροντὶς
δὲ παιδείας ἀγάπη", ἣν ἡ σοφία λέγει, „ἀγάπη δὲ
τήρησις νόμων αὐτῆς" *). αἱ δὲ εὐφροσύναι αὗται
ἔναυσμά τι ἀγάπης ἐκ τῆς πανδήμου τροφῆς ἔχουσι
P. 62 συνεθιζόμενον εἰς ἀΐδιον τρυφήν. ἀγάπη μὲν οὖν
Sylb. δεῖπνον οὐκ ἔστιν, ἡ δ' ἑστίασις ἀγάπης ἠρτήσθω.
„μαθέτωσαν γὰρ", φησίν, „οἱ υἱοί σου, οὓς ἠγάπη-
σας, κύριε, ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφου-
σιν ἄνθρωπον, ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύ-
οντας διατηρεῖ" **)· οὐ γὰρ ἐπ' ἄρτῳ ζήσεται ὁ
δίκαιος***). ἀλλὰ γὰρ τὸ δεῖπνον ἔστω λιτὸν ἡμῖν καὶ
εὔζωνον, ἐπιτήδειον εἰς ἐγρήγορσιν, ποικίλαις ἀνεπί-
μικτον ποιότησιν, οὐκ ἀπαιδαγώγητον οὐδὲ τοῦτο·
ἀγαθὴ γὰρ κουροτρόφος αὐτάρκεια εἰς κοινωνίαν ἀγά-
πη ἐφόδιον ἔχουσα πλούσιον, τὴν αὐτάρκειαν, ἣ δὴ
ἐφεστῶσα τῇ τροφῇ, δικαίᾳ ποσότητι μεμετρημένη,
σωτηρίως τὸ σῶμα διοικοῦσα καὶ τοῖς πλησίον ἀπέ-
νειμέν τι ἐξ αὐτῆς, ἡ δὲ ὑπερβλύζουσα τὴν αὐτάρ-
κειαν δίαιτα τὸν ἄνθρωπον κακοῖ, νωθῆ μὲν τὴν ψυ-
χήν, ἐπισφαλὲς δὲ εἰς νόσον ἐργαζομένη τὸ σῶμα.
ναὶ μὴν προστρίβονται βλασφημίας δυσανασχετοῦσαι
περὶ τὰς καρυκείας ἡδοναί, λιχνείαν, λαιμαργίαν, ὀψο-
φαγίαν, ἀπληστίαν, ἀδηφαγίαν. μυῖαι τούτοις οἰκεῖαι
τοῖς ὀνόμασι καὶ γαλαῖ, κόλακές τε καὶ μονομάχαι
καὶ τὰ ἄγρια τῶν παρασίτων φῦλα, γαστρὸς ἡδο- P. 168
νῆς οἱ μὲν τὸν λόγον, οἱ δὲ τὴν φιλίαν, οἱ δὲ τὸ Pott.
ζῆν ἀποδιδόμενοι, ἐπὶ γαστέρας ἕρποντες, θηρία ἀν-
δρείκελα κατ' εἰκόνα τοῦ πατρὸς αὐτῶν τοῦ λίχνου
θηρίου. ἀσώτους τ' αὐτοὺς οἱ καλέσαντες πρῶτον
εὖ μοι δοκοῦσιν αἰνίττεσθαι τὸ τέλος αὐτῶν ἀσώστους
αὐτοὺς κατὰ ἔκθλιψιν τοῦ σ στοιχείου νενοηκότες. ἦ
γὰρ οὐχ οὗτοι οἱ περὶ τὰς λοπάδας ἀσχολούμενοι καὶ
τὰς μεμορημένας τῶν ἡδυσμάτων περιεργίας, οἱ τα-

---

*) Sap. 5, 17 sq. **) Ibid. 16, 27. ***) Cf. Deut. 8, 3, Matth. 4, 4.

πεινόφρονες, χαμαιγενεῖς, τὸν ἐφήμερον διώκοντες βίον, ὡς οὐ ζησόμενοι;

§. 8. Τούτους ταλανίζει διὰ Ἡσαΐου τὸ ἅγιον πνεῦμα, ἠρέμα πως τῆς ἀγάπης τὸ ὄνομα ὑπεξελόμενον, ἐπεὶ μὴ κατὰ λόγον ἡ ἑστίασις ἦν· „αὐτοὶ δὲ ἐποίησαν εὐφροσύνην σφάζοντες μόσχους καὶ θύοντες πρόβατα λέγοντες, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν" *)· καὶ ὅτι γε τὴν τοιαύτην τρυφὴν ἁμαρτίαν λογίζεται, ἐπιφέρει· „καὶ οὐ μὴ ἀφεθήσεται ἡ ἁμαρτία ὑμῶν αὕτη, ἕως ἂν ἀποθάνητε", οὐχὶ ἄφεσιν τῆς ἁμαρτίας θάνατον ἀναίσθητον, ἀλλὰ ἀνταπόδοσιν ἁμαρτίας θάνατον σωτηρίας ἐπικρίνας. „μὴ εὐφρανθῇς δὲ ἐπὶ μιαρᾷ τρυφῇ", ἡ σοφία λέγει **). ἐνταῦθα ὑπομνηστέον καὶ περὶ τῶν εἰδωλοθύτων καλουμένων, ὅπως ποτὲ ἄρα παραγγέλλεται ἀποσχέσθαι δεῖν τούτων. μιαρὰ δοκεῖ μοι καὶ βδελυρὰ ἐκεῖνα, ὧν ἐφίπτανται τοῖς αἵμασι

ψυχαὶ ὑπὲξ ἐρέβευς νεκύων κατατεθνειώτων ***).

„οὐ γὰρ θέλω ὑμᾶς κοινωνοὺς δαιμονίων γίνεσθαι" †), ὁ ἀπόστολος λέγει, ἐπεὶ δίχα σωζομένων καὶ φθινομένων τροφαί. ἀφεκτέον τοίνυν τούτων οὐ δεδιότας, οὐ γάρ ἐστί τις ἐν αὐτοῖς δύναμις, διὰ δὲ τὴν συνείδησιν τὴν ἡμετέραν ἁγίαν οὖσαν καὶ τῶν δαιμονίων διὰ τὴν βδελυρίαν, οἷς ἐπικατωνόμασται, μυσαττομένους, καὶ προσέτι διὰ τὴν τῶν ὀλισθηρῶς τὰ πολλὰ ὑπολαμβανόντων ὑδαρότητα, „οἷς ἡ συνεί- P. 169 Pott. δησις ἀσθενοῦσα μολύνεται, βρῶμα γὰρ ἡμᾶς οὐ παραστήσει τῷ θεῷ" ††)· „οὐδὲ τὰ εἰσιόντα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξιόντα", φησὶ, „τοῦ στόματος" †††).

§. 9. Ἀδιάφορος ἄρα ἡ φυσικὴ χρῆσις τῆς τροφῆς· „οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν", φη-

---

*) Ies. 22, 13 sq. **) Eccles. 18, 32. ***) Hom. Od. λ. v. 37. †) 1 Cor. 10, 20. ††) Ibid. 8, 7 sq. †††) Matth. 15, 11.

σὶν, „οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα“ *)· ἀλλ' οὐκ εὔλογον τραπέζης δαιμονίων μεταλαμβάνειν τοὺς θείας μετέχειν καὶ πνευματικῆς κατηξιωμένους τροφῆς. „μὴ γὰρ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν“, φησὶν ὁ ἀπόστολος, „καὶ γυναῖκας περιάγεσθαι“ **); ἀλλὰ κρατοῦντες δηλονότι τῶν ἡδονῶν κωλύομεν τὰς ἐπιθυμίας. „βλέπετε οὖν μή ποτε ἡ ἐξουσία ἡμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενέσιν“ ***). οὐ χρὴ οὖν καθάπερ ἀσωτευομένους ἡμᾶς κατὰ τὴν ἐν τῷ εὐαγγελίῳ τοῦ πλουσίου παιδὸς εἰκόνα παραχρῆσθαι τοῖς τοῦ πατρὸς δωρήμασι, χρῆσθαι δὲ αὐτοῖς, ὡς ἄρχοντας ἀπροσκλινῶς· καὶ γὰρ βασιλεύειν ἐτάχθημεν καὶ κατακυριεύειν, οὐχὶ δουλεύειν τοῖς βρώμασιν. ἀγαστὸν μὲν οὖν πρὸς τὸ ἀληθὲς ἀναθρήσαντας τῆς ἄνω τροφῆς ἐξέχεσθαι τῆς θείας καὶ τῆς τοῦ ὄντως ὄντος ἀπληρώτου ἐμπίμπλασθαι θέας, τῆς βεβαίου καὶ μονίμου καὶ καθαρᾶς γευομένους ἡδονῆς. ταύτην γὰρ τὴν ἀγάπην ἐκδέχεσθαι δεῖν ἐμφαίνει ἡ βρῶσις ἡ Χριστοῦ· κομιδῇ δὲ ἄλογον καὶ ἀχρεῖον καὶ οὐκ ἀνθρώπειον βοσκημάτων δίκην πιαινόμενον θανάτῳ τρέφεσθαι, κάτω βλέποντας εἰς γῆν, τοὺς ἐκ γῆς ἀεὶ κεκυφότας εἰς τραπέζας, τὴν λίχνον διωκάθοντας ζωὴν, τὸ ἀγαθὸν ἐνταῦθά που κατορύξαντας περὶ τὴν οὐκ ἐσομένην ζωὴν, μόνην κολακεύοντας τὴν κατάποσιν, δι' ἣν πολυτιμότεροι γεγόνασι μάγειροι γεωργῶν. μὴ γὰρ ἀφαιροῦμεν τὴν συμπεριφορὰν, ἀλλὰ τὸν ὄλισθον τῆς συνηθείας, ὡς συμφορὰν, ὑποπτεύομεν.

§. 10. Διὸ παραιτητέον τὴν λιχνείαν ὀλίγων τινῶν καὶ ἀναγκαίων μεταλαμβάνοντας, καὶ εἴ τις ἡμᾶς καλεῖ τῶν ἀπίστων καὶ πορεύεσθαι κρίνομεν — καλὸν γὰρ μὴ συναναμίγνυσθαι τοῖς ἀτάκτοις —, πᾶν τὸ παρατιθέμενον κελεύει ἡμῖν ἐσθίειν μηδὲν ἀνα-

*) 1 Cor. 8, 8. **) Ibid. 9, 4 sq. ***) Ibid. 8, 9.

κρίνουσι διὰ τὴν συνείδησιν *), ὁμοίως δὲ καὶ τὰ ἐκ μακέλλου ἀπεριέργως ὠνεῖσθαι **) προσέταξεν. P. 170 Pott. οὐκ ἀφεκτέον οὖν παντελῶς τῶν ποικίλων βρωμάτων, ἀλλ᾽ οὐ περὶ αὐτὰ σπουδαστέον· μεταληπτέον δὲ τῶν παρατιθεμένων, ὡς πρέπον Χριστιανῷ, τιμῶντας μὲν τὸν κεκληκότα κατὰ τὴν ἀβλαβῆ καὶ ἀπροσκορῆ τῆς συνουσίας κοινωνίαν, ἀδιάφορον δὲ ἡγουμένους P. 63 Sylb. τῶν εἰσκομιζομένων τὴν πολυτέλειαν, καταφρονοῦντας τῶν ὄψων, ὡς μετ᾽ ὀλίγον οὐκ ὄντων. „ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, ὁ δὲ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω" ***). μικρὸν δὲ ὑποβὰς καὶ τὴν αἰτίαν τῆς παραγγελίας ἐξηγήσεται· „ὁ ἐσθίων", λέγων, „κυρίῳ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ, καὶ ὁ μὴ ἐσθίων κυρίῳ οὐκ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ" †)· ὡς εἶναι τὴν δικαίαν τροφὴν εὐχαριστίαν, καὶ ὅ γε ἀεὶ εὐχαριστῶν οὐκ ἀσχολεῖται περὶ ἡδονάς. εἰ δὲ καὶ προτρεποίμεθα ἐπ᾽ ἀρετῇ τῶν συνεστιωμένων τινὰς, ταύτῃ πλέον ἀφεκτέον τῶν λίχνων τούτων βρωμάτων, ἐναργὲς ὑπόδειγμα ἀρετῆς σφᾶς αὐτοὺς παριστάντας, ὡς Χριστὸν ἐσχήκαμεν αὐτοί. „εἰ γάρ τι τῶν τοιούτων βρωμάτων σκανδαλίζει τὸν ἀδελφὸν, οὐ μὴ φάγω", φησὶ, „τοῦτο εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω" ††). ὀλίγης ἐγκρατείας κερδαίνω τὸν ἄνθρωπον. „μὴ γὰρ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν" †††); καὶ τὴν ἀλήθειαν „ἐπεγνώκαμεν", φησὶν, „ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, ἀλλὰ μόνος ὄντως ἐστὶν εἷς ἡμῶν θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς. ἀλλὰ ἀπόλλυται", φησὶ, „τῇ σῇ γνώσει ὁ ἀδελφὸς ἀσθενῶν, δι᾽ ὃν Χριστὸς ἀπέθανεν. οἱ δὲ τὴν συνείδησιν τύπτοντες τῶν ἀσθενούντων ἀδελφῶν, εἰς Χριστὸν ἁμαρτάνουσιν" *). ταύτῃ τοι ὁ ἀπόστολος εὐλαβούμενος περὶ ἡμῶν τὰ δεῖπνα διακρί-

---

*) 1 Cor. 10, 27. **) Ibid. v. 25. ***) Rom. 14, 3. †) Ibid. v. 6. ††) 1 Cor. 8, 13. †††) Ibid. 9, 4. *) Ibid. 8, 6, 11 sq.

νει „μὴ συναναμίγνυσθαι" φάσκων, „εἴ τις ἀδελφὸς λεγόμενος εὑρίσκοιτο πόρνος ἢ μοιχὸς ἢ εἰδωλολάτρης, τούτῳ μηδὲ συνεσθίειν" *), ἢ τὸν λόγον ἢ τὸ ὄψον, ὑποπτεύων τὸν μολυσμὸν τὸν ἐντεῦθεν, καθάπερ καὶ τῶν δαιμονίων τὰς τραπέζας.

§. 11. „Καλὸν μὲν οὖν τὸ μὴ φαγεῖν κρέα μηδὲ οἶνον πιεῖν" **) αὐτός τε ὁμολογεῖ καὶ οἱ ἀπὸ τοῦ Πυθαγόρου· θηρίων γὰρ μᾶλλον τοῦτό γε, καὶ ἡ ἀπ' αὐτῶν ἀναθυμίασις θολωδεστέρα οὖσα ἐπι- P. 171 Pott. σκοτεῖ τῇ ψυχῇ. εἰ δέ τις καὶ τούτων μεταλαμβάνει, οὐχ ἁμαρτάνει, μόνον ἐγκρατῶς μετεχέτω, μὴ ἐξεχόμενος μηδὲ ἀπηρτημένος αὐτῶν μηδὲ ἐπιλαιμαργῶν τῷ ὄψῳ· ὑπηχήσει γὰρ αὐτῷ φωνή· „μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ" ***), λέγουσα. ἀνοήτου γὰρ σφόδρα θαυμάζειν καὶ τεθηπέναι τὰ παρατιθέμενα ταῖς δημώδεσιν ἑστιάσεσιν μετὰ τὴν ἐν λόγῳ τρυφήν, πολλῷ δέ ἐστιν ἀνοητότερον τὰς ὄψεις τοῖς προσοψήμασι δεδουλωκέναι συμμεταφερομένης αὐτῶν, ὡς εἰπεῖν, τῆς ἀκρασίας πρὸς τῶν διακόνων. πῶς δὲ οὐκ ἀχρεῖον τὸ ἐπανίστασθαι ταῖς κλισίαις, μονονουχὶ τὸ πρόσωπον ταῖς λοπάσιν ἐπιρριπτοῦντας, καθάπερ ἐκ νεοττίας, τῆς κλισίας προκύπτοντας, τὸ δὴ θρυλούμενον τοῦτο· ἵνα πλανωμένην λάβωσι τὴν ἀτμίδα διὰ τῆς ἀναπνοῆς; πῶς δὲ οὐκ ἄλογον τὰς χεῖρας ἐπεμφύρειν τοῖς ἡδύσμασιν ἢ συνεχὲς ἐπὶ τοὖψον ἐκτείνειν οὐκ ἀπογευομένων, ἀλλ' ἀφαρπαζόντων δίκην ἀμέτρως καὶ ἀσχημόνως ἐμφορουμένους; ἔστι γὰρ ὁρᾶν τοὺς τοιούτους ὑσὶν ἢ κυσὶν διὰ τὴν λαβρότητα μᾶλλον ἢ ἀνθρώποις ὡμοιωμένους, τοὺς χορτάζεσθαι σπεύδοντας, ὡς καὶ τὰς γνάθους ἅμα ἄμφω ἐξογκοῦσθαι τῶν περὶ τὸ πρόσωπον ἀγγείων προσεπαιρομένων, πρὸς δὲ καὶ ἱδρῶτα περιχεῖσθαι τῇ ἀπληστίᾳ συνεχομένων καὶ ἀσθμαινόντων ὑπὸ ἀκρασίας, ὠθουμένης κατ' ἔπειξιν ἀκοι-

---

*) Cor. 5, 11. **) Rom. 14, 21. ***) Rom. 14, 20.

νώνητον εἰς κοιλίαν τῆς τροφῆς, ὥσπερ εἰς ἐφόδιον, οὐκ εἰς ἀνάδοσιν, ἀποτιθεμένων τὰ ἐδέσματα. πανταχῇ δὲ κακὸν οὖσα ἡ ἀμετρία περὶ τὰς τροφὰς μάλιστα διελέγχεται.

§. 12. Ἡ γοῦν ὀψοφαγία οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου, καὶ ἡ λαιμαργία μανία περὶ τὸν λαιμὸν, καὶ ἡ γαστριμαργία ἀκρασία περὶ τὴν τροφὴν, ὡς δὲ καὶ τοὔνομα περιέχει, μανία ἐπὶ γαστέρα, ἐπεὶ μάργος ὁ μεμηνώς. τοὺς ἐπὶ ἑστιάσεως οὖν μελετῶντας ἀδικεῖν ὁ ἀπόστολος ἀνακρούων λέγει· „ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας" *); παρὰ δὲ τοῖς ἔχουσιν οἱ ἀνέδην ἐσθίοντες, οἱ ἄπληστοι ἑαυτοὺς καταισχύνου- P. 172 σιν, ἄμφω δὲ πράττουσι κακῶς, οἱ μὲν τοὺς μὴ Pott. ἔχοντας βεβαρηκότες, οἱ δὲ τὴν ἀκρασίαν τὴν σφῶν παρὰ τοῖς ἔχουσι γεγυμνωκότες. ἀναγκαίως ἄρα πρὸς τοὺς ἀπηρυθριακότας καὶ τοῖς δείπνοις ἀφειδέστερον παραχρωμένους, τοὺς ἀκορέστους, οἷς μηδὲν ἱκανὸν, ἀποταθεὶς ὁ ἀπόστολος, πάλιν ἐκ δευτέρου ἔρρηξε φωνὴν ἀγανακτικήν· „ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν ἀλλήλους ἐκδέχεσθε. εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχησθε" **).

§. 13. Ἀφεκτέον οὖν δουλοπρεπείας ἁπάσης καὶ ἀκρασίας τῶν παρατιθεμένων κοσμίως ἐφαπτομένοις, ἀμόλυντον καὶ τὴν χεῖρα καὶ τὴν στρωμνὴν καὶ τὸ γένειον φυλάττουσιν, τὸ εὔσχημον τοῦ προσώπου διατηροῦσιν ἀδιάστροφον, οὐκ ἀσχημονοῦσιν οὐδὲ περὶ τὴν κατάποσιν, ἀλλὰ τὴν μὲν χεῖρα μετὰ τάξεως ἐκ διαστημάτων ἐκτατέον· παραφυλακτέον γὰρ καὶ τὸ φθέγγεσθαι ὅτι σὺν ἐσθίοντα ἅμα· ἀπρεπὴς γὰρ καὶ

*) 1 Cor. 11, 21 sq. **) Ibid. v, 33 sq.

ἄσημος ἡ φωνὴ γίνεται, πλήρεσι ταῖς γνάθοις στενοχωρουμένη· καὶ ἡ γλῶσσα τῇ τροφῇ πιεζομένη, τῆς κατὰ φύσιν ἐνεργείας παραποδισθεῖσα τὴν προφορὰν ἐκδίδωσι τεθλιμμένην. ἀλλ' οὐδὲ ἐσθίειν ἅμα καὶ πίνειν καθήκει· ἀκρασίας γὰρ τῆς μεγίστης συγχεῖν τοὺς καιρούς, ὧν αἱ χρήσεις ἀσύμφωνοι. καὶ „εἴτε ἐσθίετε", φησίν, „εἴτε πίνετε, πάντα εἰς δόξαν θεοῦ P. 64 ποιεῖτε" *)· στοχαζόμενοι τῆς ἀληθοῦς εὐτελείας, Sylb. ἥν μοι δοκεῖ καὶ ὁ κύριος αἰνίξασθαι τοὺς ἄρτους εὐλογήσας καὶ τοὺς ἰχθύας τοὺς ὀπτούς, οἷς κατευώχησε τοὺς μαθητάς, τῆς ἀπεριέργου τροφῆς καλὸν εἰσηγούμενος ὑπόδειγμα.

§. 14. Ὁ γοῦν ἰχθὺς ἐκεῖνος **), ὃν κελεύσαντος τοῦ κυρίου ὁ Πέτρος εἷλεν, εὔκολον καὶ αὐτὸς καὶ θεοδώρητον καὶ σώφρονα αἰνίττεται τροφήν· ἀφαιρεῖν γέ τοι ὑποτίθεται διὰ τῶν ἐξ ὕδατος ἀνιόντων ἐπὶ τὸ τῆς δικαιοσύνης δέλεαρ, τὴν ἀσωτίαν καὶ τὴν φιλαργυρίαν, ὡς τὸ νόμισμα τοῦ ἰχθύος, ἵνα χωρίσῃ τὴν κενοδοξίαν καὶ τὸν στατῆρα τοῖς τελώναις δοὺς τὰ Καίσαρος ἀποδοὺς τῷ Καίσαρι φυλάξῃ τὰ τοῦ θεοῦ τῷ θεῷ ***). ἔχοι δὲ καὶ ἄλλας ἐπιλύσεις οὐκ ἀγνοουμένας ὁ στατήρ, ἀλλ' οὐχ ὁ παρὼν ἐπιτήδειος τῆς ἐξεργασίας καιρός. ἀπόχρη δὲ ὑπόμνησις συγχρωμένων ἡμῶν εἰς τὸ προκείμενον, οὐκ ἀπᾴδουσα τοῦ λόγου τοῖς ἄνθεσιν, ὅπερ ἤδη πολλάκις πεποιήκαμεν, πρὸς τὸ κατεπεῖγον τοῦ ζητήματος τὴν πολυωφελῆ περιέλκοντες εἰς ἀρδείαν τῶν φυτευομένων ὑπὸ τοῦ λόγου πηγήν. P. 173 Pott. καὶ γὰρ εἰ „πάντων μεταλαμβάνειν ἔξεστί μοι, ἀλλ' οὐ πάντα συμφέρει" †)· ταχὺ γὰρ καταπίπτουσιν ἐπὶ τὸ δρᾶν τὸ μὴ ἐξὸν οἱ πάντα δρῶντες ἃ ἐξόν. ὡς δὲ ἡ δικαιοσύνη διὰ πλεονεξίας οὐ περιγίνεται οὐδὲ ἡ σωφροσύνη δι' ἀκολασίας, οὕτως οὐδὲ ἡ τοῦ Χριστιανοῦ

*) 1 Cor. 10, 31. **) Cf. Matth. 17, 27. ***) Cf. ibid. 21, 22. †) 1 Cor. 10, 23.

δίαιτα ἡδυπαθείᾳ περικτᾶται, πόρρω γάρ ἐστι τῶν πασχητιώντων ἐδεσμάτων ἡ τράπεζα τῆς ἀληθείας. εἰ γὰρ καὶ τὰ μάλιστα ἕνεκεν τῶν ἀνθρώπων ἐγένετο τὰ πάντα, ἀλλ᾽ οὐ πᾶσι χρῆσθαι καλὸν, ἀλλ᾽ οὐδὲ ἀεί. καὶ γὰρ ὁ καιρὸς καὶ ὁ χρόνος καὶ ὁ τρόπος καὶ τὸ πρὸς τί οὐκ ὀλίγην τῷ παιδαγωγουμένῳ πρὸς τὸ λυσιτελὲς ἐνδίδωσι ῥοπὴν, καὶ τό γε ἔστιν ἐπιτήδειον, καὶ ἰσχὺν ἔχει καταργῆσαι τὸν ἐπιγάστριον βίον, οὗ πλοῦτός ἐστιν ἐκκλητικὸς, οὐ βλέπων ὀξὺ, ἀλλ᾽ ἡ τυφλώττουσα περὶ τὴν γαστριμαργίαν περιουσία. οὐδεὶς δέ ἐστι πένης εἰς τὰ ἀναγκαῖα, οὐδὲ περιορᾶταί ποτε ἄνθρωπος· ὁ γὰρ καὶ τὰ πτηνὰ καὶ τὰ νηκτὰ καὶ συνελόντι εἰπεῖν τὰ ἄλογα ζῶα διατρέφων*) εἷς ἐστὶν ὁ θεός. λείπει δὲ αὐτοῖς οὐδὲ ἓν ὁτιοῦν μὴ μεριμνῶσι τροφῆς. ἡμεῖς δὲ καὶ τούτων ἀμείνους, ὅσῳ καὶ κύριοι καὶ θεῷ οἰκειότεροι, ὅσῳ σωφρονέστεροι. γεγόναμεν δὲ οὐχ ἵνα ἐσθίωμεν καὶ πίνωμεν, ἀλλ᾽ ἵνα ὦμεν εἰς ἐπίγνωσιν γεγονότες τοῦ θεοῦ. „δίκαιος γὰρ", φησὶν, „ἐσθίων ἐμπίμπλαται τῇ ψυχῇ, κοιλίαι δὲ ἀσεβῶν ἐνδεεῖς"**), ἀκαταπαύστου λιχνείας ὀρεγόμεναι. πολυτέλεια δὲ οὐκ εἰς ἀπόλαυσιν ἔρημον, ἀλλ᾽ εἰς μετάδοσιν κοινωνικὴν ἐπιτήδειος.

§. 15. Διὸ παραφυλακτέον τῶν βρωμάτων ἃ μὴ πεινῶντας ἡμᾶς ἐσθίειν ἀναπείθει γοητεύοντα τὰς ὀρέξεις. μὴ γὰρ οὐκ ἔνεστι καὶ ἐν εὐτελείᾳ σώφρονι πολυειδία ἐδεσμάτων ὑγιεινή; βολβοὶ, ἐλαῖαι, λαχάνων ἔνια, γάλα, τυρὸς, τά τε ὡραῖα ἑψήματά τε παντοδαπὰ ζωμῶν ἄνευ. κἂν ὀπτοῦ δέῃ κρέως ἢ ἑφθοῦ, μεταδοτέον. „ἔχετέ τι βρώσιμον ἐνθά- P. 174
δε"***); εἶπεν ὁ κύριος πρὸς τοὺς μαθητὰς μετὰ Pott.
τὴν ἀνάστασιν· οἱ δὲ ἅτε ὑπ᾽ αὐτοῦ εὐτέλειαν ἀσκεῖν δεδιδαγμένοι „ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος,

*) Cf. Matth. 6, 25 sq. **) Prouerb. 13, 21. ***) Luc. 24, 41—44.

καὶ φαγὼν ἐνώπιον αὐτῶν, εἶπεν αὐτοῖς", φησὶν ὁ Λουκᾶς, „ὅσα εἶπεν". πρὸς τούτοις οὐδὲ τραγημάτων καὶ κηρίων ἀμοίρους περιορατέον τοὺς δειπνοῦντας κατὰ λόγον. τῶν γάρτοι βρωμάτων ἐπιτηδειότατα, οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει δίχα πυρὸς, ἐπεὶ καὶ ἑτοιμότερα, δεύτερα δὲ τὰ εὐτελέστερα, ὡς προειρήκαμεν. τῶν δὲ ἀμφὶ τὰς φλεγμαινούσας κυπταζόντων τραπέζας, τὰ σφέτερα τιθηνουμένων πάθη, δαίμων καθηγεῖται λιχνότατος, ὃν ἔγωγε οὐκ ἂν αἰσχυνθείην κοιλιοδαίμονα προσειπεῖν καὶ δαιμόνων κάκιστον καὶ ἐξωλέστατον. παραπλήσιος οὖν οὗτος ἀτεχνῶς τῷ ἐγγαστριμύθῳ καλουμένῳ. ἄμεινον δὲ πολλῷ τοῦ δαίμονα ἔχειν σύνοικον εὐδαίμονα γενέσθαι. εὐδαιμονία δὲ ἐν χρήσει ἀρετῆς ἐξετάζεται.

§. 16. Ματθαῖος μὲν οὖν ὁ ἀπόστολος σπερμάτων καὶ ἀκροδρύων καὶ λαχάνων ἄνευ κρεῶν μετελάμβανεν, Ἰωάννης δὲ ὑπερτείνας τὴν ἐγκράτειαν „ἀκρίδας καὶ μέλι" *) ἤσθιεν ἄγριον. ὑῶν δὲ ἀπείχετο καὶ Πέτρος· ἀλλ' „ἔπεσεν ἐπ' αὐτὸν ἔκστασις", ὡς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται, „καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον καί τι σκεῦος τέτταρσιν ἀρχαῖς ἐκδεδεμένον ἐπὶ τῆς γῆς, πάντα τὰ τετράποδα καὶ τὰ ἑρπετὰ τῆς γῆς καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ ἐν αὐτῷ, καὶ ἐγένετο φωνὴ πρὸς αὐτὸν, ἀνάστα καὶ θῦσον καὶ φάγε. Πέτρος δὲ εἶπε· μηδαμῶς, κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον. καὶ ἡ φωνὴ πάλιν πρὸς αὐτὸν ἐκ δευτέρου· „ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου" **). καὶ ἡμῖν δὲ ἄρα ἀδιάφορος ἡ χρῆσις. „οὐ γὰρ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον" ***), ἀλλὰ ἡ περὶ τῆς ἀκρασίας διάληψις κενή. ὁ γάρτοι θεὸς τὸν ἄνθρωπον πλάσας, „πάντα ὑμῖν", εἶπεν, „ἔσται εἰς βρῶσιν" †). „λάχανα δὲ μετὰ ἀγάπης

P. 175 Pott.

*) Matth. 3, 4. **) Act. 10, 10—15. ***) Matth. 15, 11. †) Genes. 9, 2 sq.

ἢ μόσχον μετὰ δολιότητος"*)· εὖ τοῦτο ὑπομιμνήσκει τοῦ προειρημένου λόγου, ὡς οὐ τὰ λάχανα ἡ ἀγάπη, μετὰ δὲ ἀγάπης τὰ δεῖπνα παραληπτέα, ἐν οἷς ἀγαθὴ μὲν ἡ μέση κατάστασις, ἐν πᾶσι μὲν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῇ ἀμφὶ τὴν ἑστίασιν παρασκευῇ, ἐπεὶ αἱ μὲν ἀκρότητες σφαλεραὶ, αἱ μεσότητες δὲ ἀγαθαί. μέσον δέ ἐστι πᾶν τὸ ἀνενδεὲς τῶν ἀναγκαίων, αἱ γὰρ κατὰ φύσιν ὀρέξεις αὐταρκείᾳ περιορίζονται.

§. 17. Ἰουδαίοις δὲ διὰ τοῦ νόμου οἰκονομικώτατα παραγγέλλεται ἡ εὐτέλεια· μυρίων γὰρ ὅσων
P. 65 ἀφείλετο τὴν χρῆσιν ὁ παιδαγωγὸς αὐτοὺς διὰ
Sylb. Μωϋσέως αἰτίας προσάπτων, κεκρυμμένας μὲν τὰς πνευματικὰς, ἐμφανεῖς δὲ τὰς σαρκικὰς, αἷς καὶ πεπιστεύκασι, τοῖς μὲν ὅτι οὐκ ἔστι διχηλὰ, τοῖς δὲ ὅτι τὴν τροφὴν οὐ μηρυκᾶται, τὰ δ' ὅτι ἄρα οὐκ ἔχει μόνα τῶν ἐνύδρων λεπίδας, ὡς ὀλίγα παντελῶς ἀπολείπεσθαι πρὸς τὴν τροφὴν αὐτοῖς ἐπιτήδεια. ὧν δὲ ἐφῆκεν ἅπτεσθαι, πάλιν κεκώλυκε τούτων τὰ θνησιμαῖα τά τε εἰδωλόθυτα τά τε ἀποπεπνιγμένα. οὐδὲ γὰρ τούτων ψαύειν θέμις. ἐπεὶ γὰρ ἀμήχανον χρώμενον τοῖς ἡδέσιν ἀποστῆναι τῆς ἀποδοχῆς αὐτῶν, τὴν ἐναντίαν ἀντέθηκεν ἀγωγὴν, μέχρις ἂν ἐκλύσῃ τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν ἡδυπάθειαν καταδρο- P. 176
μήν. ἀνθρώποις δὲ τὰ μὲν πολλὰ βλάβην καὶ λύ- Pott.
πην ἐνεγέννησεν ἡδονὴ, δυσπάθειαν δὲ καὶ λήθην καὶ ἀφροσύνην ἡ πολυτροφία ἐντίκτει τῇ ψυχῇ. εὐαυξῆ δὲ καὶ τῶν παίδων τὰ σώματα γίνεσθαί φασιν εἰς μῆκος ἐπιδιδόντων ἀπὸ τῆς ἐλλειπούσης τροφῆς· οὐ γὰρ κωλύεται τὸ ἀνατρέχον εἰς αὔξησιν πνεῦμα τῆς πολλῆς τροφῆς ἀντιφραττούσης τὸ εὔπνουν τοῦ δρόμου.

§. 18. Ὅθεν κατηγορῶν τοῦ τρυφῶντος βίου ὁ τὴν ἀλήθειαν ἐζηλωκὼς τῶν φιλοσόφων Πλάτων τὸ ἔναυσμα τῆς Ἑβραϊκῆς φιλοσοφίας ζωπυρῶν, ἐλ-

---

*) Prouerb. 15, 17.

θόντα δέ με, φησὶν, ὁ ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων, Ἰταλικῶν τε καὶ Συρακουσίων τραπεζῶν πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε, δις τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν καὶ μηδέποτε μόνον κοιμώμενον νύκτωρ, καὶ ὅσα τούτῳ ἐπιτηδεύματα συνέπεται τῷ βίῳ· ἐκ γὰρ τούτων οὔτ᾽ ἂν φρόνιμος οὐδείς ποτ᾽ ἂν γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων δύναιτο ἐκ νέου ἐπιτηδεύων τοιαῦτα, οὐχ οὕτω θαυμαστῇ φύσει κραθήσεται. οὐ γὰρ ἄπυστος ἦν, ὁ Πλάτων τοῦ Δαβὶδ, ὃς ἐν τῇ πόλει τῇ ἑαυτοῦ τὴν ἁγίαν ἱδρύων κιβωτὸν ἐν μέσῃ τῇ σκηνῇ, παντὶ τῷ ὑπηκόῳ εὐφροσύνην ποιήσας λαῷ, ἐναντίον τοῦ κυρίου διεμέρισεν εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἑκάστῳ κολλυρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λάγανον ἀπὸ τηγάνου. αὐτάρκης αὕτη ἡ τροφὴ καὶ Ἰσραηλιτικὴ, ἡ δὲ ἐθνικὴ περιττή. σώφρων οὐδ᾽ ἂν μελλήσαι ποτὲ γενέσθαι ὁ χρώμενος αὐτῇ τὸν νοῦν ἐγκατορύξας τῇ κοιλίᾳ, τῷ ἰσχθύϊ τῷ καλουμένῳ ὄνῳ τὰ μάλιστα ἐοικὼς, ὃν δή φησιν Ἀριστοτέλης μόνον τῶν ἄλλων ζώων ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔχειν. τοῦτον ἐκτραπελόγαστρον Ἐπίχαρμος καλεῖ ὁ κω- P. 177
μικός. τοιοῦτοι τῶν ἀνθρώπων οἱ εἰς γαστέρα πε- Pott.
πιστευκότες, „ὧν θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες". τούτοις οὐκ ἀγαθὰ προεθέσπιζεν ὁ ἀπόστολος „ὧν τὸ τέλος", εἰπὼν, „ἡ ἀπώλεια" *).

Cap. II.

Πῶς τῷ ποτῷ προσενεκτέον.

§. 19. „Οἴνῳ δὲ ὀλίγῳ χρῶ", τῷ Τιμοθέῳ ὑδροποτοῦντι, „διὰ τὸν στόμαχόν σου" **), φησὶν

---

*) Philipp. 3, 19. **) 1 Timoth. 5, 23.

ὁ ἀπόστολος, παγκάλως νοσηλευομένῳ καὶ πλαδῶντι σώματι κατάλληλον τὸ ἐπιστῦφον βοήθημα προσφέρων, ὀλίγον δὲ ἐκκρίνων τοῦτο, μὴ λάθῃ τὸ βοήθημα διὰ πλῆθος ἄλλης θεραπείας δεόμενον. φυσικὸν μὲν οὖν καὶ νηφάλιον ποτὸν ἀναγκαῖον διψῶσίν ἐστιν ὕδωρ. τοῦτο ἐκ τῆς ἀκροτόμου πέτρας κατειβόμενον τοῖς παλαιοῖς τῶν Ἑβραίων*) μονότροπον σωφροσύνης ὁ κύριος ἐχορήγει ποτὸν, νήφειν δὲ μάλιστα ἐχρῆν τοὺς ἐπιπλανωμένους. ἔπειτα ἡ ἄμπελος ἡ ἁγία τὸν βότρυν ἐβλάστησε τὸν προφητικόν. τοῦτο σημεῖον τοῖς εἰς ἀνάπαυσιν ἐκ τῆς πλάνης πεπαιδαγωγημένοις ὁ μέγας βότρυς ὁ λόγος ὁ ὑπὲρ ἡμῶν θλιβεὶς, τοῦ αἵματος τῆς σταφυλῆς ὕδατι κίρνασθαι ἐθελήσαντος τοῦ λόγου, ὡς καὶ τὸ αἷμα αὐτοῦ σωτηρίᾳ κίρναται. διττὸν δὲ τὸ αἷμα τοῦ κυρίου, τὸ μὲν γάρ ἐστιν αὐτοῦ σαρκικὸν, ᾧ τῆς φθορᾶς λελυτρώμεθα, τὸ δὲ πνευματικὸν, τουτέστιν ᾧ κεχρίσμεθα. καὶ τοῦτ᾽ ἔστι πιεῖν τὸ αἷμα τοῦ Ἰησοῦ τῆς κυριακῆς μεταλαβεῖν ἀφθαρσίας· ἰσχὺς δὲ τοῦ λόγου τὸ πνεῦμα, ὡς αἷμα σαρκός.

§. 20. Ἀναλόγως τοίνυν κίρναται ὁ μὲν οἶνος τῷ ὕδατι, τῷ δὲ ἀνθρώπῳ τὸ πνεῦμα, καὶ τὸ μὲν εἰς πίστιν εὐωχεῖ τὸ κρᾶμα, τὸ δὲ εἰς ἀφθαρσίαν ὁδηγεῖ τὸ πνεῦμα, ἡ δὲ ἀμφοῖν αὖθις κρᾶσις P. 178 Pott. ποτοῦ τε καὶ λόγου εὐχαριστία κέκληται, χάρις ἐπαινουμένη καὶ καλὴ, ἧς οἱ κατὰ πίστιν μεταλαμβάνοντες ἁγιάζονται καὶ σῶμα καὶ ψυχὴν, τὸ θεῖον κρᾶμα τὸν ἄνθρωπον τοῦ πατρικοῦ βουλήματος πνεύματι καὶ λόγῳ συγκιρνάντος μυστικῶς· καὶ γὰρ ὡς ἀληθῶς μὲν τὸ πνεῦμα ᾠκείωται τῇ ἀπ᾽ αὐτοῦ φερομένῃ ψυχῇ, ἡ δὲ σὰρξ τῷ λόγῳ, δι᾽ ἣν ὁ λόγος γέγονε σάρξ. ἄγαμαι τοίνυν τοὺς αὐστηρὸν ἐπανῃρημένους βίον καὶ τῆς σωφροσύνης τὸ φάρμακον ἐπιποθοῦντας τὸ ὕδωρ, φεύγοντας δὲ ὅτι μάλιστα πορ-

---

*) Cf. Exod. c. 17. Num. c. 20.

ῥωτάτω τὸν οἶνον, οἷον πυρὸς ἀπειλήν. ἀρέσκει οὖν τοὺς παῖδας καὶ τὰς κόρας ὡς ἐπὶ τὸ πλεῖστον ἀπέχεσθαι τοῦ φαρμάκου τούτου· οὐ γὰρ κατάλληλον ζεούσῃ ἡλικίᾳ τῶν ὑγρῶν τὸ θερμότατον ἐπεγχεῖν, τὸν οἶνον, οἱονεὶ πῦρ ἐποχετεύοντας πυρὶ, ἐξ οὗ ὁρμαί τε ἄγριαι καὶ φλεγμαίνουσαι ἐπιθυμίαι καὶ διάπυρον ἦθος ἐκκαίεται· προπετεῖς τε οἱ νέοι ἔνδοθεν χλιαινόμενοι ἐπὶ τὰς ὀρέξεις γίνονται· ὡς δὴ P. 66 Sylb. προὔπτον αὐτῶν τὴν βλάβην ἐλέγχεσθαι διὰ τοῦ σώματος πεπαινομένων θᾶττον ἢ προσῆκεν τῶν τῆς ἐπιθυμίας μελῶν. ὀργῶσι γοῦν ἀναιδέστερον ἀναζέοντες οἴνου καὶ οἰδοῦσι μαστοί τε καὶ μόρια προκηρύσσοντες ἤδη πορνείας εἰκόνα, καὶ τῆς ψυχῆς τὸ τραῦμα φλεγμαίνειν ἀναγκάζει τὸ σῶμα, σφιγμοί τε ἀναιδεῖς περιεργίαν διώκουσιν εἰς παρανομίας ἐκκαλούμενοι τὸν κόσμιον.

§. 21. Ἐνθένδε ἤδη τῆς ἡλικίας τὸ γλεῦκος ὑπερβάλλει τῆς αἰδοῦς τοὺς ὅρους. χρὴ δὲ, ὡς ἔνι μάλιστα, κατασβεννύναι πειρᾶσθαι τὰς ὁρμὰς τῶν νέων, ἀφαιροῦντας μὲν τὸ ὑπέκκαυμα τὸ τῆς ἀπειλῆς βακχικὸν, ἐπεισχέοντας δὲ τὸ ἀντιφάρμακον τῆς ἐκζέσεως, ὃ καὶ τὴν ψυχὴν τυφομένην ἤδη καθέξει καὶ τὰ μόρια ἐφέξει διοιδοῦντα καὶ κατακοιμίσει τὸν ἐρεθισμὸν τῆς ἤδη σαλευομένης ἐπιθυμίας. οἱ δὲ ἀκμάζοντες μεθ' ἡμέραν μὲν ἀρίστου μεταλαβόντες, P. 17 Po οἷς κατάλληλον τὸ ἄριστον, ἄρτου μόνον ἀπογευσάμενοι ἀπεχέσθων πάμπαν τοῦ ποτοῦ πρὸς τὸ ἀναπίνεσθαι τὴν περιττὴν ὑγρότητα αὐτῶν ἀνασπογγιζομένην ξηροφαγίᾳ. καὶ γὰρ τὸ συνεχὲς πτύειν καὶ ἀπομύσσεσθαι καὶ περὶ τὰς ἐκκρίσεις σπεύδειν ἀκρασίας τεκμήριον ἐκ τῆς ἀμέτρου προσφορᾶς ὑπερχεομένων τῶν ὑγρῶν τῷ σώματι. εἰ δὲ καὶ ἐπιγίνοιτο δίψα, ἀρκείσθω ὕδατι τὸ πάθος οὐ πολλῷ· οὐδὲ γὰρ ὕδατος ἀνέδην ἐμφορεῖσθαι καθήκει, ὡς μὴ ἐκκλύζοιτο ἡ τροφὴ, καταλεαίνοιτο δὲ εἰς πέψιν καταταт-

τομένων μὲν εἰς τὸν ὄγκον τῶν σιτίων, ὀλίγων δὲ παντάπασιν εἰς τὰς ἐκκρίσεις χωρούντων.

§. 22. Πρέπει δὲ καὶ ἄλλως ταῖς θεϊκαῖς φροντίσι μὴ οἰνοβαρεῖν· ὁ γὰρ ἄκρατος κατὰ τὸν κωμικὸν ὀλίγ᾽ ἀναγκάζει φρονεῖν, μή τι δὲ οὐδὲ σωφρονεῖν. εἰς δὲ ἑσπέραν τοῦ δείπνου περὶ τὴν ὥραν οἴνῳ χρηστέον, ἐπειδὰν μηκέτι τοῖς ἀναγνώσμασι σχολάζωμεν τοῖς νηφαλιωτέροις. τὸ τηνικάδε δὲ ψυχρότερον καὶ τὸ περιέχον παρὰ τὸ μεθ᾽ ἡμέραν γίγνεται, ὡς δεῖν ὑποτρέφειν τὴν ἐκλείπουσαν ἔμφυτον ἀλέαν ἐπεισάκτῳ θερμότητι, ὀλίγῳ δὲ τῷ οἴνῳ κἀνταῦθα, οὐ γὰρ μέχρι τῶν ὕβρεως προσιτέον κρατήρων. τοῖς δὲ ἤδη παρηβηκόσιν ἱλαρώτερον ἐπιτρεπτέον μεταλαμβάνειν τοῦ ποτοῦ τὸ καταψυχόμενον τῆς ἡλικίας, οἷον μαραινόμενον ὑπὸ χρόνου, ἀναζωπυροῦντας ἀβλαβῶς τῷ τῆς ἀμπέλου φαρμάκῳ· οὐδὲ γὰρ ὡς ἐπὶ πλεῖστον ἐγκυμαίνονται ἔτι τῶν πρεσβυτέρων αἱ ὀρέξεις περὶ τὰ τῆς μέθης ναυάγια· καθωρμισμένοι μὲν γὰρ οἷον ἀγκύραις τῷ λόγῳ καὶ τῷ χρόνῳ τὴν ζάλην τῶν ἐπιθυμιῶν τὴν καταιγίζουσαν ἐκ μέθης ῥᾷον φέρουσιν, οἷς ἴσως καὶ χαριεντίσασθαί τι ἔξεστι παρὰ τὰς εὐωχίας. ἀλλὰ καὶ τούτοις ὅρος ἔστω τοῦ ποτοῦ μέχρις οὗ τὸν λογισμὸν ἄσειστον διατηρήσωσι καὶ τὴν μνήμην ἐνεργὸν καὶ τὸ σῶμα ἀσάλευτον οἴνῳ καὶ ἀκράδαντον· ἀκροθώρακα τοῦτον καλοῦσιν οἱ περὶ P. 180 Pott. ταῦτα δεινοί.

§. 23. Καλὸν οὖν τὸ προκαταλήγειν διὰ τὸν ὄλισθον. Ἀρτώριος δέ τις ἐν τῷ περὶ μακροβιοτίας, μέμνημαι γάρ, ἐφ᾽ ὅσον βρέξαι τὰ σιτία μόνον οἴεται δεῖν προσάγειν, ἵνα μακροτέραν κτησώμεθα τὴν ζωήν. ἁρμόδιον τοίνυν τὸν οἶνον τοὺς μὲν ἐπὶ θεραπείας μέρει προσφέρεσθαι διὰ τὴν ὑγείαν μόνην, τοὺς δὲ ἐν ἀνέσει καὶ διαχύσει. οἶνος γὰρ πρῶτον μὲν αὐτὸν αὑτοῦ ἵλεων ποιεῖ τὸν πιόντα μᾶλλον ἢ πρότερον καὶ τοῖς συμπόταις μειλίχιον καὶ τοῖς οἰκέταις πρᾳότερον καὶ προσηνέστερον τοῖς φίλοις,

παροινηθεὶς δὲ ἀμείβεται τὴν ὕβριν· θερμὸς γὰρ ὢν καὶ χυμοὺς ἔχων ἡδεῖς, κεκραμένος ἐμμελῶς τὰ μὲν αἰσχρὰ τῶν περιττωμάτων διατήκει θερμότητι, τοὺς δὲ δριμεῖς καὶ φαύλους ταῖς εὐωδίαις κεράννυσι χυμούς. εὖ γοῦν ἐκεῖνο εἴρηται· „ἀγαλλίαμα ψυχῆς καὶ καρδίας οἶνος ἔκτισται ἀπαρχῆς πινόμενος αὐτάρκης" *). κίρνασθαι δὲ ἄριστον τῷ ὕδατι ὡς πλείστῳ τὸν οἶνον καὶ μὴ ὡς ὕδωρ ἐπιζητεῖσθαι καὶ ἀπαμβλύνεσθαι πρὸς τὴν μέθην μηδ᾽ ὡς ὕδωρ ἐπεγχεῖσθαι διὰ τὴν φιλοινίαν· ἄμφω μὲν τοῦ θεοῦ ποιήματα, καὶ ταύτῃ πρὸς ὑγείαν συνεργεῖ ἡ κρᾶσις ἡ ἀμφοῖν, ὕδατός τε καὶ οἴνου, ὅτι ἐκ τοῦ ἀναγκαίου καὶ τοῦ χρησίμου ὁ βίος συνέστηκε.

§. 24. Τῷ μὲν οὖν ἀναγκαίῳ τῷ ὕδατι ὡς ὅτι πλείστῳ ἐγκαταμικτέον καὶ τοῦ χρησίμου, οἴνῳ δὲ ἀμέτρῳ ἡ μὲν γλῶττα παραποδίζεται, παρεῖται δὲ τὰ χείλη, ὀφθαλμοὶ δὲ παρατρέπονται, οἷον κολυμβώσης τῆς ὄψεως ὑπὸ τοῦ πλήθους τῆς ὑγρότητος, καὶ ψεύδεσθαι βεβιασμένοι κύκλῳ μὲν ἡγοῦνται περιφέρεσθαι τὰ πάντα, ἀριθμεῖν δὲ οὐ δύνανται τὰ πόρρω ὡς ἔστι μόνα,

καὶ μὴν ὁρᾶν μοὶ δύο μὲν ἡλίους δοκῶ,

μεθύων ὁ Θηβαῖος ἔλεγε γέρων· κινουμένη μὲν P. 18
γὰρ ὑπὸ τῆς τοῦ οἴνου θερμότητος ἡ ὄψις πυκνό- Pot
τερον πολλαπλασίονα τοῦ ἑνὸς φαντάζεται τὴν οὐσίαν, διαφέρει δ᾽ οὐθὲν ἧττον ὄψιν κινεῖν ἢ τὸ ὁρώμενον· ταὐτὸν γὰρ ἐξ ἀμφοῖν ἡ ὄψις πέπονθεν τῆς τοῦ ὑποκειμένου καταλήψεως διὰ τὸν σάλον ἀκριβῶς ἐφικέσθαι μὴ δυναμένη, καὶ αἱ βάσεις καθάπερ ῥεύματι ὑποφέρονται, λυγμοί τε καὶ ἔμετοι καὶ παραφροσύναι ἐπεισεκώμασαν.

πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ

κατὰ τὴν τραγῳδίαν

ἥσσων μὲν ὀργῆς ἐστὶ, τοῦ δὲ νοῦ κενὸς,

---

*) Eccles. 31, 27 sq.

φιλεῖ δὲ πολλὴν γλῶτταν ἐκχέας μάτην
ἄκων ἀκούειν ἅπερ ἑκὼν εἶπεν κακῶς.

καὶ πρό γε τῆς τραγῳδίας ἡ σοφία κέκραγεν· „οἶνος πινόμενος πολὺς ἐν ἐρεθισμῷ καὶ παντὶ πτώματι πληθύνει“ *).

P. 67 Sylb. §. 25. Διὸ οἱ μὲν πλεῖστοι ἀνίεσθαί φασι δεῖν παρὰ τοὺς πότους καὶ τὰ σπουδαῖα εἰς ἕω ὑπερτίθεσθαι. ἐγὼ δὲ τότε μάλιστα τὸν λόγον συνευωχησόμενον ἀξιῶ παρεισάγειν παιδαγωγήσοντα τὴν οἰνοφλυγίαν, μὴ λάθῃ παρεμπεσοῦσα εἰς μέθην ἡ εὐωχία· ὡς γὰρ ὀφθαλμοὺς οὐκ ἄν τις εὖ φρονῶν πρὶν ἢ ἐπὶ τὸν ὕπνον ἰέναι ἀξιώσειε μύειν, οὕτως οὐδὲ τὸν λόγον ἀπεῖναι τοῦ συμποσίου ὀρθῶς ἄν τις βουληθείη οὐδὲ προκατακοιμίζειν αὐτὸν τῶν πράξεων ἐπιτηδεύσαι ἂν καλῶς, ἀλλ᾽ οὐδὲ ἀφίστασθαί ποτε δυνήσεται τῶν οἰκείων ὁ λόγος αὐτῷ οὐδ᾽ ἂν καθεύδωμεν. καὶ γὰρ ἐπὶ τὸν ὕπνον παρακλητέον. τελεία γὰρ ἡ σοφία θείων οὖσα καὶ ἀνθρωπίνων πραγμάτων ἐπιστήμη, ἐμπεριλαβοῦσα τὰ ὅλα κατ᾽ ἐκεῖνο, καθ᾽ ὃ ἂν ἐπισκοπῇ τὴν ἀνθρώπων ἀγέλην, τέχνη γίνεται περὶ τὸν βίον, καὶ ταύτῃ πάντῃ συμπάρεστιν ἐφ᾽ ὅσον βιοῦμεν, ἀεὶ τὸ ἴδιον ἔργον ἐκτελοῦσα, τὴν εὐζωΐαν. οἱ δὲ κακοδαίμονες οἱ ἀπελαύνοντες σωφροσύνην εὐωχίας μακαριστὸν ἡγοῦνται βίον τὴν (P. 182 Pott.) ἀκοσμίαν τὴν περὶ τὰ συμπόσια, ὧν ἐστι τὸ ζῆν οὐδὲν ἀλλ᾽ ἢ κῶμος, κραιπάλη, βαλανεῖα, ἄκρατος, ἀμίδες, ἀργία, πότος.

§. 26. Ὁρᾶν γοῦν ἔστιν αὐτῶν τινὰς ἡμιμεθεῖς ἐσφαλμένους περὶ τοῖς τραχήλοις ἔχοντας στεφάνους, ὥσπερ τοὺς ἀμφορεῖς, διαπτύζοντας ἀλλήλοις τὸν ἄκρατον φιλοτησίας ὀνόματι, ἄλλους δὲ πλήρεις κραιπάλης, αὐχμῶντας, ὠχριῶντας τὰ πρόσωπα, πελιδνοὺς καὶ ἔτι ἐπὶ τῇ χθιζῇ μέθῃ ἄλλην εἰς ἕω αὖθις ἀναντλοῦντας μέθην. καλόν, ὦ φίλοι, καλὸν

*) Ibid. v. 29 sq.

καταμαθόντας ὅτι μάλιστα πόῤῥωθεν τὴν εἰκόνα ταύτην τὴν γελοίαν ἅμα καὶ ἐλεεινὴν σφᾶς αὐτοὺς πρὸς τὸ ἄμεινον σχηματίζειν, ὀῤῥωδοῦντας μὴ ἄρα πὴ καὶ ἡμεῖς παραπλήσιον θέαμα τοῖς ἄλλοις καὶ γέλως γενώμεθα. ἀστείως ἄρα εἴρηται· „ὡς ἄρα κάμινος μὲν δοκιμάζει στόμωμα ἐν βαφῇ, οἶνος δὲ καρδίαν ὑπερηφάνων" *). μέθη μὲν οὖν ἐστὶν ἀκράτου χρῆσις σφοδροτέρα, παροινία δὲ ἡ ἐκ τῆς χρήσεως ἀκοσμία, κραιπάλη δὲ ἡ ἐπὶ τῇ μέθῃ δυσαρέστησις καὶ ἀηδία ἀπὸ τοῦ τὸ κάρα πάλλειν ὠνομασμένη.

§. 27. Τοῦτον τὸν βίον, εἰ βίον καλεῖν χρὴ ῥάθυμον ὄντα καὶ περὶ τὰς ἡδυπαθείας κεκινημένον καὶ περὶ τὴν οἰνοφλυγίαν ἐπτοημένον, ἡ θεία σοφία ὑφορωμένη παραγγέλλει τοῖς αὐτῆς τέκνοις· „μὴ ἴσθι οἰνοπότης μηδὲ ἐκτείνου συμβολαῖς κρεῶν ἀγορασμοῖς, πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει καὶ ἐνδύσεται διεῤῥηγμένα [καὶ ῥακώδη] πᾶς ὑπνώδης" **). ὑπνώδης γὰρ πᾶς ὁ μὴ εἰς σοφίαν ἐγρηγορῶν, ἀλλὰ ὑπὸ μέθης βαπτιζόμενος εἰς ὕπνον. „καὶ διεῤῥωγότα", φησὶν, „ἐνδύσεται ὁ πάροινος, ἐπαισχυνθήσεταί τε τῇ μέθῃ διὰ τοὺς κατοπτεύοντας". ὀπαὶ γὰρ ἁμαρτωλοῦ τὰ διεῤῥωγότα τοῦ ὕφους τοῦ σαρκικοῦ φιληδονίαις κατατετρημένα, δι' ὧν ἡ αἰσχύνη ἔνδοθεν τῆς ψυχῆς ἐπιθεωρεῖται, ἡ ἁμαρτία, δι' ἣν οὐδὲ σωθήσεται ῥᾳδίως τὸ ὕφος τὸ ἀπεσπασμένον πάντοθεν εἰς πολλὰς κατασηπόμενον ἐπιθυμίας τὸ ἀπεσχισμένον τῆς σωτηρίας. ταύτῃ νουθετικώτατα ἐπιφέρει· „τίνι οὐαὶ, τίνι θόρυβος, τίνι κρίσεις, P. 18
τίνι ἀηδεῖς λέσχαι, τίνι συντρίμματα διακενῆς" ***); Pot
ὁρᾶτε ὅλον διεῤῥωγότα τὸν φίλοινον, ὃς παρορᾷ μὲν τὸν λόγον αὐτὸν, ἔκδοτον δὲ ἑαυτὸν συνεχώρησεν τῇ μέθῃ, ὅσα τούτῳ ἠπείλησεν ἡ γραφή. καὶ πάλιν ἐπι-

*) Eccles. 31, 26. **) Prouerb. 23, 20 sq. ***) Ibid. v. 29.

φέρει τῇ ἀπειλῇ· „τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται“ *); ἐνταῦθα μὲν καὶ νεκρὸν ἤδη τῷ λόγῳ τὸν φιλοπότην ἀποφαίνεται διὰ τῶν ὀφθαλμῶν τῶν πελιδνῶν, ὃ τοῖς νεκροῖς σημεῖον ἐπιφαίνεται, τὸν ἐν κυρίῳ θάνατον αὐτῷ καταγγείλασα, ἡ γὰρ ἀμνηστεία τῶν εἰς τὴν ἀληθῆ συντεινόντων ζωὴν ἐπὶ τὴν φθορὰν ῥέπει.

§. 28. Εἰκότως οὖν στερρότατα ὁ παιδαγωγὸς ἀπαγορεύει τῆς ἡμετέρας κηδόμενος σωτηρίας, „μὴ πίνετε οἶνον ἐπὶ μέθῃ“. διὰ τί, πεύσῃ; „ὅτι“, φησί, „τὸ στόμα σου τότε λαλήσει σκολιά, κατάκεισαι δὲ ὥσπερ ἐν καρδίᾳ θαλάσσης καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι“ **). ἐντεῦθεν καὶ ἡ ποιητικὴ ὠφελημένη λέγει·

οἶνός θ᾽, ὃς πυρὶ ἶσον ἔχει μένος, εὖτ᾽ ἂν ἐς ἄνδρας
  ἔλθῃ, κυμαίνει δ᾽ οἷα Λίβυσσαν ἅλα
Βορρῆς ἠὲ Νότος,
τὰ δὲ καὶ κεκρυμμένα πάντα φαίνει
  ἁμαρτοεπὴς οἶνος, μεθύουσιν ὄλισθος
  οἶνος ψυχαπάτης

καὶ τὰ ἑξῆς. ὁρᾶτε τοῦ ναυαγίου τὸν κίνδυνον; περικλύζεται μὲν ἡ καρδία πολυποσίᾳ, τὸ δὲ πλῆθος τῆς οἰνοφλυγίας θαλάττης εἴκασεν ἀπειλῇ, ἐν ᾗ βεβυθισμένον τὸ σῶμα ὥσπερ ναῦς δέδυκεν εἰς βυθὸν ἀκοσμίας ταῖς τοῦ οἴνου τρικυμίαις ἐπικεχωσμένον, ὁ δὲ κυβερνήτης, ὁ νοῦς ὁ ἀνθρώπινος, περιφέρεται τῷ κλύδωνι ὑπερεχούσης τῆς μέθης, ἐνθαλαττεύων τε εἰλιγγιᾷ τῷ ζόφῳ τῆς καταιγίδος, τοῦ τῆς ἀληθείας ἀστοχήσας λιμένος, ἕως ἀντιπεριπεσὼν ὑφάλοις πέτραις αὐτὸς αὑτὸν ἐξοκείλας εἰς ἡδονὰς διαφθείρῃ.

§. 29. Εἰκότως οὖν καὶ ὁ ἀπόστολος παραγγέλλει· „μὴ μεθύσκεσθε ἐν οἴνῳ, ᾧ ἐστιν ἀσωτία πολλή“ ***), τὸ ἄσωστον τῆς μέθης διὰ τῆς P. 184 Pott.

*) Prouerb. 23, 29 sq. **) Ibid. v. 33 sq. ***) Ephes. 5, 18.

ἀσωτίας αἰνιξάμενος. εἰ γὰρ καὶ τὸ ὕδωρ οἶνον ἐν
τοῖς γάμοις πεποίηκεν, οὐκ ἐπέτρεψε μεθύειν, τὸ δὲ
ὑδαρὲς τοῦ φρονήματος ἐζωοποίησε τοῦ νόμου τὸν
ἐργάτην τὸν ἐξ Ἀδὰμ, τὸν κόσμον ὅλον αἵματι πλη-
ρώσας, ἀμπέλου ποτὸν ἀληθείας τὸ κρᾶμα τοῦ νόμου
τοῦ παλαιοῦ καὶ τοῦ λόγου τοῦ νέου εἰς συμπλή-
ρωσιν τοῦ χρόνου τοῦ προκατηλλαγμένου θεοσεβείᾳ
P. 68 παρασχών. μυστικὸν ἄρα σύμβολον ἡ γραφὴ αἵ-
Sylb. ματος ἁγίου οἶνον ὠνόμασεν, τὴν δὲ ἐκ τοῦ οἴνου
ἑωλοκρασίαν διελέγχουσα „ἀκόλαστον οἶνος" φησὶ
„καὶ ὑβριστικὸν μέθη" *). ἀρέσκει τοίνυν τῷ λόγῳ
τῷ ὀρθῷ χειμῶνος μὲν διὰ τὸ κρύος πίνειν μέχρι
τοῦ μὴ ῥιγοῦν, οἷς εὐχερὲς τὸ ῥιγοῦν, τοῦ δὲ ἄλλου
καιροῦ διὰ τὴν τῶν ἐντοσθιδίων θεραπείαν. ὡς γὰρ
τροφαῖς ἐπὶ τὸ μὴ πεινῆν, οὕτως καὶ ποτῷ ἐπὶ τὸ
μὴ διψῆν χρηστέον, παραφυλάττοντας τὸν ὄλισθον
ἀκριβῶς· ἀκροσφαλὴς γὰρ ἡ τοῦ οἴνου παρείσδυσις.
οὕτω δ' ἂν καὶ ἡ ψυχὴ ἡμῶν ὑπάρξαι καθαρὰ καὶ
ξηρὰ καὶ φωτοειδὴς, αὐὴ δὲ ψυχὴ, ξηρὰ, σοφωτάτη
καὶ ἀρίστη· ταύτῃ δὲ καὶ ἐποπτικὴ, οὐδὲ ἔστι κά-
θυγρος ταῖς ἐκ τοῦ οἴνου ἀναθυμιάσεσι νεφέλης δί-
κην σωματοποιουμένη.

§. 30. Οὐ πολυπραγμονητέον τοίνυν τὸν οἶνον
τὸν Χῖον, ἂν ἀπῇ, οὐδὲ τὸν Ἀριούσιον, ὅταν μὴ
παρῇ. δίψα γὰρ ἐνδείας τινός ἐστι πάθος καὶ τὸ
κατάλληλον ἐπιζητεῖ βοήθημα πρὸς ἀναπλήρωσιν οὐ
τετυφωμένον ποτόν. πλαδώσης δὲ ὀρέξεως δι' P. 18
ἀκρασίαν αἱ διαπόντιοι οἰνηγίαι, παραφρονούσης Pot
καὶ πρὸ τῆς μέθης περὶ τὰς ἐπιθυμίας τῆς ψυχῆς.
Θάσιός τε γὰρ ὁ εὐώδης καὶ ὁ εὔπνους Λέσβιος
καὶ Κρής τις γλυκὺς καὶ Συρακούσιος ἡδὺς καὶ Μεν-
δήσιός τις Αἰγύπτιος καὶ ὁ νησιώτης Νάξιος καὶ ἀν-
θοσμίας τις ἄλλος τῆς Ἰταλῶν γῆς — πολλὰ ταῦ-
τα ὀνόματα — σώφρονι συμπότῃ οἶνος εἷς, ἑνὸς γε-

*) Prouerb. 20, 1.

ώργιον θεοῦ. τί γὰρ οὐκ ἀπόχρη ὁ ἐπιχώριος ἀποπληρῶσαι τὴν ἐπιθυμίαν; εἰ μή τι καὶ τὸ ὕδωρ ἐποίσονται, ὡς οἱ βασιλεῖς οἱ ἀνόητοι. Χόασπις ποταμὸς οὕτω λεγόμενος τῆς Ἰνδικῆς, οὗ κάλλιστον ὕδωρ εἰς πόσιν τὸ Χοάσπιον, καθάπερ καὶ τοὺς φίλους, οὕτω δὲ καὶ τὸ ὕδωρ ἐπαγόμενον. ταλανίζει τοὺς πλουσίους εἰς τρυφὴν κἀνταῦθα τὸ ἅγιον πνεῦμα διὰ τοῦ Ἀμὼς ἐκφωνῆσαν· „οἱ πίνοντες τὸν διυλισμένον οἶνον καὶ ἐπὶ κλίνης ἐλεφαντίνης", φησὶ, „κατακείμενοι" *), καὶ ὅσα τούτοις ἀκόλουθα ἐν ὀνείδους ἐπήγαγεν μέρει.

§. 31. Προνοητέον δὲ μάλιστα τῆς εὐσχημοσύνης, καὶ γὰρ τὴν Ἀθηνᾶν φησὶν ὁ μῦθος, ἥτις ποτὲ ἦν, προμηθουμένην αὐτῆς τῶν αὐλῶν ἀπορρῖψαι τὸ ἐπιτερπὲς διὰ τὸ ἀπρεπὲς τῆς ὄψεως, ὡς ἀδιαστρόφως τῷ προσώπῳ πιεῖν, μὴ ἄδην σπάσαντας μηδὲ πρὸ πόσεως τοὺς ὀφθαλμοὺς ἀσχημονεῖν ἀναγκάζοντας, ἀμυστεὶ ἕλκοντας ὑπὸ ἀκρασίας, μηδὲ περιχεῖν τὸ γένειον ἢ τὴν ἐσθῆτα καταβρέχειν, ἀθρόου τοῦ ποτοῦ ἐπεισχεομένου, μονονουχὶ ἐμπλύνοντα καὶ ἐναποκλυζόμενον ταῖς φιάλαις τὸ πρόσωπον τὸ αὐτῶν. καὶ γὰρ ὁ κελαρυσμὸς ῥαγδαίου τοῦ ποτοῦ φερομένου σὺν πολλῷ τῷ πνεύματι ἐπισπωμένου ὥσπερ εἰς κεραμεοῦν ἄγγος ἐγχεομένου, ἠχοῦντος τοῦ λαιμοῦ διὰ τὸν ῥοώδη καταβροχθισμὸν, αἰσχρὸν καὶ ἀπρεπὲς τὸ θέαμα τῆς ἀκρασίας, πρὸς δὲ καὶ ἐπιβλαβὲς τὸ ἐπιτήδευμα τῷ μεταλαμβάνοντι ἡ φιλοποσία. μὴ σπεύσῃς εἰς βλάβην, ὦ οὗτος. οὐχ ἁρπάζεταί σου τὸ ποτόν· σοὶ δέδοται καὶ ἀναμένει σε. μὴ διαρραγῆναι σπουδάσῃς, χανδὸν ἑλκύσας· πίμπλαταί σου ἡ δίψα κἂν βράδιον πίῃς, τὸ κόσμιον προσλαβοῦσα, κοσμίως καταμεριζομένου τοῦ ποτοῦ· οὐ γὰρ ἀφαιρεῖται τῷ χρόνῳ, ὃ προαρπάζει ἡ ἀκρασία, „ἐν οἴνῳ δὲ", φησὶ, „μὴ ἀνδρίζου, πολλοὺς γὰρ ἠχρείωσεν ὁ οἶνος" **). P. 186 Pott.

*) Amos 6, 6. 4. **) Eccles. 31, 25.

§. 32. *Μέθῃ δὲ μάλιστα οἱ Σκύθαι χρῶνται Κελτοί τε καὶ Ἴβηρες καὶ Θρᾷκες πολεμικὰ ξύμπαντα ταῦτα ὄντα γένη καὶ καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασιν, ἡμεῖς δὲ τὸ εἰρηνικὸν γένος εἰς ἀπόλαυσιν, οὐκ εἰς ὕβριν ἑστιώμενοι νηφαλίους πίνομεν φιλοτησίας, ἵνα δὴ τῷ ὄντι οἰκείως τῷ ὀνόματι δειχθῶσιν φιλότητες. πῶς οἴεσθε πεπωκέναι τὸν κύριον, ὁπηνίκα δι' ἡμᾶς ἄνθρωπος ἐγένετο; οὕτως ἀναισχύντως ὡς ἡμεῖς; οὐχὶ ἀστείως; οὐχὶ κοσμίως; οὐκ ἐπιλελογισμένως; εὖ γὰρ ἴστε, μετέλαβεν οἴνου καὶ αὐτός· καὶ γὰρ ἄνθρωπος καὶ αὐτός· καὶ εὐλόγησέν γε τὸν οἶνον, εἰπών, „λάβετε, πίετε· τοῦτό μού ἐστιν τὸ αἷμα"* *), *αἷμα τῆς ἀμπέλου, τὸν λόγον τὸν περὶ πολλῶν ἐκχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν εὐφροσύνης ἅγιον ἀλληγορεῖ νᾶμα. καὶ ὅτι μὲν σωφρονεῖν τὸν πίνοντα δεῖ, δι' ὧν ἐδίδασκεν παρὰ τὰς εὐωχίας ἔδειξεν σαφῶς· οὐ γὰρ μεθύων ἐδίδασκεν. ὅτι δὲ οἶνος ἦν τὸ εὐλογηθὲν, ἀπέδειξε πάλιν πρὸς τοὺς μαθητὰς λέγων· „οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης, μέχρις ἂν πίω αὐτὸ μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου"* **). *ἀλλ' ὅτι γε οἶνος ἦν τὸ πινόμενον πρὸς τοῦ κυρίου, πάλιν αὐτὸς περὶ ἑαυτοῦ λέγει τὴν Ἰουδαίων ἐπονειδίζων σκληροκαρδίαν· „ἦλθεν γὰρ", φησὶν, „ὁ υἱὸς τοῦ ἀνθρώπου· καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης τελωνῶν φίλος"* ***).

§. 33. *Τουτὶ μὲν ἡμῖν καὶ πρὸς τοὺς ἐγκρατητὰς καλουμένους παραπεπήχθω, αἱ δὲ γυναῖκες τὸ εὔσχημον ἐπαναιρούμεναι δῆθεν ὡς μὴ ταῖς πλατείαις κύλιξιν διαχέουσαι τὰ χείλη περιρραγεῖς γένωνται πλατυνομένου τοῦ στόματος στεναῖς κομιδῇ κατὰ τὸ στόμιον ἀλαβάστροις, ἀσχημόνως πίνουσαι, ἀνακλῶσι μὲν τὰς κεφαλὰς, γυμνοῦσι δὲ τοὺς τραχή-*

---

*) Matth. 26, 27 sq. **) Ibid. v. 29. Marc. 14, 25. ***) Luc. 7, 34.

λους; οὐ κοσμίως, ἐμοὶ δοκεῖν, καὶ τὸν λάρυγγα διατείνουσαι περὶ τὴν κατάποσιν βροχθίζουσιν, οἷον ἀπογυμνούμεναι τοῖς συμπόταις, ἃ δύνανται, ἐρυγάς τε ἀνδρώδεις ἐπισπώμεναι, μᾶλλον δὲ ἀνδραποδώδεις, προσεπιθρύπτονται σπαταλῶσαι· οὐδεὶς γὰρ ψόγος οἰκεῖος ἀνδρὶ λογικῷ, ἔτι δὲ μᾶλλον γυναικὶ, ἧ καὶ τὸ συνειδέναι αὐτὴ ἑαυτῇ, ἥτις εἴη μόνον, αἰσχύνην P. 69 Sylb. φέρει. „ὀργὴ δὲ", φησὶ, „μεγάλη γυνὴ μέθυσος"*), P. 187 Pott. οἱονεὶ χόλος θεοῦ οἰνομάχλη γυνή. διὰ τί; ὅτι „ἀσχημοσύνην αὑτῆς οὐ συγκαλύπτει". ταχὺ γὰρ εἰς ἀταξίαν ὑποσύρεται γυνὴ, κἂν μόνον ἐπιδῷ τὴν προαίρεσιν εἰς ἡδονάς. καὶ οὐχὶ ἀλαβάστροις πίνειν κεκωλύκαμεν· ἀλλὰ τὸ ἐπιτηδεύειν ἐν τούτοις μόνον πίνειν, ὡς ἀλαζονικὸν, περικόπτομεν τοῖς παρατυχοῦσιν ἀπροσπαθῶς χρῆσθαι συμβουλεύοντες, πόρρωθεν ἄνωθεν ὀλισθανούσας ἀνακόπτοντες αὐταῖς τὰς ὀρέξεις. εἰ δὴ πρὸς ἐρυγὴν ἀναπλωτάζουσα τοῦ ἀέρος ἐφέπειξις ἡσυχῇ παραπεμπτέα, κατ᾽ οὐδένα τρόπον ταῖς γυναιξὶν ἐπιτρεπτέον παραγυμνούσας τι τοῦ σώματος καταφαίνεσθαι, μὴ σφαλεῖεν ἄμφω, οἱ μὲν ἐρεθιζόμενοι κατασκοπεῖν, αἱ δὲ τῶν ἀνδρῶν ἐφ᾽ ἑαυτὰς ἐπισπώμεναι τὰς ὄψεις. ἀεὶ δὲ ὡς παρόντος τοῦ κυρίου κοσμίως ἀναστρεπτέον ἡμῖν, μή πη ἄρα καὶ ἡμῖν ὡς Κορινθίοις ὁ ἀπόστολος χαλεπήνας εἴπῃ· „συνερχομένων ὑμῶν οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν"**).

§. 34. Ἐμοὶ δοκεῖ ὁ ἀκέφαλος πρὸς τῶν μαθηματικῶν καλούμενος ὁ πρὸ τοῦ ἀστέρος τοῦ πλανωμένου καταριθμούμενος συνιζηκυίας τῆς κεφαλῆς εἰς τὸ στῆθος τοὺς ὀψοφάγους καὶ ἡδονικοὺς καὶ τοὺς ἑτοίμους εἰς μέθην αἰνίττεσθαι. καὶ γὰρ οὖν κἂν τούτῳ τὸ λογιστικὸν ἵδρυται οὐκ ἐν τῇ κεφαλῇ, ἀλλ᾽ ἐν τοῖς ἐντοσθιδίοις πάθεσιν ἐπιθυμίᾳ τε καὶ θυμῷ δεδουλωμένον. ὥστε ὅτῳ τρόπῳ Ἐλπήνωρ ἀστρα-

*) Eccles. 26, 8. **) 1 Cor. 11, 20.

γάλων ἐάγη*) καταπεσὼν ὑπὸ μέθης, οὕτω τούτων ὁ ἐγκέφαλος ἄνωθεν ἰλιγγιάσας ὑπὸ μέθης ἐπὶ τὸ ἧπαρ καὶ τὴν καρδίαν, τουτέστιν ἐπὶ τὴν φιληδονίαν καὶ τὸν θυμὸν, καταπίπτει πτῶμα μεῖζον, ἢ φασὶ ποιητῶν παῖδες πρὸς τοῦ Διὸς τὸν Ἥφαιστον οὐρανόθεν ἐρρῖφθαι χαμαί. „πόνος δὲ ἀγρυπνίας", φησὶ, „καὶ χολέρα καὶ στρόφος μετ᾽ ἀνδρὸς ἀπλήστου" **). διὰ τοῦτό τοι καὶ ἡ τοῦ Νῶε παροινία ἀνάγραπτος γεγένηται, ἵνα ὡς ὅτι μάλιστα τὴν μέθην φυλαττώμεθα ἐμφανῆ καὶ ἔγγραπτον τὴν εἰκόνα τοῦ παραπτώματος ἔχοντες, δι᾽ ἣν οἱ σκεπάσαντες τὴν ἀσχημοσύνην τῆς μέθης εὐλογοῦνται παρὰ κυρίῳ. συντομώτατα τοίνυν ἐμπεριλαβοῦσα ἡ γραφὴ ἅπαντα ἐν ἑνὶ λόγῳ εἴρηκεν, „τὸ ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ οἶνος καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ ἀναπαύσεται" ***).

Cap. III.

Ὅτι οὐ χρὴ περὶ τὴν πολυτέλειαν τῶν σκευῶν ἐσπουδακέναι. P. 188 Pott.

§. 35. Ἐκπωμάτων τοίνυν ἀργύρου καὶ χρυσοῦ πεποιημένων λιθοκολλήτων τε ἄλλων ἄθετος ἡ χρῆσις, ὄψεως ἀπάτη μόνον· εἴτε γὰρ αὐτοῖς ἐγχέαι τις θερμοῦ κράματος διαπυρουμένων τῶν σκευῶν ἐπώδυνος ἡ λῆψις, εἴτε αὖ ψυχρὸν πάλιν ἐγχέαι, μεταδίδωσι τῆς ποιότητος ἡ ὕλη λυμαινομένη τὸ κρᾶμα. καὶ ἔστιν ἐπιβλαβὴς ἡ πόσις ἡ πλουσία. ἐρρέτων τοίνυν Θηρίκλειοί τινες κύλικες καὶ Ἀντιγονίδες κάνθαροί τε καὶ Λαβρώνιοι καὶ λεπασταὶ καὶ τῶν ἐκπωμάτων εἴδη τὰ μυρία, ψυκτῆρές τε ἐπὶ τούτοις καὶ οἰνοχόαι· χρυσός τε γὰρ ἁπαξαπλῶς καὶ ἄργυρος ἰδίᾳ τε καὶ δημοσίᾳ ἐστὶν ἐπίφθονον κτῆμα τὴν

*) Hom. Od. κ. 560. **) Eccles. 31, 23. ***) Ibid. v. 19.

χρείαν ὑπερβεβηκὸς, κτήσασθαί τε σπάνιον καὶ τηρῆσαι δύσκολον καὶ οὐκ ἐπιτήδειον χρήσασθαι. ναὶ μὴν καὶ τορευτῶν περίεργος ἐφ᾽ ὑέλῳ κενοδοξία εἰς θραῦσιν διὰ τέχνης ἑτοιμοτέρα, δεδιέναι τε ἅμα καὶ πίνειν διδάσκουσα περιοριστέα τῆς εὐνομίας ἡμῶν. κλιντῆρες δὲ ἀργυροῖ καὶ λεκάναι καὶ ὀξύβαφα καὶ πινακίσκοι καὶ τρυβλία, πρὸς ἐπὶ τούτοις σκεύη ἀργυρᾶ τε καὶ χρυσᾶ, τὰ μὲν εἰς διακονίαν τροφῆς, τὰ δὲ καὶ εἰς ἄλλας τινὰς, αἰσχύνομαι καὶ λέγειν, χρείας κέδρου τ᾽ εὐκεάτοιο καὶ θύου *) καὶ ἐβένου καὶ ἐλέφαντος, τρίποδες ἠσκημένοι, κλῖναί τε ἀργυρόποδες καὶ ἐλεφαντοκόλλητοι, χρυσόστικτοί τε καὶ χελώνης πεποικιλμέναι κοίτης κλισιάδες, στρωμναί τε ἁλουργεῖς καὶ ἄλλων χρωμάτων δυσποριστων, ἀπειροκάλου τρυφῆς τεκμήρια, φθόνου καὶ βλακείας ἐπίβουλα πλεονεκτήματα παραπεμπτέα ἅπαντα, οὐδ᾽ ἥντινοῦν ἀξιόλογον ἔχοντα σπουδήν. „ὁ γὰρ καιρὸς συνεσταλμένος ἐστὶν" **), ὥς φησιν ὁ ἀπόστολος. τοῦτο ὑπολείπεται μὴ γελοίως σχηματισθῆναι, καθάπερ ἐν ταῖς πομπαῖς ὁρῶνταί τινες ἔξωθεν κεχρισμένοι καταπληκτικῶς εἰς σεμνότητα, τὰ ἔνδον ἄθλιοι.

§. 36. Τοῦτο δὴ διασαφῶν ἀκριβέστερον ἐπήγαγεν· „λοιπόν ἐστιν ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς P. 189 Pott. μὴ ἔχοντες ὦσιν, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες" ***). εἰ δὲ ἐπὶ γάμου ταῦτα, ἐφ᾽ οὗ φησὶν ὁ θεὸς, „πληθύνεσθε" †), πῶς οἴεσθε τὴν ἀπειροκαλίαν μὴ ἐξ αὐθεντείας κυριακῆς ἐξοριστέαν; διὰ τοῦτο καὶ „πώλησόν σου τὰ ὑπάρχοντα", λέγει ὁ κύριος „καὶ πτωχοῖς δὸς, καὶ δεῦρο ἀκολούθει μοι" ††), ἕπου τῷ θεῷ γυμνὸς ἀλαζονείας, γυμνὸς ἐπικήρου πομπῆς, τὸ σὸν, τὸ ἀγαθὸν, τὸ ἀναφαίρετον μόνον, τὴν εἰς τὸν θεὸν πίστιν, τὴν εἰς τὸν παθόντα ὁμολογίαν, τὴν εἰς ἀνθρώπους εὐεργεσίαν κεκτημένος,

*) Cf. Hom. Od. έ. 60. **) 1 Cor. 7, 29. ***) Ibid. v. 29 sq. †) Genes. 1, 21. ††) Matth. 19, 21. Marc. 10, 21. Luc. 18, 22.

κτῆμα τιμαλφέστατον. ἐγὼ δὲ καὶ Πλάτωνα ἀποδέχομαι ἄντικρυς νομοθετοῦντα, ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἀσκεῖν ἔχειν, ἀλλὰ μήτε σκεῦος ἀχρεῖον, ὃ μὴ μετὰ τῆς ἀναγκαίας χρήσεως καὶ μέτριόν ἐστιν, ὡς εἰς πολλὰ τὸ αὐτὸ εὔθετον εἴη, καθαιροῖτο δὲ ἡ πολυκτημοσύνη. παγκάλως γοῦν ἡ
P. 70 Sylb. θεία πού λέγει γραφὴ πρὸς τοὺς φιλαύτους καὶ ἀλαζόνας ἀποτεινομένη· „ποῦ εἰσὶν οἱ ἄρχοντες τῶν ἐθνῶν καὶ οἱ κυριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, οἱ τὸ ἀργύριον θησαυρίζοντες καὶ τὸ χρυσίον, ᾧ ἐπεποίθεισαν ἄνθρωποι, καὶ οὐκ ἔστι τέλος τῆς κτήσεως αὐτῶν, οἱ τὸ ἀργύριόν τε καὶ τὸ χρυσίον τεκταίνοντες καὶ μεριμνῶντες; οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν· ἠφανίσθησαν καὶ εἰς Ἅιδου κατέβησαν"*).

§. 37. Οὗτος τῆς ἀπειροκαλίας ὁ μισθός. εἰ γάρτοι γεωργοῦσιν ἡμῖν δικέλλης ἐστὶ χρεία καὶ ἀπότρου, μακέλλην δ' οὐκ ἄν τις ἀργυρᾶν οὐδὲ ἄμην χρυσῆν χαλκεύοι, τῷ δὲ εὐεργῷ τῆς ὕλης οὐ πλουσίως εἰς γεηπονίαν συγχρώμεθα· τί κωλύει καὶ περὶ τὰ σκεύη τὰ ἐνοικίδια τὴν αὐτὴν ἔχειν διάνοιαν τοὺς τοῦ ὁμοίου θεωρητικούς; ὧν μέτρον ἡ χρεία, μὴ ἡ πολυτέλεια γινέσθω. τί γάρ, εἰπέ μοι, τὸ μαχαίριον τὸ ἐπιτραπέζιον, ἢν μὴ ἀργυρόηλον ᾖ ἢ ἐξ ἐλέφαντος πεποιημένον τὴν λαβήν; οὐ τέμνει; ἢ ἐπὶ τὴν μοῖραν τοῦ κρέως Ἰνδικὸν σίδηρον χαλκευτέον, καθάπερ συμμαχικόν τι παρακαλοῦντας; τί δέ; εἰ κεραμεοῦν εἴη τὸ χερνίβιον, οὐ δέξεται τὸ ἀπόνιμμα τῆς χειρός; οὐδὲ ὁ ποδονιπτὴρ τὸ ἀπόνιμμα τοῦ ποδός; ἀναξιοπαθήσει δὲ ἄρα καὶ ἡ τράπεζα P. 190
ἡ ἐξ ἐλέφαντος τοὺς πόδας ἐσκευασμένη ὀβολιαῖον Pott.
ἄρτον βαστάσασα; οὐδὲ μὴν ὁ λύχνος διακονήσει τὸ φῶς, ὅτι κεραμέως, οὐ χρυσοχόου ἔργον ἐστίν; ἐγὼ δέ φημι καὶ τοὺς σκίμποδας οὐδὲν κακίω παρεχομέ-

---

*) Baruch. 3, 16—19.

νους κατάκλισιν τῆς ἐλεφαντίνης κλίνης, τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι, ὥστε μὴ δεῖσθαι φοινικίδων ἢ πορφυρίδων, κατεγνῶσθαι ὅμως τῆς εὐτελείας δι' ἀβελτερίαν ἀρχεκάκου τρυφῆς.

§. 38. Τίς ἡ τοσαύτη πλάνη, τίς ἡ δοξοκαλία, ὁρᾶτε. ὁ κύριος τρυβλίῳ ἐπωψᾶτο εὐτελεῖ καὶ κατέκλινεν τοὺς μαθητὰς ἐπὶ τῆς πόας χαμαὶ καὶ τοὺς πόδας ἔνιπτεν αὐτῶν σαβάνῳ περιζωσάμενος ὁ ἄτυφος θεὸς καὶ κύριος τῶν ὅλων, οὐκ ἀργυροῦν δὴ ποδονιπτῆρα περιφέρων ἀπ' οὐρανοῦ. καὶ τὴν Σαμαρεῖτιν ᾔτει πιεῖν σκεύει κεραμεῷ τοῦ φρέατος ἀνιμῶσαν, οὐκ ἐπιζητῶν τὸ βασιλικὸν χρυσίον, σβεννύναι δὲ τὸ δίψος εὐκόλως διδάσκων· σκοπὸν γὰρ τὴν χρείαν ἐτίθετο, οὐ τὴν ἀπειραγαθίαν. ἤσθιεν δὲ καὶ ἔπινεν παρὰ τὰς εὐωχίας, οὐ γῆς ἐξορύττων μέταλλα οὐδὲ ἀργύρου καὶ χρυσοῦ, τοῦτ' ἔστιν ἰοῦ, προσόζουσι σκευαρίοις χρώμενος, οἷον ἀναπνεῖ τῆς τε τυφωμένης ὕλης ὁ ἰός. καθόλου γὰρ καὶ τὰς τροφὰς καὶ τὰς ἐσθῆτας καὶ τὰ σκεύη καὶ τἆλλα πάντα τὰ κατὰ τὸν οἶκον συλλήβδην λέγω, ἀκόλουθον εἶναι ταῖς ἐνστάσεσιν τοῦ Χριστιανοῦ δεῖ, κατὰ τὸ πρόσφορον οἰκειούμενον τῷ προσώπῳ, τῇ ἡλικίᾳ, τῇ ἐπιτηδεύσει, τῷ καιρῷ. ἑνὸς γὰρ ὄντας θεράποντας θεοῦ χρὴ καὶ τὰ κτήματα καὶ τὰ ἐπ' αὐτοῖς ἔπιπλα ἑνὸς ἐπιδείκνυσθαι σύμβολα βίου καλοῦ, καὶ τὸν καθ' ἕνα τῶν ἀνθρώπων ἀδιακρίτῳ πίστει, τῇ μονοπροσώπῳ ταύτῃ ἐνστάσει, τὰ ἑξῆς ἀκόλουθα καὶ σύμφωνα τῇ διαθέσει τῇ μιᾷ φαίνεσθαι ποιοῦντα. ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς, καὶ χρώμενοι εὐκόλως ἐπαινοῦμεν καὶ φυλάττομεν ῥᾳδίως καὶ κοινωνοῦμεν εὐκόλως αὐτῶν. ἀμείνω δὲ τὰ χρήσιμα, βελτίω δὲ δήπουθεν τὰ εὐτελέστερα τῶν πλουσίων. τὸ δὲ ὅλον **P. 191 Pott.** ὁ πλοῦτος οὐκ ὀρθῶς κυβερνώμενος ἀκρόπολίς ἐστι κακίας, περὶ ὃν ὀφθαλμιῶντες οἱ πολλοὶ οὐκ ἄν ποτε εἰς τὴν βασιλείαν παρεισέλθοιεν τῶν οὐρανῶν, νο-

σοῦντες μὲν περὶ τὰ κοσμικὰ, ὑπερηφάνως δὲ ζῶντες διὰ τὰς τρυφάς.

§. 39. Χρὴ δὲ προειληφέναι τοὺς ἐπὶ σωτηρίᾳ σπεύδοντας ὡς ἄρα χρήσεως μὲν ἕνεκεν ἡ πᾶσα ἡμῶν κτῆσις, αὐταρκείας δὲ χάριν ἡ κτῆσις, ἣν καὶ ἐξ ὀλίγων ἄν τις περιποιήσαιτο. μάταιοι γὰρ οἱ δι' ἀπληστίαν ἐπ' αὐτοῖς χαίροντες κειμηλίοις· „ὁ δὲ συνάγων τοὺς μισθοὺς", φησὶν, „συνήγαγεν εἰς δεσμὸν τετρυπημένον" *). οὗτός ἐστιν ὁ συνάγων καὶ ἀποκλείων τὸν σπόρον καὶ ἐλαττούμενος, ὁ μηδενὶ μεταδιδούς. χλεύη δὲ καὶ γέλως πλατὺς οὐροδόχας ἀργυρᾶς καὶ ἀμίδας ὑελᾶς ἐπιφέρεσθαι τοὺς ἄνδρας, καθάπερ ἐπάγονται τοὺς συμβούλους τοὺς ἑαυτῶν· καὶ τὰς πλουτούσας ταύτας ἀλόγως γυναῖκας χρυσοῦ ποιεῖσθαι τῶν ἐκκρίσεων τὰ ἐκδοχεῖα, ὡς μηδὲ ἀποτρίψασθαί ἐξὸν ταῖς πλουσίαις μὴ τετυφωμένως. ηὐξάμην δ' ἂν αὐτοῖς παρ' ὅλον τὸν βίον σκυβάλων ἄξιον κρίνεσθαι τὸ χρυσίον. νυνὶ δὲ ἡ ἀκρόπολις τῆς κακίας ἡ φιλαργυρία εὕρηται, ἣν ὁ ἀπόστολος „ῥίζαν ἁπάντων εἶναι τῶν κακῶν" φησὶν, „ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανήθησαν τῆς πίστεως καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς" **). πλοῦτος δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία καὶ ἡ μεγαλοφροσύνη ἡ ἀληθὴς οὐ τὸ ἐπὶ πλούτῳ μεγαλοφρονεῖν, τούτου δὲ καταφρονεῖν, τὸ δὲ ἐπὶ τοῖς σκεύεσι μεγαλαυχεῖν αἰσχρὸν κομιδῇ· οὐ γὰρ σπουδάζειν ἔτι περὶ τούτων πάνυ δίκαιον, ἃ καὶ ἐξ ἀγορᾶς τῷ βουλομένῳ ἔξεστιν ὠνήσασθαι, σοφία δὲ οὐκ ὠνητὴ νομίσματι γηΐνῳ οὐδ' ἐν ἀγορᾷ, ἀλλ' ἐν οὐρανῷ πιπράσκεται καὶ πιπράσκεται νομίσματι δικαίῳ, τῷ λόγῳ τῷ ἀφθάρτῳ, τῷ βασιλικῷ χρυσίῳ.

---

*) Hag. 1, 6. **) 1 Timoth. 6, 10.

Cap. IV.

P. 192 Pott.

Πῶς χρὴ περὶ τὰς ἑστιάσεις ἀνίεσθαι;

§. 40. Ἀπέστω δὲ ἡμῖν τῆς λογικῆς εὐωχίας ὁ κῶμος, ἀλλὰ καὶ αἱ παννυχίδες αἱ μάταιοι ἐπὶ παροινίᾳ κομῶσαι· ὁ μὲν γάρ ἐστι μεθυστικὸς αὐλὸς ἄλυς p. 71 Sylb. ἐρωτικῆς σχεδίας, τῆς ἀδημονίας ὁ κῶμος· ἔρως δὲ καὶ μέθη καὶ τὰ ἀλόγιστα πάθη μακρὰν ἀπῴκισται τοῦ ἡμεδαποῦ χοροῦ. σύγκωμος δὲ παρῳδία τίς ἐστι παροινία, ἡ παννυχὶς δὲ ἐπὶ πότῳ μέθης ἐκκλητικὴ καὶ συνουσίας ἐρεθιστικὴ, τόλμα αἰσχροποιός. εἰ δὲ ἐν αὐλοῖς καὶ ψαλτηρίοις καὶ χοροῖς καὶ ὀρχήμασι καὶ κρότοις Αἰγυπτίων καὶ τοιαύταις ῥᾳθυμίαις ἀλύοι ἀτάκτοις, καὶ ἀπρεπεῖς καὶ ἀπαίδευτοι κομιδῇ γίγνοιντο ἂν κυμβάλοις καὶ τυμπάνοις ἐξηχούμενοι καὶ τοῖς τῆς ἀπάτης ὀργάνοις περιψοφούμενοι· ἀτεχνῶς γὰρ, ὡς ἐμοὶ δοκεῖ, θέατρον μέθης τὸ τοιοῦτον γίνεται συμπόσιον· „ἀποθεμένους γὰρ ἡμᾶς τὰ ἔργα τοῦ σκότους ἐνδύσασθαι τὰ ὅπλα τοῦ φωτὸς" ἀξιοῖ ὁ ἀπόστολος, „ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντας, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις"*) σχολάζοντας.

§. 41. Σύριγξ μὲν οὖν ποιμέσιν ἀπονενεμήσθω, αὐλὸς δὲ ἀνθρώποις δεισιδαίμοσιν εἰς εἰδωλολατρείας σπεύδουσι. καὶ γὰρ ὡς ἀληθῶς ἀποπεμπτέα τὰ ὄργανα ταῦτα νηφαλίου συμποσίου θηρίοις μᾶλλον ἢ ἀνθρώποις κατάλληλα καὶ ἀνθρώπων τοῖς ἀλογωτέροις. τὰς μὲν γὰρ ἐλάφους ταῖς σύριγξι κηλεῖσθαι παρειλήφαμεν καὶ ἐπὶ τὰς ποδάγρας πρὸς τῶν κυνηγῶν θηρευομένας ἄγεσθαι τῷ μέλει, ταῖς δὲ ἵπποις μιγνυμέναις, οἷον ὑμέναιος, ἐπαυλεῖται νόμος αὐλῳδίας· ἱππόθορον τοῦτον κεκλήκασιν οἱ μουσικοί. πᾶσαν δὲ ἁπαξαπλῶς ἀνελεύθερον ὄψιν τε καὶ ἀκοὴν καὶ συνελόντι φάναι αἴσθησιν ἀκρασίας αἰσχρὰν, τὴν ὡς

*) Rom. 13, 12 sq.

ἀληθῶς ἀναισθησίαν, ἐκκοπτέον εὖ μάλα, τὴν ἐν ὄμμασι καὶ ἐν ὠσὶ γαργαλίζουσαν καὶ ἀποθηλύνουσαν ἡδονὴν εὐλαβουμένους· P. 193 Pott. μελῶν γάρτοι κατεαγότων καὶ ῥυθμῶν γοερῶν τῆς μούσης τῆς Καρικῆς αἱ ποικίλαι φαρμακεῖαι διαφθείρουσι τοὺς τρόπους ἀκολάστῳ καὶ κακοτέχνῳ μουσικῇ εἰς πάθος ὑποσύρουσαι τοῦ κώμου τούτου, τὴν λειτουργίαν δὲ τὴν θεϊκὴν διαχωρίζον ψάλλει τὸ πνεῦμα, „αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος", καὶ γὰρ ἐν ἤχῳ σάλπιγγος ἀναστήσει τοὺς νεκρούς· „αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ", ὅτι ἡ γλῶττα τὸ ψαλτήριον κυρίου· „καὶ ἐν κιθάρᾳ αἰνεῖτε αὐτὸν", κιθάρα νοείσθω τὸ στόμα, οἱονεὶ πλήκτρῳ κρουόμενον τῷ πνεύματι· „ἐν τυμπάνῳ καὶ χορῷ αἰνεῖτε αὐτόν"· τὴν ἐκκλησίαν λέγει τὴν μελετήσασαν τῆς σαρκὸς τὴν ἀνάστασιν ἐν ἠχοῦντι τῷ δέρματι· „ἐν χορδαῖς καὶ ὀργάνῳ αἰνεῖτε αὐτόν"· ὄργανον τὸ σῶμα λέγει τὸ ἡμέτερον καὶ χορδὰς τὰ νεῦρα αὐτοῦ, δι' ὧν ἐναρμόνιον εἴληφε τὴν τάσιν· καὶ κρουόμενον τῷ πνεύματι τοὺς φθόγγους ἀποδίδωσι τοὺς ἀνθρωπίνους. „αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ"· κύμβαλον τοῦ στόματος τὴν γλῶτταν λέγει, ἣ τοῖς κρουομένοις ἐπηχεῖ χείλεσι.

§. 42. Διὰ τοῦτο ἐπεφώνησεν τῇ ἀνθρωπότητι· „πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον" *), ὅτι πᾶσαν, ἣν ἐποίησεν, ἐπεσκέψατο πνοήν. εἰρηνικὸν γὰρ ὡς ἀληθῶς ὄργανον ὁ ἄνθρωπός ἐστιν, τὰ δ' ἄλλα ἢν πολυπραγμονῇ τις, ὄργανα εὑρήσει πολεμικὰ εἰς τὰς ἐπιθυμίας ἐκφλέγοντα ἢ τοὺς ἔρωτας ἐκκαίοντα ἢ ἐξαγριαίνοντα τοὺς θυμούς. χρῶνται γοῦν παρὰ τοὺς πολέμους αὐτῶν, Τυρρηνοὶ μὲν τῇ σάλπιγγι, σύριγγι δὲ Ἀρκάδες, Σικελοὶ δὲ πηκτίσιν καὶ Κρῆτες λύρᾳ, καὶ Λακεδαιμόνιοι αὐλῷ καὶ κέρατι Θρᾷκες καὶ Αἰγύπτιοι τυμπάνῳ καὶ Ἄραβες κυμβάλῳ· ἑνὶ δὲ ἄρα ὀργάνῳ, τῷ λόγῳ μόνῳ τῷ εἰρηνικῷ, ἡμεῖς κεχρήμε-

*) Psalm. 150, 3 — 6.

θα, ᾧ γεραίρομεν τὸν θεὸν, οὐκέτι τῷ ψαλτηρίῳ τῷ παλαιῷ καὶ τῇ σάλπιγγι καὶ τυμπάνῳ καὶ αὐλῷ, οἷς ἔθος ἦν τοὺς ἐν πολέμῳ ἀσκητὰς καὶ τοῦ θείου καταπεφρονηκότας φόβου ἅμα καὶ ταῖς πανηγύρεσι χοραίοις συγχρῆσθαι, ὡς δὴ τὸ ἔκλυτον αὐτῶν τοῦ φρονήματος διὰ τῶν τοιούτων ἐπανίστασθαι ῥυθμῶν.

§. 43. Ἔστω δὲ ἡμῶν ἡ παρὰ πότον φιλοφροσύνη διττὴ κατὰ τὸν νόμον· εἰ γὰρ „ἀγαπήσεις κύριον τὸν θεόν σου”, ἔπειτα „τὸν πλησίον σου”*), P. 194 Pott. προτέρα μὲν ἡ εἰς θεὸν δι᾽ εὐχαριστίας καὶ ψαλμῳδίας γενέσθω φιλοφροσύνη, δευτέρα δὲ ἡ εἰς τὸν πλησίον διὰ τῆς ὁμιλίας τῆς σεμνῆς· „ὁ γὰρ λόγος ὁ τοῦ κυρίου ἐνοικείτω ἐν ὑμῖν πλουσίως”**), ὁ ἀπόστολός φησιν. ὁ δὲ λόγος οὗτος συναρμόζεται καὶ συσχηματίζεται καιροῖς, προσώποις, τόποις. συμποτικὸς δέ ἐστι νῦν· ἐπιφέρει γὰρ ὁ ἀπόστολος πάλιν· „ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς, ὕμνοις, ᾠδαῖς πνευματικαῖς ἐν τῇ χάριτι, ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ θεῷ”***)· καὶ πάλιν· „ὅ τι ἂν ποιῆτε ἢ ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ καὶ πατρὶ αὐτοῦ” †). οὗτος ἡμῶν ὁ κῶμος ὁ εὐχάριστος. κἂν πρὸς κιθάραν ἐθελήσῃς ἢ λύραν ᾄδειν τε καὶ ψάλλειν, μῶμος οὐκ ἔστιν, Ἑβραῖον μιμήσῃ δίκαιον βασιλέα εὐχάριστον τῷ θεῷ· „ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις”, φησὶν ἡ προφητεία. „ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ, ᾄσατε αὐτῷ ᾆσμα καινόν” ††). καὶ μή τι τὸ δεκάχορδον ψαλτήριον τὸν λόγον τὸν Ἰησοῦν μηνύει, τῷ στοιχείῳ τῆς δεκάδος φανερούμενον.

§. 44. Ὡς δὲ ἁρμόδιον πρὶν ἡμᾶς μεταλαβεῖν τροφῆς τῶν συμπάντων εὐλογεῖν τὸν ποιητὴν, οὕτως

*) Matth. 22, 37. 39. **) Coloss. 3, 16. ***) Ibidem. †) Ibid. v. 17. ††) Psalm. 33, 1—3.

καὶ παρὰ πότον καθήκει ψάλλειν αὐτῷ τῶν αὐτοῦ μεταλαμβάνοντας κτισμάτων· καὶ γὰρ ὁ ψαλμὸς ἐμμελής ἐστιν εὐλογία καὶ σώφρων, „ᾠδὴν πνευματικὴν“ *) ὁ ἀπόστολος εἴρηκε τὸν ψαλμόν. ἐπὶ πᾶσί τε πρὶν ὕπνου λαχεῖν εὐχαριστεῖν ὅσιον τῷ θεῷ τῆς αὐτοῦ χάριτος καὶ φιλανθρωπίας ἀπολαύσαντας, ὡς καὶ ἐπὶ τὸν ὕπνον ἰέναι ἡμᾶς ἐνθέως, „καὶ ἐξο-
P. 72 μολογήσασθαι αὐτῷ ἐν ᾠδαῖς χειλέων“, φησὶν, „ὅτι
Sylb. ἐν προστάγματι αὐτοῦ πᾶσα εὐδοκία γίνεται, καὶ οὐκ ἔστιν ἐλάττωσις εἰς τὸ σωτήριον αὐτοῦ“ **). ἀλλὰ καὶ ἐν τοῖς παλαιοῖς Ἕλλησι παρὰ τὰς συμποτικὰς εὐωχίας καὶ τὰς ἐπιψεκαζούσας κύλικας Ἑβραϊκῶν κατ᾽ εἰκόνα ψαλμῶν ᾆσμα τὸ καλούμενον σκόλιον ᾔδετο, κοινῶς ἁπάντων ἅμα φωνῇ παιανιζόντων, ἔσθ᾽ ὅτε δὲ καὶ ἐν μέρει περιελιττόντων τὰς προπόσεις τῆς ᾠδῆς· οἱ δὲ μουσικώτεροι αὐτῶν καὶ πρὸς λύραν ᾖδον. ἀλλ᾽ αἱ μὲν ἐρωτικαὶ μακρὰν ἐρρόντων ᾠδαὶ, ὕμνοι P. 195
δὲ ἔστων τοῦ θεοῦ αἱ ᾠδαί. „αἰνεσάτωσαν“, φησὶ, Pott.
„τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ“ ***). καὶ τίς ὁ ψάλλων χορὸς αὐτό σοι διηγήσεται τὸ πνεῦμα; „ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων, ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν“ †). καὶ πάλιν ἐπιφέρει· „ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ“ ††). καὶ γὰρ ἁρμονίας παραδεκτέον τὰς σώφρονας, ἀπωτάτω ὅτι μάλιστα ἐλαύνοντας τῆς ἐρρωμένης ἡμῶν διανοίας τὰς ὑγρὰς ὄντως ἁρμονίας, αἳ περὶ τὰς καμπὰς τῶν φθόγγων κακοτεχνοῦσαι εἰς θρύψιν καὶ βωμολοχίαν ἐκδιαιτῶνται, τὰ δὲ αὐστηρὰ καὶ σωφρονικὰ μέλη ἀποτάσσεται ταῖς τῆς μέθης ἀγερωχίαις. καταλειπτέον οὖν τὰς χρωματικὰς ἁρμονίας ταῖς ἀχρώμοις παροινίαις καὶ τῇ ἀνθοφορούσῃ καὶ ἑταιρούσῃ μουσικῇ.

---

*) Ephes. 5, 19. Coloss. 3, 16. **) Sirach. 39, 15. 18. ***) Psalm. 149, 3. †) Ibid. v. 1 sq. ††) Ibid. v. 4.

Cap. V.

Περὶ γέλωτος.

§. 45. Μιμήλους δὲ ἀνθρώπους γελοίων, μᾶλλον δὲ καταγελάστων παθῶν τῆς ἡμετέρας ἐξελαστέον πολιτείας. πάντων γὰρ τῶν λόγων ἀπὸ διανοίας καὶ ἤθους ῥεόντων οὐχ οἷόν τέ ἐστι γελοίους τινὰς προέσθαι λόγους, μὴ οὐχὶ ἀπὸ γελοίου ἤθους φερομένους. τὸ γὰρ „οὐκ ἔστι δένδρον καλὸν ποιοῦν καρπὸν σαπρὸν, οὐδὲ μὴν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλὸν" *), κἂν ἐνταῦθα ἁρμόσαι· καρπὸς διανοίας ὁ λόγος ἐστίν. εἰ τοίνυν τοὺς γελωτοποιοὺς ἐξοικιστέον τῆς ἡμεδαπῆς πολιτείας, πολλοῦ γε καὶ δεῖ ἡμῖν αὐτοῖς ἐπιτρέπειν γελωτοποιεῖν. ἄτοπον γὰρ, ὧν ἀκροατὰς γενέσθαι κεκώλυται, τούτων εὑρίσκεσθαι μιμητάς· πολλῷ δὲ ἔτι ἀτοπώτερον γελοῖον αὐτὸν σπουδάζειν γενέσθαι, τουτέστιν ἐφύβριστον καὶ καταγέλαστον. εἰ γὰρ γελοίως σχηματισθῆναι, καθάπερ ἐν ταῖς πομπαῖς ὁρῶνταί τινες, οὐκ ἂν ὑπομείναιμεν, πῶς ἂν εἰκότως τὸν ἐντὸς ἄνθρωπον ἐπὶ τὸ γελοιότερον σχηματιζόμενον ἀνασχοίμεθα καὶ εἰς τὸ πρόσωπον; οὔκουν ἑκόντες ἐπὶ τὸ γελοιότερον μεταστρέψαιμεν ἄν ποτε. καὶ πῶς ἂν κατὰ τοὺς λόγους ἐπιτηδεύσαιμεν εἶναί τε καὶ φαίνεσθαι γελοῖοι τὸ τιμιώτερον πάντων τῶν ἐν ἀνθρώποις κτημάτων καταμωκώμενοι τὸν λόγον; χλεύη μὲν οὖν ἐπιτηδεύειν ταῦτα, ἐπεὶ μηδὲ ὁ τῶν γελοίων λόγος τοῖος ἀκροάσεως ἄξιος, διὰ τῶν ὀνομάτων αἰτῶν ἐπὶ τὰ αἰσχρὰ τῶν ἔργων ἐθίζων· χαριεντιστέον, οὐ γελωτοποιητέον. P. 196 Pott.

§. 46. Ἀλλὰ καὶ αὐτὸν τὸν γέλωτα ἐπιστομιστέον. καὶ γὰρ αὖ καὶ αὐτὸς ὃν μὲν δεῖ τρόπον ἐξαγόμενος ἐμφαίνει κοσμιότητα, μὴ ταύτῃ δὲ χωρῶν ἀκολασίαν ἐνδείκνυται. ἁπλῶς γὰρ, ὁπόσα φυ-

---

*) Matth. 7, 18. Luc. 6, 43.

σικὰ τοῖς ἀνθρώποις ἐστὶ, ταῦτα οὐκ ἀναιρεῖν ἐξ αὐτῶν δεῖ, μᾶλλον δὲ μέτρον αὐτοῖς καὶ καιρὸν ἐπιτιθέναι πρέποντα. οὐ γὰρ ἐπειδὴ γελαστικὸν ζῶον ὁ ἄνθρωπος, γελαστέον τὰ πάντα, ἐπειδὴ οὐδὲ ὁ ἵππος χρεμετιστικὸς ὢν χρεμετίζει τὰ πάντα· ὡς δὲ ζῶα λογικὰ σφᾶς αὐτοὺς ἁρμοστέον εὐκράτως τὸ αὐστηρὸν τῆς σπουδῆς ἡμῶν καὶ τὸ ὑπέρτονον χαλῶντας ἐμμελῶς, οὐκ ἐκλύοντας ἐκμελῶς· ἡ μὲν γὰρ καθ᾽ ἁρμονίαν τοῦ προσώπου, καθάπερ ὀργάνου, κόσμιος ἄνεσις μειδίαμα κέκληται διάχυσις· οὕτως ἀνακέκληται καὶ πρόσωπον σωφρονούντων, ὁ γέλως· ἡ δὲ ἐκμελὴς τοῦ προσώπου ἔκλυσις εἰ μὲν ἐπὶ γυναικῶν γίνοιτο, κιχλισμὸς προσαγορεύεται, γέλως δέ ἐστι πορνικὸς, εἰ δὲ ἐπὶ ἀνδρῶν, καγχασμὸς, γέλως ἐστὶν οὗτος μνηστηρώδης κἀξυβρίζων· „μωρὸς δὲ ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ", φησὶν ἡ γραφὴ, „ἀνὴρ δὲ πανοῦργος μόγις ἡσυχῆ μειδιάσει" *). φρόνιμον λέγει τὸν πανοῦργον νῦν, τὸν δὲ ἐναντίως τῷ μωρῷ διακείμενον.

§. 47. Ἀλλ᾽ οὐδ᾽ ἔμπαλιν εἶναι δεῖ σκυθρωπὸν, ἀλλὰ σύννουν· ἀποδέχομαι γὰρ εὖ μάλα ἐκεῖνον, προσώποις μειδιῶντα, ὃς ἐφαίνετο P. 197 Pott.

μειδιόων βλοσυροῖσι προσώπασι **),

τὸν τοῖς βλοσυροῖς· ἧττον γὰρ ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη. χρὴ δὲ καὶ τὸ μειδίαμα παιδαγωγεῖσθαι, καὶ εἰ μὲν ἐπ᾽ αἰσχροῖς εἴη, ἐρυθριῶντας μᾶλλον ἢ μειδιῶντας φαίνεσθαι, μὴ συνήδεσθαι διὰ συμπάθειαν δοκῶμεν, εἰ δὲ ἐπὶ λυπηροῖς, κατηφεστέρους ἁρμόζει βλέπεσθαι ἢ ἐφήδεσθαι δοκεῖν· τὸ μὲν γὰρ ἀνθρώπινον οὐ λογισμοῦ τεκμήριον, τὸ δὲ ὠμότητος ὑπόληψιν ἐνδείκνυται· οὔτε γὰρ ἀεὶ γελαστέον — ἄμετρον γάρ — οὔτε πρεσβυτέρων ἢ τινων ἑτέρων ἐντροπῆς ἀξίων παρόντων, εἰ μὴ ἄρα τι αὐτοὶ εἰς τὸ διαχέαι ἡμᾶς χαριεντίσαιντο, οὔτε μὴν πρὸς τοὺς τυχόντας γελαστέον οὐδ᾽ ἐν παντὶ τόπῳ οὐδὲ μὴν πᾶσιν οὐδὲ ἐπὶ πᾶσιν. μάλι-

---

*) Eccles. 21, 20. **) Hom. Il. η. 212.

στα γὰρ μειρακίοις καὶ γυναιξὶν ὄλισθος εἰς διαβολὰς ὁ γέλως ἐστίν.

§. 48. Τὸ δὲ καὶ φαίνεσθαι καταπληκτικὸν πόρρωθεν τῶν περιόντων ἐστὶ φυγαδευτικόν· δυνατὴ
P. 73 γὰρ ἀποκρούσασθαι τῆς ἀσελγείας τὰς προσβολὰς
Sylb. καὶ ἐκ μόνης τῆς προσόψεως ἡ σεμνότης· πάντας δέ, ὡς ἔπος εἰπεῖν, τοὺς ἀνοήτους ὁ οἶνος

καί θ' ἁπαλὸν γελάσαι καί τ' ὀρχήσασθαι ἀνώγει· *)

εἰς μαλακίαν ἐκτρέπων τὸ ἀνδρόγυνον ἦθος. καὶ σκοπεῖν δεῖ, πῶς ἐντεῦθεν ἡ παρρησία τὴν ἀκοσμίαν εἰς αἰσχρολογίαν αὔξει·

καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.

μάλιστα γοῦν ἐν οἴνῳ καθορᾶσθαι τὰ ἤθη τῶν ὑπούλων συμβέβηκεν τῆς ὑποκρίσεως ἀπογυμνούμενα διὰ τὴν ἀνελεύθερον παρρησίαν τῆς παροινίας, δι' ἣν κατακοιμίζεται μὲν ὁ λόγος ἐν αὐτῇ τῇ ψυχῇ καρηβαρήσας τῇ μέθῃ, τὰ δὲ ἐκτράπελα ἐπεγείρεται πάθη καταδυναστεύοντα τῆς ἀσθενείας τοῦ λογισμοῦ.

Cap. VI.

P. 198 Pott.

Περὶ αἰσχρολογίας.

§. 49. *Αἰσχρολογίας* δὲ παντελῶς αὐτοῖς τε ἡμῖν ἀφεκτέον καὶ τοὺς χρωμένους αὐτῇ ἐπιστομιστέον καὶ ὄψει δριμυτέρᾳ καὶ προσώπου ἀποστροφῇ καὶ τῷ ἀπομυκτισμῷ καλουμένῳ, πολλάκις δὲ καὶ λόγῳ τραχυτέρῳ. „τὰ γὰρ ἐξιόντα", φησίν, „ἐκ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον" **), κοινὸν καὶ ἐθνικὸν καὶ ἀπαίδευτον καὶ ἀσελγῆ δείκνυσιν αὐτόν, οὐχὶ δὲ ἴδιον καὶ κόσμιον καὶ σώφρονα. πρὸς δὲ τὴν ἀκοὴν τῶν αἰσχρῶν καὶ τὴν θέαν τῶν ὁμοίως ἐχόντων ὁ θεῖος παιδαγωγὸς κατὰ τὰ αὐτὰ τοῖς παλαίουσι τῶν

---

*) **Hom. Od. ξ. 465 sq.** **) **Matth. 15, 18.**

παιδίων, ὡς μὴ τὰ ὦτα θραύοιτο αὐτῶν, τοὺς σώφρονας περιτίθησι λόγους, καθάπερ ἀντωτίδας, ὡς μὴ δύνασθαι ἐξικνεῖσθαι εἰς θραῦσιν τῆς ψυχῆς τὸ κροῦσμα τῆς πορνείας· τοὺς δὲ ὀφθαλμοὺς κατευθύνει ἐπὶ τὴν θέαν τῶν καλῶν, ἄμεινον εἶναι λέγων τοῖς ποσὶν ἢ τοῖς ὀφθαλμοῖς ὀλισθαίνειν.

§. 50. Ταύτην ἀποκρουόμενος τὴν αἰσχρολογίαν ὁ ἀπόστολος „πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν", φησὶν, „μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθός"*). πάλιν τε αὖ „καθὼς πρέπει ἁγίοις, μὴ ὀνομαζέσθω ἐν ὑμῖν αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, ἀλλὰ μᾶλλον εὐχαριστία"**). εἰ δὲ „ὁ μωρὸν εἰπὼν τὸν ἀδελφὸν ἔνοχος εἰς κρίσιν"***), τί περὶ τοῦ μωρολογοῦντος ἀποφανούμεθα; ἢ καὶ περὶ τούτου γέγραπται· „ὃς ἂν λαλήσῃ λόγον ἀργὸν, ἀποδώσει λόγον κυρίῳ ἐν ἡμέρᾳ κρίσεως"†). αὖθίς τε „ἐκ τοῦ λόγου σοῦ δικαιωθήσῃ", φησὶν, „καὶ ἐκ τοῦ λόγου σοῦ καταδικασθήσῃ"††). τίνες οὖν αἱ ἀντωτίδες αἱ σωτήριοι; καὶ τίνες αἱ τῶν ὀλισθηρῶν ὀφθαλμῶν παιδαγωγήσεις; αἱ μετὰ τῶν δικαίων συναναστροφαὶ προλαμβάνουσαι καὶ προεμφράττουσαι τὰ ὦτα τοῖς ἀπάγειν τῆς ἀληθείας βουλομένοις.

φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί,

ἡ ποιητικὴ λέγει. γενναιότερον δὲ ὁ ἀπόστολος, „γίνεσθε", φησὶν, „ἀποστυγοῦντες τὸ πονηρὸν κολλώμενοι τῷ ἀγαθῷ, ὁ γὰρ μετὰ τῶν ἁγίων ἀναστρεφόμενος ἁγιασθήσεται"†††). P. 199 Pott.

§. 51. Πάντῃ οὖν ἀφεκτέον τῶν αἰσχρῶν ἀκουσμάτων καὶ ῥημάτων καὶ θεαμάτων, πολὺ δὲ μᾶλλον ἔργων αἰσχρῶν καθαρευτέον· τοῦτο μὲν ἐν ἀποδείξεσι καὶ παραγυμνώσεσι μερῶν τινων τοῦ σώματος, ὧν οὐ χρὴ, τοῦτο δὲ ἐν ταῖς ἐπιθεωρήσεσι τῶν ἀπορ-

---

*) Ephes. 4, 29. **) Ibid. 5. 3 sq. ***) Matth. 5, 22. †) Ibid. 12, 36. ††) Ibid. v. 37. †††) Rom. 12, 9.

ῥητοτέρων μερῶν, οὐδὲ γὰρ ἠνέσχετο τοῦ δικαίου τὴν γύμνωσιν *) αἰσχρὰν οὖσαν ἐπιδεῖν σώφρων υἱὸς, ἐσκέπασε δὲ ἡ σωφροσύνη, ὃ ἐγύμνωσεν ἡ μέθη, τὸ περίοπτον τῆς ἀγνοίας παράπτωμα. καθαρευτέον δὲ οὐδὲν ἧττον καὶ ταῖς προφοραῖς τῶν φωνῶν, αἷς ἄβατα εἶναι χρὴ τὰ ὦτα τῶν ἐν Χριστῷ πεπιστευκότων. ταύτῃ μοὶ δοκεῖ ὁ παιδαγωγὸς μηδὲ φθέγξασθαί τι τῶν τῆς ἀσχημοσύνης ἐφιέναι ἡμῖν, πόρρωθεν διαβάλλων πρὸς τὴν ἀκολασίαν. δεινὸς γὰρ ἀεὶ τὰς ῥίζας τῶν ἁμαρτημάτων ἐκκόπτειν· τὸ „οὐ μοιχεύσεις" **) διὰ τοῦ „οὐκ ἐπιθυμήσεις"· καρπὸς γὰρ τῆς ἐπιθυμίας ἡ μοιχεία τῆς ῥίζης τῆς κακῆς.

§. 52. Ὁμοίως οὖν κἀνταῦθα ὁ παιδαγωγὸς τὴν ἄδειαν τῶν ὀνομάτων, ὡς χρῆσιν, διαβέβληκεν τὴν ἀδεᾶ τῆς ἀκολασίας ἐπιμιξίαν ἐκκόπτων. τὸ γὰρ ἐν τοῖς ὀνόμασιν ἀτακτεῖν μελέτην ἐμποιεῖ τοῦ καὶ εἰς τὰ ἔργα ἀκοσμεῖν, τὸ δὲ περὶ τὴν φωνὴν σωφρονεῖν ἀσκεῖν ἐστι λαγνείας καρτερεῖν. διειλήφαμεν δὲ καὶ βαθυτέρῳ λόγῳ, ὡς ἄρα οὔτε ἐν τοῖς ὀνόμασιν οὐδὲ μὴν ἐν τοῖς συνουσιαστικοῖς μορίοις καὶ τῇ κατὰ γάμον συμπλοκῇ, καθ᾽ ὧν κεῖται τὰ ὀνόματα τὰ περὶ τὴν συνήθειαν οὐ τετριμμένα, ἡ τοῦ ὄντως αἰσχροῦ προσηγορία τάττεται· οὐδὲ γὰρ γόνυ καὶ κνήμη τὰ μέλη τοιαῦτα οὐδὲ μὴν τὰ ἐπ᾽ αὐτοῖς ὀνόματα καὶ ἡ δι᾽ αὐτῶν ἐνέργεια αἰσχρά ἐστι, μέλη δὲ καὶ τὰ αἰδοῖα τοῦ ἀνθρώπου αἰδοῦς, οὐκ αἰσχύνης κατηξιωμένα, αἰσχρὸν δὲ ἡ παράνομος αὐτῶν ἐνέργεια αἴσχους καὶ ὀνείδους διὰ τοῦτο καὶ κολάσεως ἀξία· μόνον γὰρ τῷ ὄντι αἰσχρὸν ἡ κακία καὶ τὰ κατὰ ταύτην ἐνεργούμενα. τούτοις δὲ ἀναλόγως αἰσχρολογία εἰκότως ἂν καλοῖτο ἡ περὶ τῶν τῆς κακίας ἔργων λογοποιία· οἷον τὸ περὶ μοιχείας διαλέγεσθαι ἢ παιδεραστίας καὶ τὰ παραπλήσια. ναὶ μὴν καὶ τὴν φλύαρον ἀδολεσχίαν κατασιγαστέον. „ἐκ γάρτοι πολυ-

*) Genes. 9, 23. **) Exod. 20, 13. 17.

λογίας οὐκ ἐκφεύξῃ" φησὶν, "ἁμαρτίαν" *), δί- P. 200 κην ἄρα ὑφέξει ἡ γλωσσαλγία· "ἔστι γὰρ σιωπῶν Pott. εὑρισκόμενος σοφὸς καὶ ἔστι μισητὸς ἀπὸ πολλῆς λαλιᾶς" **). ἤδη καὶ αὐτὸς αὐτῷ ὁ ἀδολέσχης προσκορής, "πλεονάζων γὰρ λόγον βδελύττεται τὴν ψυχὴν αὐτοῦ" ***).

P. 74 Sylb.

Cap. VII.

Τίνα χρὴ παραφυλάττεσθαι τοὺς ἀστείως συμβιοῦντας;

§. 53. Ἀπέστω δὲ, ἀπέστω ἡμῶν καὶ τὸ σκώπτειν ὕβρεως προκατάρχον, ἐξ ὧν ἔριδες καὶ μάχαι καὶ ἔχθραι διοιδαίνουσιν. ὕβριν δὲ ἔφαμεν μέθης εἶναι διάκονον, οὐκ ἐκ μόνων δὲ τῶν ἔργων, ἀλλὰ καὶ ἐκ λόγων ἄνθρωπος κρίνεται. "ἐν συμποσίῳ δὲ", φησὶ, "μὴ ἐλέγξῃς τὸν πλησίον, καὶ λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ" †). εἰ γὰρ καὶ τὰ μάλιστα παραγγέλλεται ἁγίοις συνεῖναι, σκώπτειν τὸν ἅγιον ἁμαρτία· "ἐκ στόματος γὰρ ἀφρόνων", φησὶν ἡ γραφὴ, "βακτηρία ὕβρεως" ††)· ἐπιβάθραν ὕβρεως, βακτηρίαν λέγουσα, ᾗ ἐπερείδεται καὶ ἐπαναπαύεται ἡ ὕβρις. ὅθεν ἄγαμαι τὸν ἀπόστολον κἀνταῦθα παραινοῦντα "μηδὲ τὰ εὐτράπελα μηδὲ τὰ μὴ ἀνήκοντα" †††) προΐεσθαι ἡμᾶς ῥήματα. εἰ γὰρ δι᾽ ἀγάπην αἱ ἐπὶ τὰς ἑστιάσεις συνελεύσεις, συμποσίου δὲ τὸ τέλος ἡ πρὸς τοὺς συνόντας φιλοφροσύνη, παρεπόμενα δὲ τῇ ἀγάπῃ ἡ βρῶσις καὶ ἡ πόσις, πῶς οὐ λογικῶς ἀναστρεπτέον οὐδὲ διὰ τὴν ἀγάπην ἀπορητέον; εἰ γὰρ ὡς ἐπιτείνοντες τὴν πρὸς ἀλλήλους εὔνοιαν σύνιμεν, πῶς ἔχθρας διὰ τοῦ σκώπτειν σκαλεύομεν; σιωπᾶν δὲ κρεῖττον ἢ ἀντιλέγειν ἁμαρτίαν ἀμαθίᾳ προσφερομέ-

*) Prouerb. 10, 19. **) Eccles. 20, 5. ***) Ibid. v. 8. †) Ibid. 31, 31. ††) Prouerb. 14, 3. †††) Ephes. 5, 4.

νους. „μακάριος" ὡς ἀληθῶς „ἀνὴρ, ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας" *), ἤτοι μετανοήσας ἐφ' οἷς λαλήσας ἥμαρτεν, ἢ ἐν τῷ μηδένα λυπῆσαι λαλήσας. καθόλου μὲν οὖν νέοι μὲν καὶ νεάνιδες ὡς ἐπίπαν τῶν τοιῶνδε ἀπεχέσθων εὐωχιῶν, ὡς μὴ σφάλλοιντο περὶ ἃ μὴ προσῆκεν· καὶ γὰρ ἀκούσματα ἀήθη καὶ θεάματα ἀπρεπῆ κυμαινομένης ἔτι ἐν αὐτοῖς τῆς πίστεως P. 201 Pott. ἐκριπίζει τὴν διάνοιαν, συνεργεῖ δὲ αὐτοῖς τὸ ἄστατον τῆς ἡλικίας πρὸς τὸ εὐκατάφορον τῆς ἐπιθυμίας, ἔσθ' ὅτε δὲ καὶ ἄλλοις παραίτιοι γίνονται σφαλμάτων, τὸ ἐπικίνδυνον τῆς ὥρας ἐπιδεικνύμενοι.

§. 54. Εὖ γάρτοι παραγγέλλειν ἡ σοφία φαίνεται· „μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον καὶ μὴ συμμετακλιθῇς ἐπ' ἀγκῶνα μετ' αὐτῆς"**)· τουτέστι μὴ συνδείπνει πυκνότερον, μηδὲ ἔσθιε μετ' αὐτῆς. διὸ καὶ ἐπιφέρει· „μηδὲ συμβολὰς ποίει μετ' αὐτῆς ἐν οἴνῳ, μή ποτε ἐκκλίνῃ ἡ καρδία σοὺ ἐπ' αὐτὴν καὶ τῷ αἵματί σου ὀλισθήσῃ εἰς ἀπώλειαν"· σφαλερὰ γὰρ ἡ πάροινος ἐλευθερία παρανθεῖν δυναμένη· ὕπανδρον δὲ ὠνόμασεν, ἐπεὶ μείζων ὁ κίνδυνος τῷ λῦσαι τὴν δέσιν τῆς συμβιώσεως πειρωμένῳ. εἰ δὲ καὶ ἀνάγκη τις περιτύχοι παριέναι κελεύουσα, αἱ μὲν κεκαλύφθων ἄγαν ἀμπεχόνῃ ἔκτοσθεν, ἔνδοθεν δὲ αἰδοῖ. ὅσαι δὲ μὴ ὕπανδροι, ἐσχάτη ταύτῃ διαβολὴ εἰς ἀνδρῶν παρεῖναι συμπόσιον καὶ ταῦτα οἰνωμένων. οἱ δὲ ἐπὶ τὴν κλισίαν τὰς ὄψεις πήξαντες ἀμετασάλευτοι τοῖς ἀγκῶσιν ἐρηρεισμένοι μόνοις παρέστων τοῖς ὠσὶν, εἰ δὴ καὶ καθέζοιντο, μὴ ἐναλλὰξ τὼ πόδε ἐχόντων, μηδὲ μὴν θάτερον τοῖν μηροῖν θατέρῳ ἐπιφερόντων ἢ τὴν χεῖρα τῷ γενείῳ ὑπερειδόντων· ἀγεννὲς γὰρ μὴ φέρειν αὐτόν.

§. 55. Καὶ τοῦτο κατηγόρημα τοῦ νέου. συνεχὲς δὲ καὶ τὸ μετακινούμενον ἐναλλάττειν τὸ σχῆμα

---

*) Eccles. 14, 1. **) Ibid. 9, 9.

κουφότητος σύμβολον, σώφρονος δὲ εὐθέως ἐν πόσει καὶ ἐν βρώσει τὸ ἔλαττον αἱρεῖσθαι καὶ τὸ σχολαίτερον, οὐ τὸ προπετέστερον κἂν τῷ κατάρχεσθαι κἂν τοῖς διαλείμμασι, καὶ τὸ προκαταλήγειν δὲ καὶ τὸ ἀπροσπαθές. „φάγε", φησὶν, „ὡς ἄνθρωπος τὰ παρακείμενα, παῦσαι πρῶτος χάριν παιδείας, κἂν ἀναμέσον πλειόνων ἐκάθισας, πρότερος αὐτῶν μὴ ἐκτείνῃς χεῖρα" *). οὔκουν προσεκπηδητέον ὑπὸ λαιμαργίας ἀναπειθομένους ποτὲ, οὐδὲ μὴν ἐπιγλιχομένους παρεκτείνειν μέχρι πολλοῦ χρὴ τῇ ἐφυστερήσει τὴν ἀκρασίαν ὁμολογοῦντας. ἀλλ' οὐδὲ ἐν τῷ μεταξὺ P. 202
προσκειμένους φαίνεσθαι καθάπερ τὰ θηρία τῇ βο- Pott.
ρᾷ, οὐδὲ μὴν πλείονος ὄψου προσφέρεσθαι· οὐ γὰρ ὀψοφάγος φύσει, ἀλλὰ σιτοφάγος ἄνθρωπος.

§. 56. Προανίστασθαι δὲ τῶν πολλῶν καὶ τοῦ συμποσίου ὑπεξεῖναι ἐπιεικῶς ἀνδρὸς σώφρονος· „ἐν ὥρᾳ γὰρ", φησὶν, „ἀναστάσεως μὴ οὐράγει, καὶ ἀπότρεχε εἰς οἶκόν σου" **). ἔλεγον δὲ οἱ δώδεκα προσκαλεσάμενοι τὸ πλῆθος τῶν μαθητῶν· „οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις" ***). εἰ δὴ τοῦτο ἐφυλάξαντο, πολλῷ μᾶλλον γαστριμαργίαν ἔφευγον. οἱ δὲ αὐτοὶ οὗτοι ἀπόστολοι τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς ἐπιστέλλοντες· „ἔδοξεν", ἔφασαν, „τῷ πνεύματι τῷ ἁγίῳ καὶ ἡμῖν μηδὲν πλέον ἐπιθέσθαι ὑμῖν βάρος", πλὴν τῶν ἐπάναγκες, ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτῶν καὶ τῆς πορνείας, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε" †). φυλάττεσθαι δὲ τὰς παροινίας ὥσπερ καὶ τὸ κώνειον δεῖ· ἄμφω γὰρ ὑποσύρουσιν εἰς θάνατον. χρὴ δὲ καὶ γελώτων εἴργεσθαι ἐξαισίων καὶ δακρύων ὑπερμέτρων· πολλάκις γὰρ οἱ οἰνωμένοι καγχάσαντες ἐπὶ πλεῖστον, εἶτα μέντοι ὑπήχθησαν οὐκ οἶδ' ὅπως

---

*) Eccles, 31, 16—18. **) Ibid. 32, 11. ***) Actor. 6, 2. †) Ibid. 15, 28 sq.

παροινίᾳ τινὶ παραπειθόμενοι εἰς δάκρυα· ἀπᾴδει γὰρ τοῦ λόγου καὶ τὸ ἐκθηλύνεσθαι καὶ τὸ ἐξυβρίζειν.

§. 57. Πρεσβῦται δὲ ὡς τέκνα ἀφορῶντες τοὺς νέους σπανιαίτατα μὲν, ἴσως δ' ἄν που καὶ παίξαιεν πρὸς αὐτοὺς, εἰς τοῦτο ἐπισκώπτοντες, ὃ παιδαγωγήσει τὸ εὔσχημον αὐτῶν. ἀμέλει πρὸς τὸν αἰσχυντηλὸν καὶ σιωπηλὸν ἔστι χαριεντίσασθαι ὧδέ πως· ὁ P. 75 Sylb. δὲ ἐμὸς υἱὸς, ἐκεῖνον λέγω τὸν σιωπῶντα, οὐ παύεται λαλῶν. ἐπιτείνει γὰρ τοῦ νέου τὴν αἰδῶ ἡ τοιαύτη ἐπίσκωψις ἐμφαίνουσα χαριέντως τὰ προσόντα αὐτῷ χρηστὰ διὰ τῆς τῶν φαύλων, ἃ μὴ πρόσεστιν αὐτῷ, διαβολῆς· ἐπίνοια γὰρ καὶ αὐτὴ διδασκαλικὴ διὰ τοῦ μὴ προσόντος κυροῦσα τὸ προσόν. ἀμέλει τοσοῦτόν τι ἐπικρίνει ὁ τὸν ὑδροπότην καὶ σώφρονα παροινεῖν καὶ μεθύειν λέγων. εἰ δὲ καὶ εἶέν τινες οἱ φιλοσκώμμονες, σιωπητέον ἡμῖν καὶ παραπεμπτέον τοὺς λόγους τοὺς περιττοὺς, ὥσπερ τὰς κύλικας τὰς πεπληρωμένας· ἐπισφαλὴς γὰρ ἡ τοιαύτη παιδιά· „στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ· P. 203 Pott. οὐ παραδέξῃ δὲ ἀκοὴν ματαίαν οὐδὲ συγκαταθήσῃ μετὰ τοῦ ἀδίκου γενέσθαι μάρτυς"*) ἄδικος οὔτε εἰς διαβολὰς οὔτε εἰς βλασφημίας, ἀλλ' οὐδ' εἰς κακοηθείας.

§. 58. Ἐγὼ δ' ἄν μοι δοκῶ καὶ μέτρον ἐπιθεῖναι φωνῇ, τοῖς σώφροσιν, οἷς γε ἐφεῖται λαλεῖν, τὸν ἀντιδιαλεγόμενον. Σιγὴ μὲν γὰρ ἀρετὴ γυναικῶν ἐστὶν, ἀκίνδυνον δὲ τῶν νέων γέρας, λόγος δὲ ἀγαθὸς ἡλικίας δεδοκιμασμένης. „λάλησον, πρεσβύτερε, ἐν συμποσίῳ — πρέπει γάρ σοι —, ἀλλ' ἀπαραποδίστως λάλησον καὶ ἐν ἀκριβείᾳ ἐπιστήμης. νεανίσκε", καὶ σοὶ ἐπιτρέπει ἡ σοφία, „λάλησον, εἰ χρεία σου, μόλις δὶς ἐπερωτηθεὶς κεφαλαίωσον λόγον ἐν ὀλίγοις"**). ἄμφω δὲ οἱ διαλεγόμενοι τὸ φθέγμα

---

*) Prouerb. 10, 14. Exod. 23, 1. **) Eccles. 32, 3. 7 sq.

τὸ σφῶν τῇ συμμετρίᾳ παραμετρούντων, τό τε γὰρ γεγωνὸν τῆς προφορᾶς μανιωδέστατον, τό τε ἀνήκουστον πρὸς τοὺς πέλας φθέγγεσθαι ἀναισθήτου· οὐ γὰρ ἀκούσονται. καὶ τὸ μὲν ἀγεννείας, τὸ δὲ αὐθαδείας τεκμήριον. ἀπέστω δὲ καὶ ἡ φιλονεικία κενῆς νίκης ἕνεκεν, λόγων, ἐπεὶ τέλος ἡμῖν ἡ ἀταραξία καὶ τοῦτο ἄρα ἐστὶ τὸ „εἰρήνη σοί"*)· πρίν τε ἀκοῦσαί σε μὴ ἀποκρίνου ῥῆμα.

§. 59. Ἀλλὰ καὶ τὸ τεθρυμμένον τῆς φωνῆς θηλυδρίου, σώφρονος δὲ καὶ τὸ ἐν τῇ φωνῇ μεμετρημένον μεγέθους τε ἅμα καὶ μήκους καὶ τάχους καὶ πλήθους εἴργοντος τὸ φθέγμα τὸ αὐτοῦ. οὔτε γὰρ μακρολογητέον ποτὲ οὔτε πολυλογητέον οὔτε ἀδολεσχητέον, ἀλλ' οὐδὲ τροχαλῶς καὶ συνδιωκομένως ὁμιλητέον. καὶ γὰρ αὐτῇ τῇ φωνῇ, ὡς ἔπος εἰπεῖν, δικαιοσύνης μεταδοτέον, τούς τε ἀκαιροβόας καὶ τοὺς κεκράκτας ἐπιστομιστέον. ταύτῃ γὰρ αὖ τὸν Θερσίτην πληγαῖς ᾐκίσατο ὁ σώφρων Ὀδυσσεύς, ὅτι μόνος

ἀμετροεπὴς ἐκολῴα,
ὅς ῥ' ἔπεα φρεσὶν ᾗσιν ἄκοσμά τε πολλά τε ᾔδει,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον**). P. 204

„φοβερὸς γὰρ ἐν ἀπωλείᾳ αὐτοῦ ἀνὴρ γλωσσώδης"***). Pott. τῶν γοῦν φλυάρων καθάπερ τῶν παλαιῶν ὑποδημάτων, τὰ μὲν ἄλλα ὑπὸ τῆς κακίας κατατέτριπται μόνη δὲ ἡ γλῶσσα περιλείπεται εἰς βλάβην. ταύτῃ τοὶ βιωφελέστατα ἡ σοφία παραινεῖ· „μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων"†). ἄνωθεν δὲ ἡμῶν τὴν φλυαρίαν ἐκκόπτουσα, θεόθεν ἄρχουσα, μετριάζειν νομοθετοῦσα ὧδέ πως· „μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σοῦ".

§. 60. Ποππυσμὸς δὲ καὶ συριγμὸς καὶ οἱ διὰ τῶν δακτύλων ψόφοι τῶν οἰκετῶν οἱ προκλητικοὶ ἄλογοι σημασίαι οὖσαι λογικοῖς ἀνθρώποις ἐκκλιτέοι,

---

*) 3 Ioann. v. 15. **) Hom. Il. β, 212 sq. ***) Eccles. 9, 18. †) Ibid. 7, 14.

παραιτητέον δὲ καὶ τὸ συνεχὲς ἀποπτύειν καὶ τὸ χρέμπτεσθαι βιαιότερον μηδὲ ἀπομύττεσθαι παρὰ πότον· στοχαστέον γὰρ ἀμηγέπη τῶν συνευωχουμένων, μὴ ἀποστέρξωσιν ἀπὸ ναυτίας τὴν τοιάνδε ἀκοσμίαν, ἣ κατήγορός ἐστιν ἀκρασίας· οὐ γὰρ κατὰ τὰ αὐτὰ τοῖς βουσὶν καὶ τοῖς ὄνοις ἡ φάτνη ἅμα καὶ ὁ κοπρών· καὶ γὰρ οἱ πολλοὶ ἀπομύττονται καὶ πτύουσιν ἅμα ἐν τῷ αὐτῷ καὶ δειπνοῦσι. πταρμὸς δὲ εἴ τῳ ἐπιγένοιτο, ὥσπερ ἀμέλει καὶ ἡ ἐρυγὴ, οὐκ ἐξηχεῖν δεήσει τοὺς πλησίον τῷ ψόφῳ τῆς αὐτῶν καταμαρτυροῦντας ἀπαιδευσίας, ἀλλ' ἡ μὲν παραπεμπτέα, ἡ ἐρυγὴ, ἡσυχῇ σὺν τῷ ἐκπνεομένῳ ἀέρι, σχηματιζομένῳ κοσμίως τῷ στόματι, οὐχὶ δὲ τραγικῶν δίκην προσωπείων διελκομένῳ καὶ κεχηνότι. πταρμοῦ δὲ τὸ ταρακτικὸν ἀφαιρετέον ἀπολαβομένοις πράως τὰς ἀναπνοάς· ταύτῃ γὰρ εὐσχημονέστατα τὴν ἀθρόαν τοῦ πνεύματος ἀπειλὴν ἐναποσβεστέον οἰκονομοῦντα τὴν διέξοδον, ὡς καὶ λαθεῖν πειρᾶσθαι, ἤν τι καὶ συνεξάξῃ ἐκβιαζόμενος ὁ ἀὴρ περίττωμα. ἀγερωχίας δὲ καὶ ἀταξίας σύμβολον τὸ προσθεῖναι τοῖς ἤχοις ἐθέλειν, μὴ οὐχὶ ἀφαιρεῖν. οἱ δὲ δὴ γλύφοντες τοὺς ὀδόντας αἱμάσσοντες τὰ οὖλα σφίσι τε αὐτοῖς εἰσὶν ἀηδεῖς καὶ τοῖς πλησίον ἀπεχθεῖς. ναὶ μὴν καὶ τῶν ὤτων οἱ γαργαλισμοὶ καὶ τῶν πταρμῶν οἱ ἐρεθισμοὶ ὑώδεις εσὶ κνησμοὶ, πορνείας ἀκολάστου μελετητικοί. καὶ τὰς ὑπ' ὄψιν δὲ ἀσχημοσύνας παραιτητέον καὶ τὰς αἰσχρολογίας αὐτῶν. καθεστὼς δὲ καὶ τὸ βλέμμα ἔστω· καὶ ἡ τοῦ τραχήλου ἐπιστροφὴ καὶ ἡ κίνησις εὐσταθὴς καὶ ἡ τῶν χειρῶν κατὰ τὰς ὁμιλίας προφορά. καθόλου γὰρ ὁ Χριστιανὸς ἠρεμίας καὶ ἡσυχίας καὶ γαλήνης καὶ εἰρήνης οἰκεῖός ἐστιν.

Cap. VIII. P. 205 Pott.

Εἰ μύροις καὶ στεφάνοις χρηστέον.

§. 61. Στεφάνων δὲ ἡμῖν καὶ μύρων χρῆσις οὐκ ἀναγκαία. ἐξοκέλλει γὰρ εἰς ἡδονὰς καὶ ῥαθυμίας, μάλιστα γειτνιώσης τῆς νυκτός. οἶδ᾽ ὅτι „ἀλάβαστρον μύρου"*) παρὰ τὸ δεῖπνον τὸ ἅγιον κομίσασα ἡ γυνὴ τοὺς πόδας ἤλειφεν τοῦ κυρίου καὶ ἧσεν
P. 76 Sylb. αὐτὸν, οἶδα δὲ καὶ χρυσῷ καὶ λίθῳ τιμίῳ τοὺς παλαιοὺς τῶν Ἑβραίων ἀναδουμένους βασιλεῖς, ἀλλ᾽ ἡ μὲν γυνὴ μηδέπω τοῦ λόγου μεταλαβοῦσα — ἔτι γὰρ ἦν ἁμαρτωλός — ὅπερ ἡγεῖτο τὸ κάλλιστον εἶναι παρ᾽ αὑτῇ, τὸ μύρον, τούτῳ τετίμηκε τὸν δεσπότην, ἀμέλει καὶ τῷ κόσμῳ τοῦ σώματος, ταῖς θριξὶ ταῖς ἑαυτῆς, ἀπεψᾶτο τὸ περιττὸν τοῦ μύρου ἐπισπένδουσα τῷ κυρίῳ, μετανοίας δάκρυα. διὰ τοῦτο „ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι"**). δύναται δὲ τοῦτο σύμβολον εἶναι τῆς διδασκαλίας τῆς κυριακῆς καὶ τοῦ πάθους αὐτοῦ· μύρῳ γὰρ εὐώδει ἀλειφόμενοι οἱ πόδες θεϊκὴν αἰνίττονται διδασκαλίαν ἐπὶ τὰ πέρατα τῆς γῆς μετ᾽ εὐκλείας ὁδεύουσαν· „ἐξῆλθεν γὰρ ὁ φθόγγος αὐτῶν ἐπὶ τὰ πέρατα τῆς γῆς"***). καὶ εἰ μὴ φορτικὸς εἶναι δοκῶ, οἱ πόδες οἱ τοῦ κυρίου οἱ μεμυρισμένοι ἀπόστολοί εἰσι προφητεία τῆς εὐωδίας τοῦ χρίσματος ἁγίου μεταλαβόντες πνεύματος.

§. 62. Οἱ γοῦν περινοστήσαντες τὴν οἰκουμένην ἀπόστολοι καὶ τὸ εὐαγγέλιον κηρύξαντες πόδες ἀλληγοροῦνται κυρίου, περὶ ὧν καὶ διὰ τοῦ ψαλμῳδοῦ προθεσπίζει τὸ πνεῦμα· „προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ" †), τουτέστιν, οὗ ἔφθασαν οἱ πόδες αὐτοῦ οἱ ἀπόστολοι, δι᾽ ὧν κηρυσσόμενος ἐπὶ τὰ πέρατα ἧκεν τῆς γῆς. δάκρυα δὲ ἡ

---

*) Matth. 26, 7. Marc. 14, 3. Luc. 7, 37. **) Luc. 7, 47. ***) Psalm. 19, 5. Rom. 10, 18. †) Psalm. 132, 7.

μετάνοιά ἐστι, καὶ λελυμέναι τρίχες φιλοκοσμίας ἐκήρυσσον ἀπαλλαγὴν καὶ τὴν μετὰ τοῦ κηρύγματος διὰ τὸν κύριον θλῖψιν ἐν ὑπομοναῖς τῆς παλαιᾶς ἐκείνης διὰ τὴν πίστιν τὴν νέαν λελυμένης κενοδοξίας, ἀλλὰ καὶ πάθος ἐμφαίνει δεσποτικόν. μυστικῶς ταύτῃ νοοῦσι τὸ ἔλαιον, ὃ αὐτός ἐστιν ὁ κύριος, ἀφ᾽ οὗ τὸ ἔλεος τὸ ἐφ᾽ ἡμᾶς, τὸ δὲ μύρον δεδολωμένον ἔλαιόν ἐστιν ὁ Ἰούδας ὁ προδότης, ᾧ τοὺς πόδας ἐχρίσθη κύριος τῆς ἐν κόσμῳ ἀναστροφῆς ἀπαλλαττόμενος, μυρίζονται γὰρ οἱ νεκροί. δάκρυα δέ ἐσμεν οἱ ἁμαρτωλοὶ οἱ μετανενοηκότες οἱ εἰς αὐτὸν πεπιστευκότες, οἷς ἀφῆκεν τὰς ἁμαρτίας, καὶ αἱ τρίχες αἱ λελυμέναι πενθοῦσα Ἱερουσαλὴμ ἡ καταλελειμμένη, P. 206 Pott. δι᾽ ἣν οἱ θρῆνοι οἱ προφητικοί. διδάσκει δὲ ἡμᾶς αὐτὸς ὁ κύριος, ὅτι δεδολωμένος ὁ Ἰούδας ἐστίν· „ὃς ἂν ἐμβάψηται μετ᾽ ἐμοῦ", λέγων, „εἰς τὸ τρυβλίον, οὗτός με παραδώσει" *). ὁρᾷς τὸν συμπότην τὸν δόλιον· καὶ αὐτὸς οὗτος ὁ Ἰούδας φιλήματι προὔδωκε τὸν διδάσκαλον· γέγονεν γὰρ ὁ αὐτὸς ὑποκριτὴς καὶ φίλημα δεδολωμένον ἔχων ἄλλον παλαιὸν μιμούμενος ὑποκριτήν· καὶ τὸν λαὸν ἐλέγχων ἐκεῖνον, δι᾽ ὃν εἴρηται, „ὁ λαὸς οὗτος τοῖς χείλεσι φιλοῦσί με, ἡ δὲ καρδία αὐτῶν πορρωτέρω ἐστὶν ἀπ᾽ ἐμοῦ" **).

§. 63. Οὐκ ἀπεικὸς οὖν αὐτὸν καταμηνύειν, ἔλαιον μὲν, ὡς μαθητὴν ἠλεημένον, δολερὸν δὲ, ὡς προδότην, ἔλαιον πεφαρμαγμένον. τοῦτο ἄρα ἦν, ὃ προεφήτευον οἱ μυριζόμενοι πόδες, τὴν Ἰούδα προδοσίαν εἰς πάθος ὁδεύοντος κυρίου. καὶ αὐτὸς ὁ σωτὴρ „ἀπονίπτων τοὺς πόδας" ***) τῶν μαθητῶν εἰς τὰς καλὰς πράξεις ἀποστέλλων αὐτοὺς, τὴν ὁδοιπορίαν αὐτῶν τὴν εἰς τὰς εὐεργεσίας τῶν ἐθνῶν ᾐνίξατο εὐπρεπῆ καὶ καθαρὰ προπαρασκευάσας τῇ ἰδίᾳ δυνάμει. ὦζεσέ τε τούτοις τὸ μύρον καὶ τὸ ἐπὶ πάν-

---

*) Matth. 26, 23. **) Ies. 29, 13. ***) Ioann. 13, 5 sq.

των φθάνον τῆς εὐωδίας ἔργον πεφήμισται· καὶ γὰρ πεπλήρωκεν τὸ πάθος τοῦ κυρίου, ἡμᾶς μὲν εὐωδίας, Ἑβραίους δὲ ἁμαρτίας. σαφέστατα τοῦτο ἀπέδειξεν ὁ ἀπόστολος εἰπών· „τῷ θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι κυρίου εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν γὰρ ὀσμὴ ἐκ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωήν" *). βασιλεῖς δὲ οἱ Ἰουδαίων χρυσῷ καὶ λίθοις τιμίοις συνθέτῳ καὶ ποικίλῳ χρώμενοι στεφάνῳ, οἱ χριστοὶ, τὸν Χριστὸν ἐπὶ τῆς κεφαλῆς συμβολικῶς ἐπιφερόμενοι λελήθεσαν κεφαλῇ κοσμούμενοι κυρίου. λίθος γέ τοι τίμιος ἢ μαργαρίτης ἢ σμάραγδος αὐτὸν αἰνίττεται τὸν λόγον, χρυσὸς δὲ αὐτὸς πάλιν ὁ ἀδιάφθορος λόγος, ὁ τὸν ἰὸν τῆς φθορᾶς οὐκ ἐπιδεχόμενος. χρυσὸν γὰρ αὐτῷ γεννηθέντι βασιλείας σύμβολον προσεκόμισαν οἱ μάγοι· μένει δὲ ἀθάνατος ὁ στέφανος οὗτος κατ' εἰκόνα τοῦ κυρίου· οὐ γὰρ μαραίνεται ὡς ἄνθος. P. 207 Pott.

§. 64. Οἶδα καὶ τὰ Ἀριστίππου τοῦ Κυρηναίου. ἁβροδίαιτος ἦν ὁ Ἀρίστιππος· σοφιστικὸν οὗτος ἐρωτᾷ τινὰ τοιοῦτον λόγον· ἵππος μύρῳ χριόμενος εἰς τὴν ἵππου ἀρετὴν οὐ βλάπτεται οὐδὲ κύων μυρισθεὶς εἰς τὴν κυνὸς ἀρετήν· οὐδ' ἄνθρωπος ἄρα, ἐπήγαγεν καὶ συνήγαγεν· ἀλλ' ἵππῳ μὲν καὶ κυνὶ οὐδὲ εἷς λόγος τοῦ μύρου, οἷς δὲ ἡ αἴσθησις λογικωτέρα, τούτοις ἡ ἀπόλαυσις ἐπιψογωτέρα κορασιώδεις ὀδμὰς ἐπιφερομένοις. τούτων δὲ τῶν μύρων ἄπειροι διαφοραὶ, βρένθιον καὶ μετάλλιον καὶ βασίλειον, πλαγγόνιόν τε καὶ ψάγδας Αἰγυπτίας. Σιμωνίδης δὲ ἐν τοῖς ἰάμβοις οὐκ αἰδεῖται λέγων·

κἠλειφόμην μύροισι καὶ θυώμασι
καὶ βακκάρι· καὶ γάρ τις ἔμπορος παρῆν.

---

*) 2 Cor. 14 — 16.

ἐπιτηδεύουσι δὲ καὶ τὸ ἀπὸ κρίνων μύρον καὶ τὸ ἀπὸ τῆς κύπρου, καὶ ἡ νάρδος εὐδοκιμεῖ παρ' αὐτοῖς καὶ τὸ ἀπὸ τῶν ῥόδων ἄλειμμα καὶ τὰ ἄλλα, οἷς ἔτι χρῶνται γυναῖκες, ὑγρά τε καὶ ξηρὰ καὶ τὰ ἐπίπαστα καὶ ὑποθυμιώμενα μύρα· ἐπινοεῖται γὰρ αὐταῖς ὁσημέραι πρὸς τὸ ἄπληστον τῆς ἐπιθυμίας τὸ ἀκόρεστον τῆς εὐωδίας, διὸ καὶ πολλῆς τινὸς ἀπειροκαλίας ἀποπνέουσιν. αἱ δὲ καὶ τὰς ἐσθῆτας καὶ τὰς στρωμνὰς καὶ τοὺς οἴκους ὑποθυμιῶσί τε καὶ καταῤῥαίνουσιν, μονονουχὶ δὲ καὶ τὰς ἀμίδας ὄζειν ἀναγκάζει τοῦ μύρου ἡ P. 208 Pott. τρυφή.

P. 77 Sylb. §. 65. *Εὖ* μοὶ δοκοῦσι σχετλιάσαντες τῇ περὶ τοῦτο σπουδῇ τοσοῦτο τοῖς μύροις ἀποδιακεῖσθαί τινες, ὅτι τὴν ἀνδρωνῖτιν ἐκθηλύνουσιν, ὡς καὶ τοὺς τεχνίτας αὐτῶν, τοὺς μυρεψούς, τῶν εὐνομουμένων ἀπελαύνειν πόλεων καὶ τῶν ἀνθινῶν ἐρίων τοὺς βαφεῖς ἀπελαύνειν καὶ αὐτούς· οὐ γὰρ θέμις δολερὰ εἵματα καὶ χρίσματα εἰς τὴν ἀληθείας παρεισιέναι πόλιν. χρὴ δὲ καὶ μάλα τοὺς μὲν ἄνδρας τοὺς παρ' ἡμῖν μὴ μύρων, ἀλλὰ καλοκἀγαθίας ὄζειν, γυνὴ δὲ ἀποπνείτω Χριστοῦ τοῦ ἀλείμματος τοῦ βασιλικοῦ, μὴ διὰ πασμάτων καὶ μύρων, ἀεὶ δὲ τῷ σωφροσύνης ἀμβροσίῳ χρίσματι συναλειφέσθω, ἁγίῳ τερπομένη μύρῳ τῷ πνεύματι. τοῦτο σκευάζει Χριστὸς ἀνθρώποις γνωρίμοις, εὐωδίας ἄλειμμα, ἐκ τῶν οὐρανίων συντιθεὶς ἀρωμάτων τὸ μύρον. τούτῳ καὶ αὐτὸς ὁ κύριος συναλείφεται τῷ μύρῳ, ὡς διὰ Δαβὶδ μεμήνυται· „διὰ τοῦτο ἔχρισέ σε ὁ θεός, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου" *).

§. 66. *Ἀλλὰ* γὰρ μὴ λάθωμεν ὥσπερ οἱ γῦπες τὰ μύρα βδελυττόμενοι ἢ οἱ κάνθαροι· τούτους γὰρ ῥοδίνῳ χρισθέντας μύρῳ τελευτᾶν λέγουσιν, καὶ τού-

*) Psalm. 45, 7 sq.

των ἐκκριτέον ὀλίγα τινὰ τῶν μύρων ταῖς γυναιξὶν, ὅσα μὴ καρῶσι τὸν ἄνδρα· αἱ γὰρ ὑπέρμετροι χρίσεις τῶν μύρων κηδείας, οὐ συμβιώσεως ἀποπνέουσιν. καίτοι καὶ τὸ ἔλαιον αὐτὸ ταῖς μελίτταις καὶ τοῖς ἐντόμοις ἐστὶ πολέμιον ζώοις, ἀνθρώπων δὲ τοὺς μὲν ὤνησεν, ἔστι δὲ οὓς εἰς μάχην ἐξεκαλέσατο, καὶ τοὺς πρότερον φίλους ἀληλιμμένους τοῦτο ἐν τοῖς σταδίοις ἐκτρέπει εἰς τὸ τῆς ἀγωνίας πάμμαχον. μαλθακὸν δὲ ἔλαιον τὸ μύρον ὂν οὐκ οἴεσθε τὰ ἤθη τὰ γεννικὰ ἐκθηλύνειν δύνασθαι; μάλιστα. ὥσπερ δὲ τὴν τρυφὴν καὶ τῆς γεύσεως ἀποκεκλίκαμεν, οὕτως ἀμέλει καὶ τῶν ὄψεων καὶ τῶν ὀσφρήσεων τὴν ἡδυπάθειαν ἐξορίζομεν, μὴ λάθωμεν ἣν ἐφυγαδεύσαμεν P. 209 Pott. ἀκολασίαν, κάθοδον αὐτῇ διδόντες εἰς ψυχὴν διὰ τῶν αἰσθήσεων, οἱονεὶ διὰ θυρῶν ἀφρουρήτων.

§. 67. Εἰ γοῦν τῆς εὐωδίας „τὸ θυμίαμα“ *) τὸν μέγαν ἀρχιερέα, τὸν κύριον, ἀναφέρειν λέγοιεν τῷ θεῷ μὴ θυσίαν ταύτην καὶ εὐωδίαν θυμιάματος νοούντων, ἀλλὰ γὰρ τὸ τῆς ἀγάπης δεκτὸν ἀναφέρειν τὸν κύριον, τὴν πνευματικὴν εὐωδίαν, εἰς τὸ θυσιαστήριον παραδεχέσθων. αὔταρκες μὲν οὖν τὸ ἔλαιον αὐτὸ λιπᾶναί τε τὴν ἐπιφάνειαν καὶ ἀνεῖναι τὸ νευρῶδες καί τινα τοῦ σώματος ὀσμὴν ἀναστεῖλαι βαρυτέραν, εἰ καὶ πρὸς τοῦτο τοῦ ἐλαίου δεοίμεθα. ἡ δὲ ἐπιτήδευσις τῆς εὐωδίας δέλεάρ ἐστι ῥαθυμίας πόρρωθεν εἰς λίχνον ἐπιθυμίαν ἐπισπωμένης. πάντοθεν γὰρ ἀγώγιμος ὁ ἀκόλαστος καὶ ἀπὸ ἐδωδῆς καὶ ἀπὸ στρωμνῆς καὶ ἀπὸ συναναστροφῆς καὶ ἐκ τῶν ὀφθαλμῶν καὶ ἐκ τῶν ὤτων καὶ ἐκ τῶν γνάθων, ἀλλὰ καὶ ἐκ τῶν μυκτήρων· καθάπερ οἱ βόες τοῖς κρίκοις καὶ τοῖς σχοίνοις, οὕτω δὲ καὶ ὁ ἀκόλαστος θυμιάμασι καὶ μύροις καὶ ταῖς ἀπὸ τῶν στεφάνων εὐωδίαις περιέλκεται.

---

*) Exod. 30, 7.

§. 68. Ἐπεὶ δὲ οὐδεμίαν χώραν ἀπονέμομεν ἡδονῇ, πρὸς οὐδεμίαν συμπεπλεγμένῃ λυσιτελῆ τῷ βίῳ χρείαν, φέρε κἀνταῦθα διαστειλώμεθα τὸ χρειῶδες αἱρούμενοι. εἰσὶ γάρ τινες εὐωδίαι οὐ καρωτικαὶ οὐδὲ ἐρωτικαί· οὐκοῦν συμπλοκῆς καὶ ἑταιρείας ἀκολάστου ἀποπνέουσαι, ὑγιειναὶ δὲ μετὰ σωφροσύνης καὶ τὸν μὲν ἐγκέφαλον ὑποτρέφουσαι, ὁπηνίκα ἂν καχεκτῇ, ῥωννύουσαι δὲ καὶ τὸν στόμαχον. πολλοῦ τοίνυν δεῖ τοῖς ἄνθεσιν ἐπιψύχειν αὐτὸν, ὁπότε λεαίνεσθαι ἐθέλει τὸ νευρῶδες· οὐ γὰρ κατὰ πάντα ἀποσκορακιστέον τὴν χρῆσιν αὐτῶν, ἀλλ᾽ ὥσπερ φαρμάκῳ καὶ βοηθήματι χρηστέον τῷ μύρῳ, πρός τε τὸ ἐπεγεῖραι τὴν ἀπαυδῶσαν δύναμιν καὶ πρὸς τοὺς κατάρρους καὶ πρὸς τὰς καταψύξεις δυσαρέστησίν τε, καθὰ καὶ ὁ κωμικός φησί που·

μύροις
ὑπαλείφεται τὰς ῥῖνας, ὑγιείας μέρος
μέγιστον ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιεῖν·

καὶ ἡ τῶν ποδῶν διὰ τοῦ λίπους τῶν ἀναθερμαινόντων ἢ ἐμψυχόντων μύρων ἀνάτριψις ὠφελείας ἕνεκεν ἐπιτηδεύεται, ὡς δὴ ἀπὸ τῆς κεφαλῆς τοῖς πεπληρωμένοις ὁλκήν τινα καὶ ὑποχώρησιν ἐπὶ τὰ μὴ P. 210 Pott. κύρια τῶν μερῶν γίνεσθαι. ἡδονὴ δὲ, ᾗ μὴ πρόσεστι τὸ χρειῶδες, ἤθους ἐστὶν ἑταιρικοῦ διαβολὴ καὶ φάρμακον ἐρεθισμῶν. διαφέρει δὲ ὅλως τὸ μυραλοιφεῖν τοῦ μύρῳ χρίεσθαι, τὸ μὲν γὰρ θηλυδριῶδες, τὸ δὲ χρίεσθαι τῷ μύρῳ καὶ λυσιτελεῖ ἔσθ᾽ ὅτε.

§. 69. Ἀρίστιππος γοῦν ὁ φιλόσοφος χρισάμενος μύρῳ κακοὺς κακῶς ἀπολωλέναι χρῆναι τοὺς κιναίδους ἔφασκεν τοῦ μύρου τὴν ὠφέλειαν εἰς λοιδορίαν διαβεβληκότας. „τίμα δὲ ἰατρὸν πρὸς χρείαν αὐτοῦ", φησὶν ἡ γραφή· „καὶ γὰρ αὐτὸν ἔκτισεν ὁ ὕψιστος, παρὰ δὲ κυρίου ἐστὶν ἴασις"· εἶτα ἐπάγει· „καὶ μυρεψὸς ποιήσει μῖγμα" *), ὡς εἰς ὠφέλειαν

*) Eccles. 38, 1 sq.

δηλονότι, οὐκ εἰς ἡδυπάθειαν δεδομένων τῶν μύρων. οὐ γὰρ περὶ τὸ ἐρεθιστικὸν τῶν μύρων σπουδαστέον οὐδαμῶς, ἀλλὰ τὸ ὠφέλιμον ἐκλεκτέον, ὅπου γε καὶ τοῦ ἐλαίου τὴν γένεσιν ἀνῆκεν ὁ θεὸς ἀνθρώποις εἰς πόνων ἀρωγήν. αἱ δὲ ἀφραίνουσαι γυναῖκες βάπτουσαι μὲν τὰς πολιὰς, μυρίζουσαι δὲ τὰς τρίχας πολιώτεραι θᾶττον φαίνονται διὰ τὰ ἀρώματα ξηραντικὰ ὄντα, διὸ καὶ αὐχμηρότεροι γίνονται οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ. εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτε ἔνδεια θερμοῦ τῆς ξηρότητος τὴν οἰκείαν τῆς τριχὸς ἐκπινούσης τροφὴν τὴν ὑγρὰν καὶ πολιοὺς ἀποτελούσης, πῶς ἂν εἰκό-
P. 78 Sylb. τως ἔτι ἀγαπῷμεν τὰ μύρα, δι᾽ ἃ αἱ πολιαὶ, οἱ φεύγοντες πολιάς; καθάπερ δὲ οἱ κύνες ῥινηλατοῦντες ἐκ τῆς ὀδμῆς ἀνιχνεύουσι τὰ θηρία, οὕτως ἐκ τῆς περιέργου τῶν μύρων εὐωδίας θηρῶσιν οἱ σώ- P. 211 Pott.
φρονες τοὺς ἀσελγεῖς.

§. 70. Τοιαύτη δὲ καὶ τῶν στεφάνων ἡ χρῆσις κωμαστικὴ καὶ πάροινος ἄπερρε. μή μοι στέφανον ἀμφιθῇς κάρα. ἦρος μὲν γὰρ ὥρᾳ λειμῶσιν ἐνδρόσοις καὶ μαλακοῖς ποικίλοις χλοάζουσιν ἄνθεσιν ἐνδιαιτᾶσθαι καλὸν αὐτοφυεῖ καὶ εἰλικρινεῖ τινὶ εὐωδίᾳ καθάπερ τὰς μελίττας τρεφομένους· τὸ δὲ πλεκτὸν στέφανον ἐξ ἀκηράτου λειμῶνος κοσμήσαντας οἴκοι περιφέρειν οὐ σωφρόνων· οὐ γὰρ ἁρμόδιον ῥόδων κάλυξιν ἢ ἴοις ἢ κρίνοις ἢ ἄλλοις τισὶ τοιούτοις ἄνθεσι χαίτην πυκάζεσθαι κωμαστικὴν διανθιζομένους τὴν χλόην. ἐμψύχει γὰρ χαίτην ἄλλως ὁ στέφανος περικείμενος καὶ δι᾽ ὑγρότητά τε καὶ δια ψυχρότητα. ταύτῃ καὶ οἱ ἰατροὶ ψυχρὸν εἶναι φυσιολογοῦντες τὸν ἐγκέφαλον μύρῳ χρίεσθαι ἀξιοῦσι τὰ στήθη καὶ μυκτῆρας ἄκρους, ὡς δυνηθῆναι τὴν πυρώδη ἀναθυμίασιν ἡσυχῇ διοδεύουσαν εὐρώστως ἀναθάλπειν τὴν ψυχρότητα. πολλοῦ τοίνυν δεῖ τοῖς ἄνθεσιν ἐπιψύχειν αὐτόν. ναὶ μὴν καὶ τὸ τερπνὸν τῆς ἀνθήσεως οἱ καταστεφθέντες ἀπολλύουσιν. οὔτε γὰρ ἀπολαύ-

ουσι τῆς ὄψεως οἱ ἀναδούμενοι τὸν στέφανον ὑπὲρ τὰς ὄψεις οὐδὲ μὴν τῆς εὐωδίας οἱ ἀπελαύνοντες ὑπὲρ τὰς ἀναπνοὰς τὰ ἄνθη· ἀναδιδούσης γὰρ ἄνω καὶ ἀναθυμιωμένης κατὰ φύσιν τῆς εὐωδίας ὑπὲρ τὴν κεφαλὴν ἔρημος τῆς ἀπολαύσεως ἡ ἀναπνοὴ καταλείπεται, ἀφαρπαζομένης τῆς εὐωδίας. ὥσπερ οὖν τὸ κάλλος, οὕτω καὶ τὸ ἄνθος τέρπει βλεπόμενον, καὶ χρὴ δι' ὄψεως ἀπολαύοντας τῶν καλῶν δοξάζειν τὸν δημιουργόν. ἡ χρῆσις δὲ αὐτῶν ἐπιβλαβὴς καὶ θᾶττον παρέρχεται μετανοίᾳ τιμωρουμένη. αὐτίκα δὴ μάλα καὶ διελέγχεται τὸ ἐφήμερον αὐτῶν· ἄμφω γὰρ μαραίνεσθον καὶ τὸ ἄνθος καὶ τὸ κάλλος.

§. 71. Ἀλλὰ καὶ τοὺς θιγγάνοντας αὐτοῖν τὸ μὲν ἐνέψυξεν, τὸ δὲ ἐξέκαυσεν. ἑνὶ δὲ λόγῳ ἡ παρὰ τὴν ὄψιν ἀπόλαυσις αὐτοῖν ὕβρις ἐστὶν, οὐ τρυφή· τρυφᾶν δὲ ἡμῖν, ὡς ἐν παραδείσῳ*), προσῆκεν σωφρόνως τῷ ὄντι παρεπομένους τῇ γραφῇ. στέφανον **P. 212 Pott.** μὲν γυναικὸς τὸν ἄνδρα ὑποληπτέον, ἀνδρὸς δὲ τὸν γάμον, ἄνθη δὲ τοῦ γάμου τὰ τέκνα ἀμφοῖν, ἃ δὴ τῶν σαρκικῶν λειμώνων ὁ θεῖος δρέπεται γεωργός. „στέφανος δὲ γερόντων τέκνα τέκνων, δόξα δὲ παισὶν οἱ πατέρες" **), φησὶν, ἡμῖν δὲ ὁ πατὴρ τῶν ὅλων καὶ τῆς συμπάσης ἐκκλησίας στέφανος ὁ Χριστός. καθάπερ δὲ αἱ ῥίζαι καὶ αἱ βοτάναι, οὕτω δὲ καὶ τὰ ἄνθη ἰδίας ἔχει ποιότητας καὶ τὰς μὲν ἐπωφελεῖς, τὰς δὲ ἐπιβλαβεῖς, ἔστι δὲ ἃς καὶ ἐπισφαλεῖς. ὁ γοῦν κιττὸς ἐμψύχει, ἡ δὲ καρύα πνεῦμα ἀφίησι καρωτικὸν, ὡς ἐμφαίνει καὶ τοὔνομα ἐτυμολογούμενον. νάρκισσος δὲ βαρύοδμόν ἐστιν ἄνθος, ἐλέγχει δὲ αὐτὸ ἡ προσηγορία ναρκᾶν ἐμποιοῦν τοῖς νεύροις, αἱ δὲ τῶν ῥόδων καὶ τῶν ἴων ἀποφοραὶ ἡσυχῇ οὖσαι ψυχραὶ συστέλλουσι καὶ ἐπιστύφουσι τὰς καρηβαρίας, ἡμῖν δὲ οὐχ ὁπωστιοῦν συμμεθύειν, ἀλλ' οὐδὲ οἰνοῦσθαι ἐπιτέτραπται. καὶ μὴν

---

*) Cf. Genes. 2, 15. **) Prouerb. 15, 6.

ὁ κρόκος καὶ τῆς κύπρου τὸ ἄνθος εἰς ὕπνον ἄλυπον ὑπάγετον. πολλὰ δὲ αὐτῶν φύσει ψυχρὸν ὄντα τὸν ἐγκέφαλον ἀναθάλπει ταῖς ἀποφοραῖς λεπτύνοντα τῆς κεφαλῆς τὰ περιττεύματα. ἐντεῦθεν καὶ τὸ ῥόδον ἐπωνομάσθαί φασιν, ὅτι πάμπολυ τῆς ὀδμῆς ἀφίησι ῥεῦμα, διὸ καὶ θᾶττον μαραίνεται.

§. 72. Ἀλλ' οὐδὲ παρὰ τοῖς ἀρχαίοις τῶν Ἑλλήνων ἡ χρῆσίς πω τῶν στεφάνων ἦν. οὔτε γὰρ οἱ μνήστορες οὔθ' οἱ ἁβροδίαιτοι κέχρηνται Φαίακες αὐτοῖς. ἐν δὲ τοῖς ἀγῶσι πρῶτον ἡ τῶν ἀθλη- P. 213 Pott. τῶν δόσις ἦν, δεύτερον δὲ ὁ ἐπαγερμὸς, τρίτον ἡ φυλλοβολία, τελευταῖον ὁ στέφανος, ἐπίδοσιν λαβούσης εἰς τρυφὴν τῆς Ἑλλάδος μετὰ τὰ Μηδικά. εἴργονται τοίνυν στεφάνων οἱ τῷ λόγῳ παιδαγωγούμενοι, οὐκ ἐπικαταδεῖν δοκοῦσιν τὸν λόγον ἐν ἐγκεφάλῳ τοῦτον ἱδρυμένον, οὐδ' ὅτι κωμαστικῆς ἀγερωχίας σύμβολον ὁ στέφανος εἴη, ἀλλὰ γὰρ ὅτι τοῖς εἰδώλοις κατωνόμασται. ὁ γοῦν Σοφοκλῆς τὸν νάρκισσον ἀρχαῖον μεγάλων θεῶν στεφάνωμα προσεῖπε τῶν χθονίων λέγων, ῥόδῳ δὲ τὰς Μούσας Σαπφὼ καταστέφει· οὐ γὰρ μετέχεις ῥόδων τῶν ἐκ Πιερίας· κρίνῳ δὲ ἥδεσθαι τὴν Ἥραν φασὶ καὶ τὴν Ἄρτεμιν μυρρίνῃ. εἰ γὰρ καὶ τὰ μάλιστα μὲν δι' ἄνθρωπον γέγονε τὰ ἄνθη, ταῦτα δὲ οἱ ἀνόητοι λαβόντες οὐκ εἰς τὴν ἰδίαν εὐχάριστον χρῆσιν, ἀλλ' εἰς τὴν τῶν δαιμονίων ἀχάριστον ὑπηρεσίαν κατεχρήσαντο· ἀφεκτέον αὐτῶν διὰ τὴν συνείδησιν*).

§. 73. Ἀοχλήτου δὲ ἀμεριμνίας ὁ στέφανος σύμβολον, ταύτῃ καὶ τοὺς νεκροὺς καταστεφανοῦσιν, ᾗ λόγῳ καὶ τὰ εἴδωλα, ἔργῳ προσμαρτυροῦντες αὐτοῖς τὸ εἶναι νεκροῖς. οἱ μὲν γὰρ βακχεύοντες οὐδὲ ἄνευ στεφάνων ὀργιάζουσιν, ἐπὰν δὲ ἀμφιθῶνται τὰ ἄνθη, πρὸς τὴν τελευτὴν ὑπερκάονται. οὐ δὴ κοινωνη- P. 214 Pott. τέον οὐθ' ὁπωστιοῦν δαίμοσιν, ἀλλ' οὐδὲ τὴν εἰ-

*) Cf. 1 Cor. 10, 28.

κόνα τοῦ θεοῦ τὴν ζῶσαν δίκην εἰδώλων τῶν νεκρῶν καταστεπτέον. ὁ γὰρ καλὸς τοῦ ἀμαράντου στέφανος ἀπόκειται τῷ καλῶς πεπολιτευμένῳ. τὸ ἄνθος τοῦτο γῆ βαστάζειν οὐ κεχώρηκεν· μόνον δὲ αὐτὸ καρποφορεῖν ἐπίσταται οὐρανός, πρὸς δὲ καὶ ἀλόγιστον ἀκηκοότας ἡμᾶς τὸν κύριον „ἀκάνθαις"*) ἐστεφανωμένον αὐτοὺς ἐντρυφῶντας τῷ σεμνῷ τοῦ κυρίου πάθει ἀναδεῖσθαι τοῖς ἄνθεσιν. ὁ μὲν γὰρ τοῦ κυρίου στέφανος ἡμᾶς ᾐνίττετο προφητικῶς τούς ποτε ἀκάρπους τοὺς περικειμένους αὐτῷ διὰ τῆς ἐκκλησίας, P. 79 Sylb. ἧς ἐστιν κεφαλή· ἀλλὰ καὶ τῆς πίστεώς ἐστι τύπος, ζωῆς μὲν διὰ τὴν οὐσίαν τοῦ ξύλου, εὐφροσύνης δὲ διὰ τὴν προσηγορίαν τοῦ στεφάνου, κινδύνου δὲ διὰ τὴν ἄκανθαν· οὐδὲ γὰρ ἀναιμωτὶ προσιέναι τῷ λόγῳ ἔξεστιν, ὁ δὲ πλεκτὸς μαραίνεται στέφανος αὖτος καὶ τὸ πλέγμα τῆς σκολιότητος ἀναλύεται καὶ τὸ ἄνθος ξηραίνεται· μαραίνεται γὰρ ἡ δόξα τῶν τῷ κυρίῳ μὴ πεπιστευκότων. Ἰησοῦν δὲ ἐστεφάνωσαν ὑψωμένον τῆς αὐτῶν καταμαρτυροῦντες ἀμαθίας, τοῦτ' αὐτὸ γὰρ οἱ σκληροκάρδιοι προφητείαν οὖσαν σεσοφισμένην οὐ νοοῦσιν, ἣν αὐτοὶ ὕβριν καλοῦσιν κυρίου. „οὐκ ἔγνω τὸν κύριον ὁ λαὸς"**) ὁ πεπλανημένος, οὐ περιτέτμηται τὸν λογισμόν, οὐ πεφώτισται τὸν σκοτισμόν, οὐκ εἶδεν τὸν θεόν, τὸν κύριον ἠρνήσατο, ἀπολώλεκεν τὸ εἶναι Ἰσραήλ, ἐδίωξεν τὸν θεόν, καθυβρίζειν ἤλπισε τὸν λόγον, καὶ ὃν ἐσταύρωσεν ὡς κακοῦργον ἀνέστεψεν ὡς βασιλέα.

§. 74. Διὰ τοῦτό τοι εἰς ὃν οὐκ ἐπίστευσαν ἄνθρωπον, τὸν φιλάνθρωπον θεὸν ἐπιγνώσονται κύριον καὶ δίκαιον, ὃν αὐτοὶ παρεπίκραναν***) ἐπιδείξασθαι τὸν κύριον, τούτῳ αὐτῷ ὑψουμένῳ μεμαρτυρήκασι τὸ διάδημα τῆς δικαιοσύνης τὸ ὑπὲρ πᾶν ὄνομα†) ἐπηρμένῳ περιάψαντες διὰ τῆς ἀειθαλοῦς

---

*) Matth. 27, 29. Ioann. 19, 2. **) Ies. 1, 3. ***) Cf. Matth. 27, 42. †) Cf. Philipp. 2, 9.

ἀκάνθης· τὸ διάδημα τοῦτο τοῖς ἐπιβουλεύουσι πολέμιον ἐκώλυσεν αὐτούς, τοῖς συνεκκλησιάζουσιν φίλον ἐθρίγκωσεν αὐτούς, ὁ στέφανος οὗτος ἄνθος ἐστὶ τῶν πεπιστευκότων εἰς τὸν δεδοξασμένον, αἱμάσσει δὲ καὶ κολάζει τοὺς ἠπιστηκότας. καὶ μὴν καὶ P. 215 Pott. σύμβολόν ἐστι δεσποτικοῦ κατορθώματος βαστάσαντος αὐτοῦ τῇ κεφαλῇ καὶ τῷ ἡγεμονικῷ τοῦ σώματος πάντα ἡμῶν τὰ πονηρά, δι᾽ ὧν ἐκεντούμεθα· αὐτὸς γὰρ τῷ ἰδίῳ πάθει ῥυσάμενος ἡμᾶς ἀπὸ σκανδάλων καὶ ἁμαρτιῶν καὶ τῶν τοιούτων ἀκανθῶν καὶ τὸν διάβολον καταργήσας εἰκότως ἐπευχόμενος εἴρηκεν· „ποῦ σοῦ, θάνατε, τὸ κέντρον"*); καὶ ἡμεῖς μὲν ἐξ ἀκανθῶν τρυγῶμεν σταφυλὴν καὶ σῦκα ἀπὸ βάτων**), οἱ δὲ εἰς τραύματα καταξαίνονται, ἐφ᾽ οὓς ἐξεπέτασε τὰς χεῖρας ἐπὶ λαὸν ἀπειθῆ καὶ ἄκαρπον***).

§. 75. Ἔχοιμ᾽ ἂν σοι καὶ ἄλλο μυστικὸν ἐνταῦθα εἰπεῖν· ἐπεὶ γὰρ ὁ παγκρατὴς κύριος τῶν ὅλων ὁπηνίκα νομοθετεῖν ἤρχετο τῷ λόγῳ καὶ τῷ Μωϋσεῖ καταφανῆ ἐβούλετο γενέσθαι τὴν αὐτοῦ δύναμιν, ὄψις αὐτῷ δείκνυται θεοειδὴς φωτὸς μεμορφωμένου ἐπὶ φλεγομένῃ βάτῳ — τὸ δὲ ἀκανθῶδες φυτόν ἐστιν, ὁ βάτος —, ἐπειδὴ ἐπαύσατο τῆς νομοθεσίας καὶ τῆς εἰς ἀνθρώπους ἐπιδημίας ὁ λόγος, ὁ κύριος μυστικῶς αὖθις ἀναστέφεται ἀκάνθῃ, ἐνθένδε ἀπιὼν ἐκεῖσε, ὅθεν κατῆλθεν, ἀνακεφαλαιούμενος τὴν ἀρχὴν τῆς καθόδου τῆς παλαιᾶς· ὅπως ὁ διὰ βάτου τὸ πρῶτον ὀφθεὶς ὁ λόγος διὰ τῆς ἀκάνθης ὕστερον ἀναληφθεὶς μιᾶς ἔργον τὰ πάντα δείξῃ δυνάμεως, εἷς ὢν ἑνὸς ὄντος τοῦ πατρὸς, ἀρχὴ καὶ τέλος αἰῶνος.

§. 76. Ἀλλ᾽ ἐξέβην γὰρ τοῦ παιδαγωγικοῦ τύπου τὸ διδασκαλικὸν εἶδος παρεισάγων, αὖθις οὖν

---

*) 1 Cor. 15, 55. **) Cf. Luc. 4, 44. ***) Cf. Rom. 10, 21.

ἐπὶ τὸ προκείμενον ἐπάνειμι. ὡς μὲν οὖν ἐν φαρμάκου μοίρᾳ ἰάσεως ἕνεκα, ἔσθ᾽ ὅπῃ δὲ καὶ διαχύσεως σώφρονος, οὐκ ἀποβλητέον τὴν ἀπὸ τῶν ἀνθῶν τέρψιν καὶ τὴν ἀπὸ τῶν μύρων τε καὶ θυμιαμάτων ὠφέλειαν δεδηλώκαμεν, εἰ δὲ καὶ λέγοιέν τινες, τίς οὖν ἔτι χάρις ἀνθῶν τοῖς μὴ χρωμένοις αὐτοῖς; ἴστων ὡς ἄρα καὶ τὰ μύρα ἐξ αὐτῶν σκευάζεται καὶ ἔστι πολυωφελῆ, σούσινον μὲν ἐκ κρίνων καὶ λιρίων, ἔστι δὲ θερμαντικὸν, ἀναστομωτικὸν, ἑλκυστικὸν, ὑγραντικὸν, σμηκτικὸν, λεπτομερὲς, χολῆς κινητικὸν, μαλακτικόν· ναρκίσσινον δὲ τὸ ἐκ ναρκίσσου ἐπ᾽ **P. 216 Pott.** ἴσης ὀνίνησι τῷ σουσίνῳ· μύρσινον δὲ τὸ ἐκ μύρτων καὶ μυρρίνης στυπτικὸν, παρακατέχον τὰς ἀπὸ τοῦ σώματος ἀποφοράς· τὸ δὲ ἐκ ῥόδων ἐμψυκτικόν. καθόλου δὲ καὶ ταῦτα εἰς τὴν ἡμετέραν εὐχρηστίαν δεδημιούργηται. „εἰσακούσατέ μου”, φησὶ, „καὶ ὡς ῥόδον πεφυτευμένον ἐπὶ ῥευμάτων ὑδάτων βλαστήσατε, ὡς λίβανος εὐωδιάσατε ὀσμὴν καὶ εὐλογήσατε κύριον ἐπὶ τὰ ἔργα αὐτοῦ” *). καὶ πολὺς ἂν εἴη ὁ περὶ τούτων λόγος εἰς τὰς ἀναγκαίας ὠφελείας λεγόντων ἡμῶν τὰ ἄνθη καὶ τὰ ἀρώματα, οὐκ εἰς τὰς ὕβρεις τῆς τρυφῆς γεγονέναι. εἰ δὲ καὶ ἄρα τι συγχωρητέον, ἀπόχρη τῆς ὀδμῆς ἀπολαύειν αὐτοῖς τῶν ἀνθῶν, μὴ καταστεφέτωσαν δέ· πολυωρεῖ γὰρ τὸν ἄνθρωπον ὁ πατὴρ καὶ τὴν ἰδίαν αὐτοῦ τέχνην τούτῳ παρέχει μόνῳ. λέγει γοῦν ἡ γραφή· „ὕδωρ καὶ πῦρ καὶ σίδηρος καὶ γάλα, σεμίδαλις πυροῦ καὶ μέλι, αἷμα σταφυλῆς καὶ ἔλαιον καὶ ἱμάτιον, ταῦτα πάντα τοῖς εὐσεβέσιν εἰς ἀγαθά” **).

Cap. IX.

Πῶς τῷ ὕπνῳ προσενεκτέον.

§. 77. Ὅπως δὲ ἐντεῦθεν ἐπὶ τὸν ὕπνον ἴωμεν τῶν σωφροσύνης μεμνημένοι παραγγελμάτων, τοῦτο

*) Eccles. 49, 13 sq. **) Ibid. v. 26 sq.

ἤδη λεκτέον. μετὰ γὰρ τὴν εὐωχίαν εὐλογήσαντες τὸν θεὸν ἐπὶ τῇ μεταδόσει τῶν ἀπολαύσεων καὶ τῇ διεκδρομῇ τῆς ἡμέρας ἐπὶ τὸν ὕπνον παρακλητέον τὸν λόγον τὴν πολυτέλειαν τῶν ὑποστρωννυμένων τὰς χρυσοπάστους τάπιδας καὶ χρυσοποικίλτους ψιλόδαπιδας, ξυστίδας τε ἁλουργὰς καὶ τοὺς γαυνάκας τοὺς πολυτιμήτους, τά τε ποιητικὰ ῥήγεα, τὰ πορφυρᾶ, χλαίνας θ' ἐφ' ὕπερθεν οὔλας*) καὶ τὰς ὕπνου μαλακωτέρας P. 80 Sylb. εὐνὰς παραπεμπομένους. πρὸς γὰρ τῷ ἐπιψόγῳ τῆς ἡδυπαθείας ἐπιβλαβὴς ἡ ἐν τοῖς χνοώδεσι τῶν πτίλων ἐγκοίμησις, καθάπερ εἰς ἀχανὲς ἐπιπιπτόντων τῶν σωμάτων, διὰ τὴν μαλακίαν τῶν στρωμάτων. οὐδὲ γὰρ συνέχει ἐπιστρεφομένοις τοῖς εὐναζομένοις ἐν αὐτοῖς διὰ τὴν παρ' ἑκάτερα τοῦ σώματος ὀχθώδη τῆς εὐνῆς ἐπανάστασιν, οὐδὲ P. 217 Pott. ἐπιτρέπει πέττεσθαι σιτία, εἰ μὴ καὶ συγκαίειν μᾶλλον, ὃ δὴ διαφθείρειν τὴν τροφήν. αἱ δὲ ἐπικλίσεις ταῖς ὁμαλαῖς εὐναῖς οἷον ὕπνου γυμνάσιον ὑπάρχουσαι φυσικὸν συνεργοῦσι πρὸς τὴν κατάταξιν τῆς τροφῆς, οἱ δὲ ἐπικυλίεσθαι δυνάμενοι ἄλλαις εὐναῖς, οἷον ὕπνου γυμνάσιον τοῦτο ἔχοντες φυσικὸν ῥᾷον κατατάττουσι τὰς τροφὰς καὶ σφᾶς ἐπιτηδειοτέρους πρὸς τὰς περιστάσεις παρασκευάζουσιν. ἔτι γε μὴν οἱ ἀργυρόποδες σκίμποδες πολλῆς ἀλαζονείας εἰσὶ κατήγοροι, καὶ ὁ ἐν τοῖς κλινιδίοις ἐλέφας ἀπολελοιπότος ψυχὴν σώματος οὐκ εὐαγὲς ἁγίοις ἀνθρώποις ἀναπαύσεως τέχνασμα βλακικόν.

§. 78. Οὐ σπουδαστέον ἄρα περὶ αὐτά. οὐ γὰρ ἀπείρηται τοῖς κεκτημένοις ἡ χρῆσις, ἀλλ' ἡ περὶ αὐτὰ ἐπιτήδευσις κεκώλυται· οὐ γὰρ ἐν τούτοις τὸ εὔδαιμον. πάλιν τε αὖ κενοδοξίας ἐστὶ Κυνικῆς καθάπερ τὸν Διομήδη ἐπιτηδεύειν εὕδειν,

ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο**),

---

*) Cf. Hom. Iliad. ω. 645. Od. δ. 298 sq. η. 337 sq.
**) Hom. Il. κ. 155.

πλὴν εἰ μὴ ἄρα ἡ περίστασις ἀναγκάζοι. ὁ δὲ Ὀδυσσεὺς τῆς νυμφιδίου κλίνης τὸ σκάζον λίθῳ ἐπανωρθοῦτο. τοσαύτη τις εὐτέλεια καὶ αὐτουργία οὐ παρὰ τοῖς ἰδιώταις μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἡγουμένοις τῶν παλαιῶν Ἑλλήνων ἠσκεῖτο. καὶ τί μοι τούτων λόγος; ὁ Ἰακὼβ ἐκάθευδεν χαμαὶ καὶ λίθος αὐτῷ προσκεφάλαιον ἦν. τότε καὶ τὴν ὄψιν τὴν ὑπὲρ ἄνθρωπον ἰδεῖν κατηξίωται· ἡμῖν δὲ χρηστέον ἀκολούθως τῷ λόγῳ ἀφελεῖ τῇ εὐνῇ καὶ λιτῇ σύμμετρον ἐχούσῃ τὸ παρηγοροῦν, εἰ θέρος εἴη, τὸ σκέπον, εἰ κρύος εἴη, τὸ θάλπον. ἡ κλίνη δὲ ἀπερίεργος ἔστω καὶ λείους ἐχέτω τοὺς πόδας· αἱ γὰρ περίεργοι τορνεύσεις τῶν ἑρπυστικῶν ἔσθ' ὅτε γίγνονται τρίβοι ζώων περὶ τὰς ἐντομὰς τῆς τέχνης ἐφελισσομένων αὐτῶν καὶ μὴ ἀπολισθανόντων. μάλιστα δὲ τῆς κοίτης τὸ μαλθακὸν συμμέτρως ἀρρενιστέον· οὐ γὰρ ἔκλυσιν χρὴ τοῦ σώματος εἶναι παντελῆ τὸν ὕπνον, ἀλλὰ ἄνεσιν. διὸ καὶ παραλαμβάνεσθαί φημι δεῖν αὐτὸν οὐκ ἐπὶ ῥαθυμίᾳ, ἀλλ' ἐπὶ τῇ τῶν πράξεων P. 218 Pott. ἀναπαύλῃ.

§. 79. Ἐπεγερτικῶς οὖν ἀπονυστακτέον. „ἔστωσαν γάρ", φησὶν, „ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, ὅτε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος ἀνοίξωσιν εὐθέως αὐτῷ· μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος ἐγρηγορότας εὕρῃ" *). οὐδὲν γὰρ ἀνδρὸς ὄφελος καθεύδοντος ὥσπερ οὐδὲ τεθνεῶτος. διὸ πολλάκις καὶ τῆς νυκτὸς ἀνεγερτέον τῆς κοίτης καὶ τὸν θεὸν εὐλογητέον· μακάριοι γὰρ οἱ ἐγρηγορότες εἰς αὐτὸν σφᾶς αὐτοὺς ἀπεικάζοντες ἀγγέλοις, οὓς ἐγρηγόρους καλοῦμεν. καθεύδων δὲ ἄνθρωπος οὐδεὶς οὐδενὸς ἄξιος οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος· ὁ δὲ τὸ φῶς ἔχων ἐγρήγορε καὶ ἡ σκοτία αὐτὸν οὐ καταλαμ-

*) Luc. 12, 35 — 37.

βάνει*), οὐδὲ μὴν ὕπνος, ἐπεὶ μὴ σκότος. ἐγρήγορεν ἄρα πρὸς τὸν θεὸν ὁ πεφωτισμένος, ὁ δὲ τοιοῦτος ζῇ· „ὃ γὰρ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν"**). „μακάριος ἄνθρωπος", φησὶν ἡ σοφία, „ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις, καθ' ἡμέραν τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων"***).

§. 80. „Ἄρ' οὖν μὴ καθεύδωμεν ὡς οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν", φησὶν ἡ γραφή, „καὶ νήφωμεν. οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσιν καὶ οἱ μεθύοντες νυκτὸς μεθύσκονται", τουτέστιν ἐν τῷ τῆς ἀγνοίας σκότῳ, „ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν. πάντες" γὰρ „ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας, οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους"†), ἀλλ' ὅς ἐστιν ἡμῖν τοῦ ζῆν τοῦ ἀληθινοῦ καὶ τοῦ φρονεῖν γνησίως μάλιστα κηδεμὼν ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ μὲν πρὸς ὑγείαν αὐτοῦ μόνον φυλάττων ἐνταῦθα χρήσιμον, ἔστι δὲ οὐ πολὺ καλῶς εἰς ἔθος ἰόν. μελέτη δὲ ἀσκήσεως ἀΐδιον ἐγρήγορσιν ἐκ πόνων γεννᾷ. μὴ οὖν ἡμᾶς βαρείτων αἱ τροφαί, ἐπικουφιζόντων δέ, ἵν' ὅτι μάλιστα μὴ βλαπτώμεθα τῷ ὕπνῳ, καθάπερ τῶν νηχομένων οἱ ἐξηρτημένοι τὰ βάρη· ἔμπαλιν δὲ οἷον ἐξ ἀβύσσου κάτωθεν τὸ νηφάλιον ἡμᾶς ἀνακουφίσει εἰς τὰς ἐπιβολὰς τῆς ἐγρηγόρσεως. ἔοικεν γὰρ ἡ τοῦ ὕπνου καταφορὰ θανάτῳ, δι' ἄνοιαν εἰς ἀναισθησίαν ὑποφερομένη, τῶν βλεφάρων τῇ ἐπιμύσει τὸ φῶς ἀποτεμνομένη. τὸ οὖν φῶς τοῦτο οἱ τοῦ φωτὸς τοῦ ἀληθινοῦ υἱοὶ μὴ ἀποκλείσωμεν θύραζε, **P. 219 Pott.** ἔνδον δὲ εἰς ἡμᾶς ἀποστρέψαντες τοῦ κεκρυμμένου τὰς ὄψεις ἀνθρώπου φωτίσαντες τήν τε ἀλήθειαν αὐτὴν ἐποπτεύσαντες καὶ τῶν ταύτης ῥευμάτων μεταλαμβάνοντες τοὺς ἀληθεῖς τῶν ὀνείρων ἐναργῶς καὶ φρονίμως ἀποκαλυπτώμεθα.

---

*) Cf. Ioann. 1, 5. **) Ibid. 1, 2 sq. ***) Prouerb. 8, 32 sq. †) 1 Thessal. 5, 5—8.

§. 81. Ἐρυγαὶ δὲ οἰνοβαρούντων καὶ τῶν ἀποσεσαγμένων ταῖς τροφαῖς οἱ ῥωχμοὶ καὶ τὸ ῥέγχειν τοῖς στρώμασιν ἐνειλημμένον γαστέρων τε στενοχωρουμένων κορκορυγμοὶ τὸ διορατικὸν τῆς ψυχῆς κατέχωσαν ὄμμα φαντασιῶν μυρίων τῆς διανοίας ἐμπιπλαμένης. αἰτία δὲ ἡ περιττὴ τροφὴ τὸ λογιστικὸν εἰς ἀναισθησίαν καθέλκουσα· ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν ὠφέλειαν ἐπιφέρων οὐδ' αὖ ταῖς περὶ τὴν ἀλήθειαν πράξεσι πάντα ἁρμόττων ἐστὶν, εἰ καὶ κατὰ φύσιν ἐστίν.
P. 81 Λὼτ δὲ ὁ δίκαιος — παραπέμπομαι γὰρ νῦν
Sylb. τῆς παλιγγενεσίου οἰκονομίας τὴν ἐξήγησιν — οὐκ ἂν ἐπὶ τὴν ἄθεσμον ἐκείνην προήχθη μῖξιν, μὴ οὐχὶ καταμεθυσθεὶς πρὸς τῶν θυγατέρων καὶ ὕπνῳ καρωθείς. ἢν οὖν τὰ αἴτια τῆς πολλῆς εἰς ὕπνον περικόπτωμεν καταφορᾶς, νηφαλιώτερον κοιμηθησόμεθα· οὐ γὰρ χρὴ παννύχιον εὕδειν *) τοὺς ἔνοικον ἔχοντας τὸν λόγον τὸν ἐγρήγορον, ἐπεγερτέον δὲ νύκτωρ, μάλιστα ὁπότε αἱ ἡμέραι φθίνουσιν· καὶ τῷ μὲν φιλολογητέον, τῷ δὲ τῆς αὐτοῦ τέχνης ἀπαρκτέον, γυναιξὶ δὲ ταλασίας ἐφαπτέον, πᾶσι δὲ ὡς ἔπος εἰπεῖν διαμαχητέον ἡμῖν πρὸς τὸν ὕπνον ἠρέμα ἐκ προσαγωγῆς ἐθίζουσιν, ὡς πλείονα χρόνον τοῦ ζῆν διὰ τὴν ἐγρήγορσιν μεταλαμβάνειν· ὁ γὰρ ὕπνος ὥσπερ τελώνης τὸν ἥμισυν ἡμῖν τοῦ βίου συνδιαιρεῖται χρόνον. πολλοῦ γε δεῖν μεθ' ἡμέραν ἐπιτρέπειν καθεύδειν τοῖς καὶ τῆς νυκτὸς τὸ πλεῖστον εἰς ἐγρήγορσιν ἀποτεμνομένοις. ἄλυες δὲ καὶ νυσταγμοὶ καὶ διεκτάσεις καὶ χάσμαι δυσαρεστίαι ψυχῆς εἰσὶν ἀβέβαιοι.

§. 82. Χρὴ δὲ καὶ τοῦτο ἐπὶ πᾶσιν εἰδέναι, ὡς οὐ ψυχῆς τὸ δεόμενον ὕπνου ἐστὶν — ἀεικίνητος γὰρ αὕτη —, ἀλλὰ τὸ σῶμα ἀναπαύλαις διαβασταζόμενον παρίεται, μὴ ἐνεργούσης ἔτι σωματικῶς τῆς ψυχῆς, ἀλλὰ καθ' αὐτὴν ἐννοουμένης, ᾗ καὶ τῶν ὀνεί-

*) Cf. Hom. Il. β. 24.

ρων οἱ ἀληθεῖς ὀρθῶς λογιζομένῳ νηφούσης τέ εἰσι ψυχῆς λογισμοὶ ἀπερισπάστου τὸ τηνικάδε οὔσης περὶ τὰς τοῦ σώματος συμπαθείας καὶ αὐτῆς αὐτῇ P. 220 Pott. τὰ κράτιστα συμβουλευούσης, ψυχῆς δὲ ὄλεθρος τὸ ἀτρεμῆσαι αὐτῇ· διόπερ ἀεὶ τὸν θεὸν ἐννοουμένη διὰ τῆς συνεχοῦς προσομιλήσεως ἐγκαταλέγουσα τῷ σώματι τὴν ἐγρήγορσιν ἀγγελικῇ τὸν ἄνθρωπον ἐξισάζει χάριτι, τῆς ζωῆς τὸ ἀΐδιον ἐκ τῆς τοῦ ἐγρηγορέναι μελέτης προσλαμβάνουσα.

Cap. X.

Τίνα διαληπτέον περὶ παιδοποιίας.

§. 83. *Συνουσίας δὲ τὸν καιρὸν μόνοις τοῖς γεγαμηκόσιν ἀπολέλειπται σκοπεῖν, τοῖς δὲ γεγαμηκόσι σκοπὸς ἡ παιδοποιία, τέλος δὲ ἡ εὐτεκνία, καθάπερ καὶ τῷ γεωργῷ τῆς τῶν σπερμάτων καταβολῆς αἰτία μὲν ἡ τῆς τροφῆς προμήθεια, τέλος δὲ αὐτῷ τῆς γεωργίας ἡ τῶν καρπῶν συγκομιδή. μακρῷ δὲ ἀμείνων γεωργὸς ὁ ἔμψυχον σπείρων ἄρουραν· ὁ μὲν γὰρ ἐπικαίρου τροφῆς ὀριγνώμενος, ὁ δὲ τῆς τοῦ παντὸς διαμονῆς προμηθούμενος γεωργεῖ, καὶ ὁ μὲν δι' ἑαυτόν, ὁ δὲ διὰ τὸν θεὸν φυτουργεῖ· „πληθύνεσθε" γὰρ εἴρηκεν, καὶ ὑπακουστέον, „καὶ κατὰ τοῦτο εἰκὼν ὁ ἄνθρωπος γίνεται τοῦ θεοῦ, καθὸ εἰς γένεσιν ἀνθρώπου ἄνθρωπος συνεργεῖ" *). οὐ πᾶσα γῆ οὖν εὔθετος εἰς σπερμάτων ὑποδοχήν, εἰ δὲ καὶ πᾶσα, ἀλλ' οὐχὶ τῷ αὐτῷ γεωργῷ, οὐδὲ μὴν πέτρα σπαρτέον οὐδὲ καθυβριστέον τὸ σπέρμα ἀρχηγὸν γενέσεως οὐσίαν συνεσπαρμένην ἔχουσαν τῆς φύσεως τοὺς λογισμούς, τοὺς δὲ κατὰ φύσιν λογισμοὺς ἀλόγως εἰς*

---

*) Genes. 1, 28.

τοὺς παρὰ φύσιν καταισχύνειν πόρους ἄθεον κομιδῆ. ὁρᾶτε γοῦν ὁ πάνσοφος Μωϋσῆς ὅπως ποτὲ συμβολικῶς τὴν ἄκαρπον ἀποκρούεται σπορὰν „οὐκ ἔδεσαι" λέγων „τὸν λαγὼν οὐδὲ τὴν ὕαιναν". οὐ βούλεται τῆς ποιότητος αὐτῶν μεταλαμβάνειν τὸν ἄνθρωπον οὐδὲ μὴν τῆς ἴσης ἀσελγείας ἀπογεύσασθαι· κατακόρως γάρτοι περὶ τὰς μίξεις τὰ ζῶα ταῦτα ἐπτόηνται· καὶ τὸν μὲν λαγὼν κατ' ἔτος πλεονε- P. 221 κτεῖν φασὶ τὴν ἀφόδευσιν, ἰσαρίθμους οἷς βεβίω- Pott. κεν ἔτεσιν ἴσχοντα τρύπας· ταύτῃ ἄρα καὶ τὴν κώλυσιν τῆς ἐδωδῆς τοῦ λαγὼ παιδεραστίας ἐμφαίνειν ἀποτροπὴν, τὴν δὲ ὕαιναν ἐναλλὰξ ἀμείβειν τὸ ἄρρεν εἰς τὸ θῆλυ παρ' ἔτος ἕκαστον, αἰνίττεσθαι δὲ μὴ χρῆν ἐπὶ μοιχίας ὁρμᾶν τὸν τῆς ὑαίνης ἀπεχόμενον.

§. 84. Ἀλλὰ τὸ μὲν μὴ δεῖν ἐξομοιοῦσθαι τοῖσδε τοῖς ζώοις διὰ τῆς προκειμένης ἀπαγορεύσεως ὁμολογουμένως τὸν πάνσοφον Μωϋσέα αἰνίττεσθαι σύμφημι κἀγώ· οὐ μέντοι τῇδε τῇ ἐξηγήσει τῶν συμβολικῶς εἰρημένων συγκατατίθεμαι. οὐ γὰρ ἄν ποτε βιασθείη φύσις εἰς μεταβολὴν, τὸ δὲ ἅπαξ πεπλασμένον εἰς αὐτὴν οὐ θέμις ἀντιπλασθῆναι πάθει· τὸ γὰρ πάθος οὐ φύσις, παραχαράττειν δὲ οὐ μετακοσμεῖν τὸ πάθος εἴωθε τὴν πλάσιν· εἰ γὰρ καὶ τῶν ὀρνέων πολλὰ μεταβάλλειν κατὰ τὰς ὥρας λέγεται καὶ τὸ χρῶμα καὶ τὴν φωνὴν, οἷον ὁ κόσσυφος ξανθὸς μὲν ἐκ μέλανος, παταγητικὸς δὲ ἐξ ᾠδικοῦ γενόμενος, ὡσαύτως δὲ καὶ ἡ ἀηδὼν καὶ τὸ χρῶμα καὶ τὴν ᾠδὴν συμμεταβάλλει ταῖς τροπαῖς· ἀλλ' οὔτι γε τὴν φύσιν αὐτὴν ἀμείβουσιν, ὡς καὶ θῆλυ γίγνεσθαι ἐκ τοῦ ἄρρενος κατὰ μετασχηματισμόν· ἀλλ' ἡ μὲν τῶν πτερῶν νεοφυΐα νεαρᾶς ἐσθῆτος δίκην ἐξανθεῖ βαφήν τινα πτερῶν, ὀλίγῳ δ' ὕστερον διαπνεῖ κατὰ τὴν χειμέριον ἀπειλὴν, καθάπερ ἄνθος μαραινομένης τῆς χρόας, ἡ φωνὴ δὲ καὶ αὐτὴ τὸν ὅμοιον τρόπον τῷ κρύει πεπονημένη μαραίνεται· πυκνουμένης γὰρ τῆς ἐπιφανείας ἐκ τοῦ περιέχοντος αἱ περὶ

τὸν αὐχένα πιεζόμεναί τε καὶ πυκνούμεναι ἀρτηρίαι προσαναθλίβουσι τὸ πνεῦμα, στενοχωρούμενον δὲ ἄγαν τοῦτο πνιγόμενον ἀποδίδωσι τὸν ἦχον.

§. 85. Αὖθις οὖν συνεξομοιούμενον τῷ περιέχοντι καὶ τῷ ἦρι συγχαλώμενον ἐλευθεροῦται μὲν τῆς στενοχωρίας τὸ πνεῦμα φερόμενον δι' εὐρυχώρων τῶν τέως μεμυκότων ἀρτηριῶν· οὐ μινυρίζει δὲ ἔτι
P. 82 τὸ μέλος τὸ μεμαραμμένον, ἀνθεῖ δὲ ἤδη λιγυ-
Sylb. ρὸν καὶ χεῖται πλατύτερον τὸ φθέγμα αὐτῶν, καὶ ἤδη γίνεται τῆς φωνῆς τῶν ὀρνέων ἔαρ, ἡ ᾠδή. οὔκουν οὐδὲ τὴν ὕαιναν μεταβάλλειν τὴν φύσιν πιστευτέον ποτέ· οὐδὲ γὰρ αἰδοῖα ἔχει τὸ αὐτὸ ζῷον ἅμα ἄμφω, ἄρρενος καὶ θήλεος, καθὼς ὑπειλήφασί τινες ἑρμαφροδίτους τερατολογοῦντες καὶ τρίτην ταύ- P. 222
την μεταξὺ θηλείας καὶ ἄρρενος ἀνδρόγυνον καινο- Pott.
τομοῦντες φύσιν. ἀπατῶνται δὲ εὖ μάλα τὸ φιλότεκνον τῆς παμμήτορος καὶ γενεσιουργοῦ φύσεως μὴ νοήσαντες, ἐπεὶ γάρ ἐστι τοῦτο λαγνίστατον τὸ ζῷον ἡ ὕαινα, ὑπὸ τὴν κέρκον πρὸ τοῦ πόρου τῆς περιττώσεως πέφυκεν αὐτῇ ἐξοχή τις σαρκικὴ παραπλησία τῷ σχήματι αἰδοίῳ θηλυκῷ, πόρον δὲ οὐδένα ἔχει τοῦτο τῆς σαρκὸς τὸ σχῆμα εἴς τι χρειῶδες ἀπολῆγον ἢ εἰς μήτραν ἢ εἰς ἀπευθυσμένον λέγω· μόνην δὲ ἄρα κοιλότητα ἔχει πολλὴν, ἣ τὴν λαγνείαν ὑποδέχεται τὴν κενὴν, ὅταν ἀποστραφῶσι περὶ τὴν ἀποκύησιν ἀσχολούμενοι τῆς ἀποτέξεως οἱ πόροι.

§. 86. Τὸ δὲ αὐτὸ τοῦτο ἄρρενί τε καὶ θηλείᾳ προσπέφυκεν ὑαίνῃ διὰ τὸν ὑπερβάλλοντα πασχητιασμόν· ἀλληλίζει γὰρ καὶ ὁ ἄρρην, ὅθεν καὶ σπανιαίτατα θήλειαν ἐστὶν ὕαιναν λαβεῖν· οὐ γὰρ συνεχεῖς αἱ κυήσεις τῷ ζώῳ γίγνονται τούτῳ πλεοναζούσης ἐν αὐτοῖς ἀδεῶς τῆς παρὰ φύσιν σπορᾶς. ταύτῃ μοὶ δοκεῖ καὶ ὁ Πλάτων ἐν Φαίδρῳ τὴν παιδεραστίαν ἀποκρουόμενος θηρίον αὐτὴν προσειπεῖν, ὅτι τὸν χαλινὸν ἐνδακόντες οἱ ταῖς ἡδοναῖς ἔκδοτοι λάγνοι τετραπόδων νόμῳ βαίνουσιν καὶ παιδοσπορεῖν ἐπιχει-

ῥοῦσιν· τοὺς δὲ ἀθέους „παρέδωκεν ὁ θεὸς", ὥς φησιν ὁ ἀπόστολος, „εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν, ὁμοίως δὲ καὶ οἱ ἄρρενες αὐτῶν ἀφέντες τὴν φυσικὴν χρῆσιν ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες"*).

§. 87. *Καίτοι* οὐδὲ τοῖς λαγνιστάτοις τῶν ζώων συγκεχώρηκεν ἡ φύσις τὸν τῆς περιττώσεως πόρον ἐπιθοροῦν· τὸ μὲν γὰρ οὖρον εἰς κύστιν ἀποκρίνεται, ἡ δὲ ἐξυγρασμένη τροφὴ εἰς κοιλίαν, τὸ δάκρυον δὲ εἰς ὄμμα, αἷμα εἰς φλέβας, ῥύπος εἰς ὦτα, μύξαι ἐπὶ τὰς ῥῖνας καταφέρονται· συνεχὴς δὲ ἄρα ἡ ἕδρα τῷ πέρατι τοῦ ἀπευθυσμένου, δι' ἧς ἀποπτύεται τὰ περιττώματα. μόνῃ δὲ ἄρα ἐπὶ τῶν ὑαινῶν ἡ ποικίλη φύσις ταῖς ὀχείαις ταῖς περιτταῖς μόριόν τι τοῦτο ἐπινενόηκε περιττόν. διὸ καὶ μέχρι τινὸς κοῖλόν ἐστιν εἰς διακονίαν κνηστιώντων μορίων, ἀποτυφλοῦται δὲ ἐντεῦθεν ἡ κοιλότης, οὐ γὰρ εἰς γένεσιν δεδημιούργηται. **P. 223 Pott.** ἐντεῦθεν συμφανὲς ἡμῖν ὁμολογουμένως παραιτεῖσθαι δεῖν τὰς ἀρρενομιξίας καὶ τὰς ἀκάρπους σπορὰς καὶ τὰς κατόπιν εὐνὰς καὶ τὰς ἀσυμφυεῖς ἀνδρογύνους κοινωνίας, ἑπομένους τῇ φύσει αὐτῇ ἀπαγορευούσῃ διὰ τῆς τῶν μορίων κατασκευῆς, οὐκ εἰς παραδοχὴν σπέρματος, εἰς δὲ τὴν πρόεσιν αὐτοῦ τὸ ἄρρεν ἀνδρωσάσῃ. ὁ δὲ Ἱερεμίας ὁπηνίκα ἂν φῇ, τοῦτ' ἔστι δι' αὐτοῦ τὸ πνεῦμα· „σπήλαιον ὑαίνης γέγονεν ὁ οἶκός μου"**), τὴν ἐκ τῶν νεκρῶν σωμάτων μυσαττόμενος τροφὴν ἀλληγορίᾳ σοφῇ τὴν εἰδωλολατρίαν διαβέβληκεν· δεῖ γὰρ ὡς ἀληθῶς ἁγνὸν εἰδώλων τὸν τοῦ ζῶντος οἶκον εἶναι θεοῦ.

§. 88. *Πάλιν* ὁ Μωϋσῆς καὶ τὸν λαγὼν ἐσθίειν ἀπαγορεύει· ὀχεύει γὰρ πᾶσαν τὴν ὥραν ὁ λαγώς,

---

*) Rom. 1, 26 sq. **) Ierem. 12, 9.

καὶ ἐπιβαίνει συγκαθεσθείσης τῆς θηλείας κατόπιν ἐπιών· ἔστι γὰρ ὀπισθοβατικὸν, κυεῖ δὲ κατὰ μῆνα καὶ ἐπικυΐσκεται· ὀχεύεται δὲ καὶ τίκτει. τεκοῦσα δὲ εὐθὺς ὀχεύεται ὑφ' οὗ ἂν τύχῃ λαγωοῦ· οὐ γὰρ ἑνὶ ἀρκεῖται γάμῳ. καὶ συλλαμβάνει πάλιν ἔτι θηλαζομένη· ἔχει γὰρ τὴν ὑστέραν δικρόαν. καὶ οὐχὶ τὸ κένωμα μόνον τῆς ὑστέρας ἱκανὸν αὐτῇ γίνεται συνουσίας ὁρμητήριον· τὸ γὰρ κενὸν πᾶν ἐπιθυμεῖ πληρώσεως· συμβαίνει δ' ὅταν κυῶσι, θάτερον μέρος τῆς ὑστέρας κατέχεσθαι τῇ ἐπιθυμίᾳ καὶ ὀργᾶν. διὰ τοῦτο ἐπικυήσεις γίνονται αὐτοῖς. ἀπέχεσθαι τοίνυν σφοδρῶν τε ὀρέξεων καὶ ἐπαλλήλων συνουσιῶν καὶ τῆς πρὸς τὰς ἐγκύους ὁμιλίας καὶ ἀλληλοβασίας καὶ παιδοφθορίας καὶ μοιχείας καὶ λαγνείας ἡ τοῦ αἰνίγματος τοῦδε ἀπαγόρευσις παρῄνεσεν.

§. 89. Ταύτῃ τοι ἀναφανδὸν οὐ δι' αἰνιγμάτων ἔτι ὁ αὐτὸς ἀπηγόρευσεν Μωϋσῆς γυμνῇ τῇ κεφαλῇ· „οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις"*) λέγων. τὸ δὴ διάταγμα τοῦ λόγου παντὶ διατηρητέον σθένει καὶ οὐδὲν οὐδαμῶς παρανομητέον οὐδὲ ἀκυρωτέον τὰς ἐντολάς· ἐπιθυμίᾳ γὰρ κακῇ ὄνομα ὕβρις, καὶ τὸν τῆς ἐπιθυμίας ἵππον ὑβριστὴν ὁ Πλάτων προσεῖπεν, „ἵπποι θηλυμανεῖς ἐγενήθητέ μοι"**) ἀναγνούς. τὴν δὲ ἐπὶ τῇ ὕβρει δίκην γνωριοῦσιν ἡμῖν οἱ εἰς τὰ Σόδομα παραγεγονότες ἄγγελοι. οὗτοι τοὺς περᾶν ἐθελήσαντας σφᾶς ἐπαι- P. 2 σχῦναι αὐτῇ πόλει κατέφλεξαν, δεῖγμα ἐναργὲς τοῦ- Po το λαγνείας ἐπικάρπιον τὸ πῦρ ὑπογράφοντες· τὰ γὰρ τῶν παλαιῶν συμπτώματα, ὡς καὶ πρόσθεν εἴπομεν, εἰς τὴν ἡμετέραν ἀναγέγραφαι νουθεσίαν***), ὡς μὴ τοῖς αὐτοῖς ἐνσχεθῆναι, φυλάξασθαι δὲ μὴ περιπεσεῖν τοῖς ἴσοις.

§. 90. Χρὴ δὲ υἱοὺς μὲν ἡγεῖσθαι τοὺς παῖδας, εἰς δὲ τὰς γυναῖκας τὰς ἀλλοτρίας ὡς ἰδίας ἀφορᾶν

---

*) Exod. 22, 14. **) Ierem. 5, 8. ***) Cf. 1 Cor. 10, 11.

θυγατέρας, κρατεῖν δὲ ἡδονῶν, γαστρός τε ἔτι καὶ τῶν ὑπὸ γαστέρα δεσπόζειν ἀρχικώτατον. εἰ γὰρ οὐ-
P. 83 δὲ τὸν δάκτυλον ὡς ἔτυχε σαλεύειν τῷ σοφῷ ὁ
Sylb. λόγος ἐπιτρέπει, ὡς ὁμολογοῦσιν οἱ Στωϊκοὶ, πῶς οὐχὶ πολὺ πλέον τοῦ συνουσιαστικοῦ ἐπικρατητέον μορίου τοῖς σοφίαν διώκουσιν; ταύτῃ μοὶ δοκεῖ καὶ ὠνομᾶσθαι αἰδοῖον, ὅτι χρὴ παντὸς μᾶλλον τούτῳ τοῦ σώματος τῷ μέρει χρῆσθαι μετὰ αἰδοῦς· ἡ γὰρ φύσις ὥσπερ καὶ ταῖς τροφαῖς, οὕτω δὲ καὶ τοῖς κατὰ νόμον γάμοις ὅσον οἰκεῖον καὶ χρήσιμον καὶ εὐπρεπὲς χρῆσθαι ἐπέτρεψεν ἡμῖν, ἐπέτρεψεν δὲ ὀρέγεσθαι παιδοποιίας. ὅσοι δὲ τὴν ὑπερβολὴν διώκουσι, πταίουσι περὶ τὸ κατὰ φύσιν, σφᾶς αὐτοὺς βλάπτοντες κατὰ τὰς παρανόμους συνουσίας. ἔχει γὰρ ὀρθῶς παντὸς μᾶλλον μή ποτε κοινωνεῖν καθάπερ θηλειῶν πρὸς μῖξιν ἀφροδισίων τοῖς νέοις. διὸ καὶ „μὴ εἰς πέτρας τε καὶ λίθους σπείρειν", φησὶν ὁ ἐκ Μωϋσέως φιλόσοφος, „ὅτι μήποτε φύσιν τὴν αὐτοῦ ῥίζοθεν λήψεται γόνιμον" *).

§. 91. *Πάνυ γοῦν ἐμφανέστατα διὰ Μωϋσέως* ὁ λόγος παρήγγειλεν· „καὶ μετὰ ἄρρενος οὐ κοιμηθήσῃ κοίτην γυναικείαν, βδέλυγμα γάρ ἐστι". πρὸς δὲ καὶ ἀρούρης θηλείας ἀπέχεσθαι πάσης, ὅτι μὴ τῆς ἰδίας ὁ καλὸς ἐκ τῶν θείων ἀναλεγόμενος γραφῶν συνεβούλευσε Πλάτων ἐκεῖθεν τὸ νόμιμον ἐκλαβών. „καὶ πρὸς τὴν γυναῖκα τοῦ πλησίον σοῦ οὐ δώσεις κοίτην σοῦ σπέρματος τοῦ ἐκμιανθῆναι πρὸς αὐτήν" **). ἄθυτα δὲ παλλακίδων σπέρματα καὶ νόθα. μὴ σπεῖρε οὗ μὴ βούλοιο ἂν σοι φύεσθαι τὸ σπαρέν, μηδὲ μὴν ἅπτεσθαί τινος πλὴν γαμετῆς τὸ παράπαν τῆς σεαυτοῦ γυναικὸς, ἐξ ἧς μόνης P. 225
καρποῦσθαι τὰς σαρκὸς ἡδονὰς δίκαιον εἰς διαδο- Pott.
χὰς γνησίας. νόμιμα γὰρ ταῦτα μόνα τῷ λόγῳ. θείας γέ τοι μοίρας τῆς δημιουργικῆς μεταλαβόντας

*) Leuit. 18, 22. **) Ibid. v. 20.

σπέρμα οὐκ ἐκριπτέον οὐδὲ καθυβριστέον οὐδὲ μὴν κερασβόλα σπαρτέον.

§. 92. Ὁ γοῦν αὐτὸς οὗτος Μωϋσῆς καὶ ταῖς γαμεταῖς αὐταῖς ἀπαγορεύει πλησιάζειν, ἢν ταῖς ἐπιμηνίοις καθάρσεσιν ἐνεσχημέναι τύχωσιν. οὐ γάρ πω εὔλογον τῷ ἀποκαθάρματι τοῦ σώματος τὸ γονιμώτατον τοῦ σπέρματος καὶ μετ᾽ ὀλίγον ἄνθρωπον μολύνειν, οὐδὲ μὴν ἀποκλύζειν τῷ ῥυπαρῷ τῆς ὕλης ῥεύματι καὶ ἀποκαθάρματι· σπέρμα δὲ γενέσεως εὐφυᾶ τῶν τῆς μήτρας ἀποστερούμενον αὐλάκων. οὐδέ τινα τῶν παλαιῶν Ἑβραίων ἐγκύμονι τῇ αὐτοῦ γυναικὶ συνιόντα παρήγαγεν· ψιλὴ γὰρ ἡδονὴ κἂν ἐν γάμῳ παραληφθῇ, παράνομός ἐστι καὶ ἄδικος καὶ ἄλογος· ἔμπαλιν δὲ ὁ Μωϋσῆς ἀπάγει τῶν ἐγκύων τοὺς ἄνδρας ἄχρις ἂν ἀποκυήσωσιν· τῷ ὄντι γὰρ ἡ ὑστέρα ὑποκειμένη μὲν τῇ κύστει, ἐπικειμένη δὲ τῷ ἐντέρῳ τῷ καλουμένῳ ἀρχῷ ἐκτείνει τὸν τράχηλον μεταξὺ τῶν ὤμων ἐν τῇ κύστει, καὶ τὸ στόμιον τοῦ τραχήλου, ᾧ προσίεται τὸ σπέρμα, πεπληρωμένον μέμυκεν, αὖθίς τε ἀποκενοῦται καθαιρομένη κυήσει, ἀποθεμένη δὲ τὸν καρπὸν εἶτα ἐπιδέχεται τὸν σπόρον. οὐκ αἰσχρὸν δὲ ἡμῖν ἐπ᾽ ὠφελείᾳ τῶν ἀκουόντων τὰ κυητικὰ ὀνομάζειν ὄργανα, ὧν οὐκ ἐπῃσχύνθη τὴν δημιουργίαν ὁ θεός.

§. 93. Διψῶσα τοίνυν ἡ ὑστέρα παιδοποιίας προσίεται τὴν σποράν, καὶ τὸ ἐπίψογον τῆς συνουσίας ἀρνεῖται, μετὰ τὴν σπορὰν ἀποκλείουσα τέλεον ἤδη τὴν ἀσέλγειαν μεμυκότι τῷ στόματι. αἱ δὲ ὀρέξεις αὐτῆς αἱ τέως περὶ τὰς φιλοστόργους συμπλοκὰς δεδονημέναι, ἀποστραφεῖσαι ἔνδον περὶ τὴν παιδοποιίαν ἀσχολούμεναι, συνεργοῦσι τῷ δημιουργῷ. οὐ δὴ θέμις ἐργαζομένην τὴν φύσιν ἤδη ἐνοχλεῖν ἔτι περιττεύοντας εἰς ὕβριν· ὕβρις δὲ ἡ πολυώνυμος καὶ πολυειδής, ἐπειδὰν ἐκτραπῇ κατὰ τοῦτο τῆς ἀταξίας τὸ μέρος τὸ κατὰ τὴν ἀφροδίτην, λαγνεία κέκληται· τὸ λαγνικὸν τὸ δημῶδες καὶ ἄναγνον τὸ περὶ

τὰς ὀχείας τὸ καταφερὲς ἐμφαίνοντος τοῦ ὀνόματος, ἐξ ὧν αὐξηθέντων τὸ πολὺ τῶν νοσημάτων πλῆθος ἐπισυμβαίνει, φιλοψία, φιλοινία, φιλογυνία καὶ δὴ καὶ ἀσωτία καὶ φιληδονία πᾶσα, ὧν τυραννεύει P. 226 Pott. ἐπιθυμία. μυρία δὲ τούτοις αὔξεται ἀδελφὰ παθήματα, ἐξ ὧν τὸ ἀκόλαστον κορυφοῦται ἦθος· λέγει δὲ ἡ γραφή· „ἑτοιμάζονται ἀκολάστοις μάστιγες καὶ τιμωρίαι ὤμοις ἀφρόνων" *), τὴν ἰσχὺν τῆς ἀκολασίας καὶ τὴν εὔτονον ὑπομονὴν „ὤμους ἀφρόνων" καλοῦσα. διὰ τοῦτό τοι „ἀπόστησον ἀπὸ τῶν δούλων σοῦ ἐλπίδας κενάς, καὶ ἐπιθυμίας", φησίν, „ἀπρεπεῖς ἀπόστρεψον ἀπ᾽ ἐμοῦ, κοιλίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με" **). πόρρωθεν οὖν ἀπερύκειν χρὴ τὴν πολλὴν τῶν ἐπιβούλων κακουργίαν· οὐ γὰρ εἰς τὴν Κράτητος πήραν μόνην ἀλλ᾽ οὐδὲ εἰς τὴν ἡμετέραν πόλιν εἰσπλεῖ οὐ μωρὸς παράσιτος, οὐδὲ λίχνος πόρνος πυγῇ ἀγαλλόμενος, οὐ δολερὰ πόρνη, ἀλλ᾽ οὐδὲ ἄλλο τι τοιοῦτον ἡδονῆς θηρίον. πολλὴ οὖν ἡμῖν ἐγκατεσπάρθω παρ᾽ ὅλον τὸν βίον ἀξιοπραγία.

§. 94. Καθόλου μὲν οὖν ἢ γαμητέον ἢ γάμου εἰς τὸ παντελὲς καθαρευτέον· ἔχεται γὰρ ζητήσεως καὶ τοῦτο ἐν τῷ περὶ ἐγκρατείας ἡμῖν δεδήλωται. εἰ δὲ αὐτὸ τοῦτο εἰ γαμητέον ἐδέησε σκέψεως, πῶς ἂν ἐπιτραπείη ἀνέδην καθάπερ τροφῇ, οὕτω δὲ καὶ συνουσίᾳ ὡς ἀναγκαίῳ κεχρῆσθαι ἑκάστοτε; ἔστι γοῦν συνιδεῖν ἐξ αὐτῆς καθάπερ στήμονας τὰ νεῦρα διαφορούμενα καὶ περὶ τὴν ἐπίτασιν τῆς ὁμιλίας διαρρηγνύμενα, ναὶ μὴν καὶ ἀχλὺν περισκεδάννυσι τοῖς αἰσθητηρίοις, κόπτει δὲ καὶ τοὺς τόνους. σαφὲς τοῦτο καὶ ἐπὶ τῶν ἀλόγων ζώων καὶ ἐπὶ τῶν ἐν ἀσκήσει σωμάτων, ὧν οἱ ἀπεχόμενοι ἐν τοῖς ἀγῶσι τῶν P. 84 Sylb. ἀντιπάλων περιγίνονται, τὰ δὲ ἀπάγεται τῆς ὀχείας περιελκόμενα, μονονουχὶ συρόμενα, ἰσχύος

*) Prouerb. 19, 29. **) Eccles. 23, 4—6.

ἁπάσης καὶ ὁρούσεως τέλεον κεκενωμένα. μικρὰν ἐπιληψίαν, τὴν συνουσίαν ὁ Ἀβδηρίτης ἔλεγε σοφιστής, P. 227 Pott. νόσον ἀνίατον ἡγούμενος. ἢ γὰρ οὐχὶ καὶ ἐκλύσεις παρέπονται τῷ μεγέθει τῆς ἀπουσίας ἀνατιθέμεναι; ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου ἐκφύεταί τε καὶ ἀποσπᾶται. ὅρα τὸ μέγεθος τῆς βλάβης· ὅλος ἄνθρωπος ἀποσπᾶται κατὰ συνουσίας ἀπουσίαν· φησὶ γάρ, „τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου"*). τοσοῦτον ἄρα ὁ ἄνθρωπος κενοῦται τῷ σπέρματι, ὅσος ὁρᾶται τῷ σώματι· ἀρχὴ γὰρ γενέσεως τὸ ἀπαλλαττόμενον, ἀλλὰ καὶ τῆς ὕλης ὁ βρασμὸς ἐκταράττει καὶ συγκρούει τὴν ἁρμονίαν τοῦ σώματος.

§. 95. Ἀστεῖος οὖν μάλα ἐκεῖνος ὁ πρὸς τὸν ἐρόμενον πῶς ἔχοι πρὸς τὰ ἀφροδίσια, εὐφήμει, φήσας, ἄνθρωπε, ἀσμενέστατα μέντοι αὐτὰ ἀπέφυγον ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην. ἀλλ᾽ ἐγκεκρίσθω δὴ ὁ γάμος καὶ ἐγκατατετάχθω· πληθύνεσθαι γὰρ ὁ κύριος βούλεται τὴν ἀνθρωπότητα, ἀλλ᾽ οὐκ ἀσελγαίνετε λέγει οὐδὲ σφᾶς αὐτοὺς καθάπερ εἰς ὀχείαν γεγονότας ἐκδίδοσθαι ἡδοναῖς ἠθέλησεν. δυσωπείτω δὲ ἡμᾶς ὁ παιδαγωγὸς δι᾽ Ἐζεκιὴλ βοῶν· „περιτέμνεσθε τὴν πορνείαν ὑμῶν"**). ἔχει τινὰ καιρὸν εὔθετον εἰς σπόρον καὶ τὰ ἄλογα τῶν ζώων. τὸ δὲ μὴ εἰς παίδων γονὴν συνιέναι ἐνυβρίζειν ἐστὶ τῇ φύσει, ἣν χρὴ διδάσκαλον ἐπιγραφομένους τὰς σοφὰς τοῦ καιροῦ ἐπιτηρεῖν παιδαγωγίας, τὸ γῆρας λέγω καὶ τὴν παιδικὴν ἡλικίαν παρεισάγουσαν· τοῖς μὲν γὰρ οὐδέπω συνεχώρησεν, τοὺς δὲ οὐκέτι βούλεται γαμεῖν, πλὴν οὐ πάντοτε γαμεῖν. γάμος δὲ ἡ παιδοποιίας ὄρεξις, οὐχ ἡ τοῦ σπέρματος ἄτακτος ἔκκρισις ἡ παράνομος καὶ ἡ παράλογος.

§. 96. Κατὰ φύσιν δ᾽ ἂν ἡμῖν συγχωροίη ὁ βίος ἅπας κρατοῦσι τῶν ἐπιθυμιῶν ἄνωθεν μὴ κτεί-

*) Genes. 2, 23. **) Cf. Ezech. 43, 9. 44, 7.

νουσί τε τὸ ἐκ προνοίας θεϊκῆς φυόμενον τῶν ἀνθρώπων γένος κακοτέχνοις μηχαναῖς· αὗται γὰρ πορνείας ἐπὶ καλύμματι τοῖς ἐς παντελῆ κατασπῶσι φθορὰν φθορίοις συγχρώμεναι φαρμάκοις ἐξαναλίσκουσιν ἅμα τῷ ἐμβρύῳ τὴν φιλανθρωπίαν. ἀλλ' οἷς γε συγκεχώρηται γῆμαι, τούτοις ἐδέησεν παιδαγωγοῦ, ὡς μὴ μεθ' ἡμέραν τὰ μυστικὰ τῆς φύσεως ἐκτελεῖσθαι P. 228 Pott. ὄργια, μηδὲ ἐξ ἐκκλησίας, φέρε, ἢ ἀγορᾶς ἥκοντα ἑωθινὸν ἀλεκτρυόνος ὀχεύειν δίκην, ὁπηνίκα εὐχῆς καὶ ἀναγνώσεως καὶ τῶν μεθ' ἡμέραν εὐεργῶν ἔργων ὁ καιρός· ἑσπέρας δὲ ἀναπαύσασθαι προσκαθήκει μετὰ τὴν ἑστίασιν καὶ μετὰ τὴν ἐπὶ ταῖς ἀπολαύσεσιν εὐχαριστίαν.

§. 97. Οὐκ ἀεὶ δὲ καιρὸν ἐνδίδωσιν ἡ φύσις τὴν ἔντευξιν τοῦ γάμου τελειοῦσθαι· καὶ γὰρ ποθεινοτέρα ἡ χρονιωτέρα συμπλοκή. οὐ μὴν οὐδ' ὡς ἐν σκότῳ νύκτωρ ἀκολαστητέον, ἀλλ' ἐγκαθειρκτέον τῇ ψυχῇ τὸ αἰδῆμον οἱονεὶ φῶς τοῦ λογισμοῦ· οὐδὲν γὰρ τῆς ἱστουργούσης Πηνελόπης διοίσομεν, μεθ' ἡμέραν μὲν τὰ σωφροσύνης ἐξυφαίνοντες δόγματα, νύκτος δὲ ἀναλύοντες, ἐπὴν εἰς κοίτην ἴωμεν· εἰ γὰρ σεμνότητα ἀσκητέον, ὥσπερ οὖν πολὺ πλέον τῇ γυναικὶ τῇ ἑαυτοῦ τὴν σεμνότητα ἐπιδεικτέον τὰς ἀσχήμονας συμπλοκὰς παραιτούμενον· καὶ τῆς πρὸς τοὺς πλησίον ἁγνείας ἡ ἐχέγγυος πίστις οἴκοθεν παραγινέσθω. οὐ γάρ ἐστιν οὐκέτι σεμνὸν παρ' ἐκείνῃ νομισθῆναι, παρ' ᾗ τὸ σεμνὸν οὐκ ἐμμάρτυρον δείκνυται ἐν αὐταῖς ἐκείναις ταῖς ὀξείαις ἡδοναῖς. εὔνοια δὲ ὀλισθηρῶς εἰς συνουσίαν ἔχειν ὁμολογοῦσα ὀλίγον ἀνθεῖ καὶ συγγηράσκει τῷ σώματι, ἔσθ' ὅτε δὲ καὶ προγηράσκει μαρανθείσης τῆς ἐπιθυμίας, ὁπόταν τὴν γαμήλιον σωφροσύνην ἑταιρικαὶ καθυβρίσωσιν ἡδοναί· πτηναὶ γὰρ αἱ τῶν ἐρώντων καρδίαι καὶ σβέννυται μετανοίᾳ τὰ φίλτρα, τρέπεται δὲ πολλάκις τὸ φιλεῖν εἰς τὸ μισεῖν, ὁπόταν αἴσθηται τῆς καταγνώσεως ὁ κόρος.

§. 98. Ῥημάτων δὲ ἀκολάστων καὶ σχημάτων ἀσχημόνων ἑταιρικῶν φιλημάτων τε ὀνόματα πορνικὰ καὶ τοιουτωνί τινων λαγνευμάτων οὐδὲ ἐπιμνηστέον, τῷ μακαρίῳ πειθόμενοι ἀποστόλῳ, διαρρήδην λέγοντι· „πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν καθὼς πρέπει ἁγίοις" *). εὖ γοῦν τις εἰρηκέναι φαίνεται, συνουσία ὤνησε μὲν οὐδένα, ἀγαπητὸν δὲ εἰ μὴ ἔβλαψεν· ἡ μὲν γὰρ κατὰ νόμον σφαλερὰ, εἰ μὴ ὅσον αὐτῆς ἐπὶ παιδοποιΐᾳ, περὶ δὲ τῆς παρανόμου ἡ γραφὴ λέγει· „γυνὴ μι- P. 229 σθία ἴση σιάλῳ λογισθήσεται, ὕπανδρος δὲ πύρ- Pott. γος θανάτου τοῖς χρωμένοις" **). κάπρῳ ἢ συῒ τὸ ἑταιρικὸν ἀπείκασε πάθος, θάνατον δὲ ζητούμενον εἴρηκε τὴν μοιχείαν ἐπὶ πόρνῃ τηρουμένῃ, οἶκον δὲ καὶ πόλιν, ἐν ᾗ ἀσελγαίνουσιν.

§. 99. Ναὶ μὴν καὶ ἡ παρ' ἡμῖν ποιητικὴ ὀνειδίζουσά πως γράφει·

μοιχεία παρὰ σοί τε καὶ ἀνδρῶν μῖξις ἄθεσμος
θηλυγενὴς ἄδικός τε, κακήπολι, πάντ' ἀκάθαρτε·
ἔμπαλιν δὲ ἄγαται τοὺς σώφρονας,
οὔτε ἐπ' ἀλλοτρίᾳ κοίτῃ πόθον αἰσχρὸν ἔχοντας
οὐδὲ ἐπ' ἄρρενος ὕβριν ἀπεχθέα τε στυγερήν τε ὁρμωμένους,

ὅτι παρὰ φύσιν ταύτας ἡγοῦνται οἱ πολλοὶ τρυφὰς τὰς ἑαυτῶν ἁμαρτίας, οἱ δὲ τούτων ἐπιεικέστεροι γνωρίζουσι μὲν οὔσας αὐτὰς ἁμαρτίας, ἡττῶνται δὲ τῶν ἡδονῶν. καὶ τὸ σκότος αὐτοῖς ἐστὶ προκάλυμμα τῶν παθῶν· μοιχεύει γὰρ τὸν ἑαυτοῦ γάμον ὁ ἑταιριζόμενος αὐτὸν καὶ οὐκ ἀκούει τοῦ παιδαγωγοῦ βοῶντος, „ὁ ἄνθρωπος ὁ ἀναβαίνων ἐπὶ τῆς κλίνης αὐτοῦ, ὁ λέγων ἐν τῇ ψυ-
P. 85 χῇ, τίς με ὁρᾷ; σκότος κύκλῳ μου καὶ οἱ τοῖχοι
Sylb. σκέπη μου, καὶ οὐθεὶς βλέπει τὰς ἁμαρτίας μου· τί εὐλαβοῦμαι μὴ μνησθήσεται ὁ ὕψιστος" ***); ταλάντατος μὲν οὗτος, ὀφθαλμοὺς ἀνθρώπων δεδιὼς

*) Ephes. 5, 3. **) Eccles. 26, 22. ***) Eccles. 23, 18 sq.

μόνους, λήσειν δὲ τὸν θεὸν ὑπονοῶν. „οὐ γὰρ γινώσκει", φησὶν ἡ γραφὴ, „ὅτι ὀφθαλμοὶ κυρίου ὑψίστου μυριοπλασίως ἡλίου φωτεινότεροί εἰσιν, οἱ ἐπιβλέπουσι πάσας ὁδοὺς ἀνθρώπων καὶ κατανοοῦσιν εἰς ἀπόκρυφα μέρη"*). ταύτῃ τε πάλιν ὁ παιδαγωγὸς αὐτοῖς ἀπειλεῖ διὰ Ἠσαΐου λέγων· „οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἐροῦσι· τίς ἡμᾶς ὁρᾷ"**); λήσεται μὲν γὰρ ἴσως τὸ αἰσθητὸν φῶς τις, τὸ δὲ νοητὸν ἀδύνατόν ἐστιν, ἢ ὥς φησιν Ἡράκλειτος, τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθοι; μηδαμῶς τοίνυν ἐπικαλυπτώμεθα τὸ σκότος, τὸ γὰρ φῶς ἔνοικον ἡμῖν· „καὶ ἡ σκοτία", φησὶν, „αὐτὸ οὐ καταλαμβά- P. 230
νει"***), καταυγάζεται δὲ αὐτὸ ἡ νὺξ τῷ σώφρονι Pott.
λογισμῷ· λογισμοὺς δὲ ἀνδρῶν ἀγαθῶν οὓς ἀκοιμήτους λύχνους†) ὠνόμασεν ἡ γραφή.

§. 100. Καίτοι τό γε πειρᾶσθαι λανθάνειν ἐφ' οἷς πράττει τις ὁμολογούντως ἁμαρτάνειν ἐστὶν, πᾶς δὲ ὃς ἁμαρτάνει, καὶ ἀδικεῖ εὐθὺς οὐχ οὕτως τὸν πέλας, ἂν μοιχεύῃ ὡς ἑαυτὸν, ὅτι μεμοίχευκεν, ἀλλὰ πάντως αὑτὸν χείρονα ἀποφαίνει καὶ ἀτιμότερον. ὁ γὰρ ἁμαρτάνων παρ' ὅσον ἁμαρτάνει χείρων καὶ ἀτιμότερος αὐτὸς αὑτοῦ, πάντως δὲ ἤδη που καὶ ἀκολασία πρόσεστι τῷ ἡττωμένῳ αἰσχρᾶς ἡδονῆς· διὸ καὶ πάντως ὁ πορνεύων ἀπέθανεν θεῷ καὶ καταλέλειπται ὑπὸ τοῦ λόγου καθάπερ ὑπὸ τοῦ πνεύματος νεκρός. βδελύττεται γὰρ τὸ ἅγιον μολύνεσθαι, ὥσπερ οὖν εἰκός. ἀεὶ δὲ καθαρῷ καθαροῦ θέμις θιγγάνειν· μὴ δὴ ἅμα χιτῶνι ἀποδυομένῳ ἀποδυσώμεθα καὶ τὴν αἰδῶ ποτὲ, ἐπεὶ οὐδέποτε τῷ δικαίῳ σωφροσύνην ἀποδύσασθαι θέμις. ἰδοὺ γὰρ τὸ φθαρτὸν τοῦτο ἐπενδύεται ἀφθαρσίαν, ὁπηνίκα ἂν τὸ ἀκόρεστον τῆς ἐπιθυμίας††), τὸ εἰς ἀσέλγειαν ῥέον ἐγκρατείᾳ παιδαγωγούμενον, ἀνέραστον γενόμενον τῆς

*) Eccles. 23, 18 sq. **) Ies. 29, 15. ***) Ioann. 1, 5. †) Cf. Sapient. 7, 10. ††) Cf. 1 Cor. 15, 53.

φθορᾶς, ἀϊδίῳ σωφροσύνῃ παραχωρήσῃ τὸν ἄνθρωπον· „ἐν γὰρ τῷ αἰῶνι τούτῳ γαμοῦσι καὶ γαμίσκονται" *), καταργήσαντες δὲ τὰ τῆς σαρκὸς ἔργα, αὐτῇ καθαρᾷ τῇ σαρκὶ ἐπενδυσάμενοι τὴν ἀφθαρσίαν τὸ πρὸς μέτρον τῶν ἀγγέλων διώκομεν. ταύτῃ τοὶ καὶ Πλάτων ἐν Φιλήβῳ ὁ τῆς βαρβάρου μαθητὴς φιλοσοφίας ἀθέους κέκληκε μυστικῶς τοὺς τὸν θεὸν τὸν ἔνοικον αὐτοῖς, τὸν λόγον, διαφθείροντας καὶ μιαίνοντας τὸ ὅσον ἐφ' ἑαυτοῖς ἐν τῇ τῶν παθῶν οἰκειώσει.

§. 101. Οὐκ ἄρα ποτὲ θνητῶς βιωτέον ἁγιαζομένους θεῷ, οὐδὲ μὴν, ὥς φησιν ὁ Παῦλος, „οὐ χρὴ πόρνης ποιεῖν μέλη τὰ τοῦ Χριστοῦ μέλη, οὐδὲ μὴν νεὼν τῶν παθῶν τῶν αἰσχρῶν τὸν νεὼν τοῦ θεοῦ ποιητέον" **). μέμνησθε γὰρ τὰς τέσσαρας καὶ εἴκοσι χιλιάδας διὰ πορνείαν ἀπωσμένας, τὰ δὲ παθήματα τῶν πορνευσάντων, ὡς ἤδη μοὶ λέλεκται, „τύποι" ***) παιδαγωγοῦντές ἡμῶν τὰς ἐπιθυμίας εἰσίν. ἡμῖν δὲ ὁ παιδαγωγὸς παραινεῖ σαφέστατα· „ὀπίσω τῶν ἐπιθυμιῶν σοὺ μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου" †)· οἶνος γὰρ καὶ γυναῖκες ἀποστήσουσι συνετοὺς, καὶ ὁ κολλώμενος P. 231
πόρναις τολμηρότερος ἐκβήσεται, „σῆψις καὶ σκώληξ Pott.
κληρονομήσουσιν αὐτὸν καὶ ἐξαρθήσεται ἐν παραδειγματισμῷ μείζονι" ††), καὶ πάλιν — οὐ γὰρ ἀποκάμνει ὠφελῶν — „ὁ δὲ ἀντοφθαλμῶν ἡδονῇ στεφανοῖ τὴν ζωὴν αὐτοῦ" †††).

§. 102. Οὔκουν ἀφροδισίων ἡττᾶσθαι δίκαιον οὐδὲ μὴν κεχηνέναι περὶ τὰς ἐπιθυμίας, ἀλλ' οὐδὲ ἐκπαθαίνεσθαι περὶ τὰς ἀλόγους ὀρέξεις οὐδὲ ἐπιθυμεῖν μολύνεσθαι, σπείρειν δὲ μόνον ἐπιτέτραπται τῷ γήμαντι ὡς γεωργῷ τὸ τηνικάδε, ὁπηνίκα ὁ καιρὸς

*) Matth. 22, 30. Luc. 20, 34. **) 1 Cor. 6, 15. 19. ***) Ibid. 10, 6. †) Eccles. 18, 30. ††) Ibid. 19, 2 sq. †††) Ibid. v. 5.

δέχεται τὸν σπόρον. πρὸς δὲ δὴ τὴν ἄλλην ἀκρασίαν ἄριστον μὲν ὁ λόγος φάρμακον, βοηθεῖ δὲ καὶ ἡ ἔνδεια τοῦ κόρου, δι᾽ οὗ φλεγμαίνουσαι αἱ ἐπιθυμίαι σκιρτῶσι περὶ τὰς ἡδονάς. οὔκουν οὐδὲ ἐσθῆτος ἀντιποιητέον πολυτελοῦς καθάπερ οὐδὲ τροφῆς ποικίλης. αὐτὸς γοῦν ὁ κύριος διαιρῶν τὰς ὑποθήκας εἴς τε ψυχὴν καὶ σῶμα καὶ τρίτον τὰ ἐκτὸς, διὰ μὲν τὸ σῶμα τὰ ἐκτὸς πορίζεσθαι συμβουλεύει, διοικεῖ δὲ τὸ σῶμα τῇ ψυχῇ, παιδαγωγεῖ δὲ τὴν ψυχὴν „μὴ μεριμνᾶτε" λέγων „τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· ἡ γὰρ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος". καὶ τῆς διδασκαλίας ἐναργὲς ὑπόδειγμα ἐπιφέρει· „κατανοήσατε τοὺς κόρακας ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι ταμιεῖον καὶ ἀποθήκη καὶ ὁ θεὸς τρέφει αὐτούς. οὐχ ὑμεῖς διαφέρετε τῶν πτηνῶν" *); καὶ ταῦτα μὲν περὶ τροφῆς· ὁμοίως δὲ καὶ περὶ ἐσθῆτος παρεγγυᾷ, ἣ τῶν τρίτων μετείληφε τῶν ἐκτὸς, „κατανοήσατε" λέγων „τὰ κρίνα πῶς οὔτε νήθει οὔτε ὑφαίνει, λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομῶν περιεβάλετο ὡς ἓν τούτων" **). σφόδρα δὲ ἐπὶ πλούτῳ ἐκόμα ὁ Σολομῶν ὁ βασιλεύς.

§. 103. Τί οὖν ὡραιότερον καὶ εὐανθέστερον ἀνθέων; τί δαὶ ἐπιτερπέστερον κρίνων ἢ μύρων ἢ ῥόδων; „εἰ δὲ τὸν χόρτον σήμερον ἐν ἀγρῷ ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ τί πίητε" ***). ἐνταῦθα τὸ „τί" μόριον τὴν ποικιλίαν τῆς τροφῆς ἐκβέβληκε, σημαίνεται γὰρ ἐκ τῆς γραφῆς τοῦτο· μὴ μεριμνᾶτε ποῖα φάγητε ἢ ποῖα πίητε· πλεονεξία γὰρ καὶ τρυφὴ μεριμνᾶν ταῦτα, τὸ δὲ φαγεῖν μόνον ψιλῶς νοούμενον ἀνάγκης ἐστὶ τεκμήριον, τὸ πλήρωμα,

---

*) Luc. 12, 22 — 24. **) Ibid. v. 27. ***) Ibid. v. 28 sq.

ὡς ἔφαμεν, τῆς ἐνδείας, τὸ δὲ „τί" τὸ ἐκ πε- P. 232
P. 86 ρισσοῦ, τὸ δὲ περιττὸν ἐκ τοῦ διαβόλου μεμή- Pott.
Sylb. νυκεν ἡ γραφή*). σαφηνίζει δὲ τὴν διάνοιαν ἡ
ἐπιφερομένη λέξις. „μὴ γὰρ ζητεῖτε τί φάγητε ἢ τί πίητε" εἰπὼν ἐπήγαγεν, „καὶ μὴ μετεωρίζεσθε"· μετεώρους δὲ ἀπὸ τῆς ἀληθείας ἀλαζονεία καὶ τρυφὴ ποιεῖ καὶ ἡ εἰς τὰ περιττὰ ἀπασχολοῦσα ἡδυπάθεια ἀπάγει τῆς ἀληθείας, διὸ καί φησι παγκάλως· „ταῦτα δὲ πάντα τὰ ἔθνη τοῦ κόσμου ζητεῖ"**). οἱ ἄτακτοι καὶ ἀνόητοι τὰ ἔθνη εἰσίν. τίνα δὲ λέγει ταῦτα; τὴν τρυφὴν, τὴν ἡδυπάθειαν, τὴν καρυκείαν, τὴν ὀψοφαγίαν, τὴν λαιμαργίαν, ταῦτά ἐστι τὸ „τί". περὶ δὲ ψιλῆς τῆς τροφῆς τῆς τε ξηρᾶς καὶ τῆς ὑγρᾶς ὡς ἀναγκαίων οὐσῶν „οἶδε" φησὶν „ὁ πατὴρ ὑμῶν, ὅτι χρῄζετε"***). εἰ δὲ ὅλως ζητητικοὶ γεγόναμεν, μὴ εἰς τρυφὴν τὸ ζητητικὸν ἀπολύωμεν, ἀλλὰ εἰς τὴν εὕρεσιν τῆς ἀληθείας ἀναζωπυρήσωμεν. „ζητεῖτε γὰρ", φησὶ, „τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὰ τῆς τροφῆς προστεθήσεται ὑμῖν"†).

§. 104. Εἰ τοίνυν ἐσθῆτος καὶ τρυφῆς καὶ τῶν περιττῶν ἁπαξαπλῶς ὡς οὐκ ἀναγκαίαν ἀφαιρεῖται τὴν μέριμναν, τί χρὴ νοεῖν ἐρεῖν αὐτὸν περὶ φιλοκοσμίας βαφῆς τε ἐρίων καὶ ποικιλίας χρωμάτων καὶ λίθων περιεργίας καὶ χρυσίου ἐξεργασίας πλοκάμων τε ἔτι ἐπιτεχνητῶν καὶ βοστρύχων ἑλικτῶν, πρὸς δὲ καὶ ὀφθαλμῶν ὑπογραφῆς παρατίλσεών τε καὶ παραφυκισμῶν καὶ ψιμυθισμοῦ καὶ βαφῆς τριχῶν καὶ τῶν περὶ τὰς ἀπάτας ταύτας κακοτεχνιῶν; οὐχὶ εὖ μάλα ἐκεῖνο δὴ ὑποτοπητέον, τὸ μικρῷ πρόσθεν εἰρημένον ἐπὶ τοῦ χόρτου μὴ καὶ ἐπὶ τῶν ἀκόσμων φιλοκόσμων τούτων ἐληλεγμένων; ἀγρὸς γὰρ ὁ κόσμος, καὶ πόα ἡμεῖς οἱ τῇ χάριτι δροσιζόμενοι τοῦ θεοῦ, καρέντες δὲ αὖθις ἀνατέλλομεν, ὡς ἐν τῷ περὶ ἀναστάσεως

---

*) Cf. Matth. 5, 37. **) Luc. 12, 30. ***) Ibidem. †) Ibid. v. 31.

διὰ πλειόνων δηλωθήσεται, χόρτος δὲ ὁ χυδαῖος ἀλληγορεῖται ὄχλος, ὁ τῆς ἐφημέρου εὐφροσύνης οἰκεῖος, ὁ πρὸς ὀλίγον ἀνθῶν, ὁ φιλόκοσμος καὶ φιλόδοξος καὶ πάντα μᾶλλον ἢ φιλαλήθης, εἰς οὐδὲν, ἀλλ' ἢ εἰς ὑπέκκαυμα εὔθετος πυρός.

§. 105. „Ἄνθρωπος γοῦν ἦν τις", ὁ κύριος διηγούμενος λέγει, „πλούσιος σφόδρα, ὃς ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς", οὗτος ὁ χόρτος ἦν· „πτωχὸς δέ τις P. 233 ὀνόματι Λάζαρος ἐβέβλητο εἰς τὸν πυλῶνα τοῦ Pott. πλουσίου ἡλκωμένος, ἐπιθυμῶν χορτασθῆναι ἐκ τῶν πιπτόντων τῆς τραπέζης τοῦ πλουσίου" *), οὗτός ἐστιν ἡ πόα. ἀλλ' ὁ μὲν ἐκολάζετο ἐν Ἅιδου ὁ πλούσιος μετέχων τοῦ πυρὸς, ὁ δὲ ἀνέθαλλεν ἐν κόλποις τοῦ πατρός. ἄγαμαι τῶν Λακεδαιμονίων τὴν πόλιν τὴν παλαιὰν, ἣ μόναις ταῖς ἑταίραις ἀνθίνας ἐσθῆτας καὶ χρυσοῦν κόσμον ἐπέτρεπεν φορεῖν ἀφαιρουμένη τῶν δοκίμων γυναικῶν τὴν φιλοκοσμίαν τῷ μόναις ἐφεῖναι καλλωπίζεσθαι ταῖς ἑταιρούσαις. Ἀθηναίων δὲ ἔμπαλιν οἱ ἄρχοντες οἱ τὸ ἀστικὸν πολίτευμα ἐζηλωκότες ἐκλαθόμενοι τῆς ἀνδρωνίτιδος ἐχρυσοφόρουν, ποδήρεις χιτῶνας ἐνδυόμενοι καὶ ποδήρεις ἠμπίσχοντο· καὶ κρωβύλον, ὃ ἐμπλοκῆς ἐστὶν εἶδος, ἀνεδοῦντο χρυσῶν ἐνέρσει τεττίγων κοσμούμενοι, τὸ γηγενὲς ὡς ἀληθῶς ἀπειροκαλίᾳ κιναιδίας ἐνδεικνύμενοι, ὁ δὲ τῶν ἀρχόντων τούτων ζῆλος καὶ εἰς τοὺς ἄλλους Ἴωνας διικνεῖτο, οὓς Ὅμηρος ἐκθηλύνων ἑλκεσιπέπλους καλεῖ.

§. 106. Εἴδωλον οὖν τοῦ καλοῦ τὴν φιλοκοσμίαν, οὐχὶ δὲ αὐτὸ τὸ καλὸν προστρεπομένους, δι' ὀνόματος ὡραίου πάλιν εἰδωλολατροῦντας, πόρρω τῆς ἀληθείας ἀποικιστέον, δόξῃ, οὐκ ἐπιστήμῃ, ὀνειροπολοῦντας τοῦ καλοῦ τὴν φύσιν. καὶ ἔστιν αὐτοῖς ὁ τῇδε βίος ἀγνοίας ὕπνος βαθὺς, οὗ χρὴ ἐξεγειρομέ-

*) Luc. 16, 19—22.

νους ἡμᾶς ἐπὶ τὸ ὄντως καλὸν καὶ κόσμιον σπεύδειν καὶ τούτου μόνου ἐφάπτεσθαι γλίχεσθαι καταλείποντας τὰ τῇδε κόσμια αὐτῷ κόσμῳ χαίροντα πρὶν ἢ τέλεον καταδραθεῖν. φημὶ τοίνυν οὐκ ἄλλου τινὸς ἕνεκα δεηθῆναι ὑφασμάτων τὸν ἄνθρωπον, ἢ σκέπης σώματος, πρὸς ἀπαλέξησιν κρυμῶν τε ὑπερβο- P. 234 Pott. λῆς καὶ καυμάτων ἐπιτάσεως, μή τι ἡμᾶς παραλυποίη τοῦ περιέχοντος ἡ ἀμετρία. εἰ δὴ οὗτός ἐστι τῆς ἐσθῆτος ὁ σκοπός, ὅρα μὴ οὐκ ἄλλη μὲν ἀνδράσιν, ἄλλη δὲ ἐσθὴς ἀπονεμητέα γυναιξίν· κοινὸν γὰρ ἀμφοῖν τὸ σκέπεσθαι κατὰ τὰ αὐτὰ τῷ ἐσθίειν καὶ πίνειν.

§. 107. Κοινῆς οὖν οὔσης τῆς χρείας τὴν ὁμοίαν κατασκευὴν δοκιμάζομεν. ὡς γὰρ τὸ δεῖσθαι τῶν σκεπόντων κοινὸν ἑκατέροις, οὕτως καὶ τὰ σκέποντα παραπλήσια εἶναι χρή, εἰ δὲ καὶ σκέπην ταύτην παραληπτέον, καθ' ἣν κρύπτειν ὄμματα θηλειῶν χρεών. εἰ γὰρ καὶ πλεονεκτεῖ τὸ θῆλυ διὰ τὴν ἀσθένειαν, τὸ ἔθος τῆς ἀγωγῆς τῆς κακῆς αἰτιατέον, δι' ἣν πολλάκις φαύλοις διαίταις ἐντρεφόμενοι ἄνδρες γυναικῶν γεγόνασι θηλύτεροι· οὐ δὴ καθυφεῖναι χρὴ τούτου. εἰ δὲ συμπεριφέρεσθαι χρή, ὀλίγον ἐνδοτέον αὐταῖς μαλακωτέροις χρῆσθαι τοῖς ὑφάσμασιν μόνον τὰς μεμωρημένας λεπτουργίας καὶ τὰς ἐν ταῖς ὑφαῖς περιέργους πλοκὰς ἐκ ποδῶν μεθιστάντας, νῆμα χρυσοῦ καὶ σῆρας Ἰνδικοὺς καὶ τοὺς περιέργους βόμβυκας χαίρειν ἐῶντας, ὃς σκώληξ φύεται τὸ πρῶτον, εἶτα ἐξ αὐτοῦ δασεῖα ἀναφαίνεται κάμπη, μεθ' ἣν εἰς τρίτην μεταμόρφωσιν νεοχμοῦται βομβύλιον — οἱ δὲ νεκύδαλον αὐτὸ καλοῦσιν — ἐξ οὗ μακρὸς τίκτεται στήμων, καθάπερ ἐκ τῆς ἀράχνης ὁ τῆς ἀράχνης μίτος· τὰ γὰρ περιττὰ ταῦτα καὶ διαφανῆ ἔλεγχός ἐστι διανοίας οὐκ ἐρρωμένης ὀλίγῳ παραπετάσματι τὴν αἰσχύνην τοῦ σώματος προαγωγεύοντα. οὐ γὰρ ἔτι σκέπη ἡ ἀβροδίαιτός ἐστιν ἐσθὴς τὸ σχῆμα τῆς γυμνότητος κρύπτειν μὴ δυναμένη, προσπίπτουσα γὰρ

P. 87 Sylb. ἡ τοιαύτη ἐσθὴς τῷ σώματι προστυποῦται αὐτῷ ὑγρότερον καὶ προσαναπλάττεται σαρκικῶς ἐμφῦσα τῷ σχήματι, καὶ τὸν τύπον ἐκμάττεται τῆς γυναικὸς, ὥστ᾿ οὐχ ὁρῶντι τὴν ὅλην τοῦ σώματος εἶναι φανερὰν διάθεσιν.

§. 108. Παραιτητέον δὲ τῆς ἐσθῆτος καὶ τὰς βαφάς· αὗται γὰρ πόρρω καὶ τῆς χρείας καὶ τῆς ἀληθείας πρὸς τὸ καὶ διαβολὴν τοῦ ἤθους ἐξανθεῖν· οὔτε γὰρ ἡ χρῆσις ὠφέλιμος — οὐ γὰρ πρὸς τὸ κρύος εὔθετος —, οὔτε πρὸς σκέπην ἔχει τι περιττὸν παρὰ τὴν ἄλλην ἐσθῆτα ἢ τὸν ψόγον μόνον, καὶ τὸ ἐπιτερπὲς τῆς χροιᾶς τοὺς λίχνους ἀνιᾷ εἰς τὴν ἀνόητον ὀφθαλμίαν ἐρεθίζον, τοὺς δὲ λευκοὺς καὶ οὐ νόθους τὰ ἔνδον λευκαῖς καὶ ἀπεριέργοις ἁρμοδιώτατον ἐσθήσεσι χρῆσθαι. σαφῶς γοῦν καὶ καθαρῶς Δανιὴλ ὁ προφήτης „ἐτέθησαν" φησὶ „θρόνοι καὶ ἐκάθισεν ἐπ᾿ αὐτῶν ὡσεὶ παλαιὸς ἡμερῶν, P. 235 Pott. καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν" *). τοιαύτῃ χρώμενον στολῇ τὸν κύριον ἐν ὁράματι θεωρεῖν καὶ ἡ ἀποκάλυψίς φησιν· „εἶδον τὰς ψυχὰς τῶν μεμαρτυρηκότων ὑποκάτω τοῦ θυσιαστηρίου, καὶ ἐδόθη ἑκάστῳ στολὴ λευκή" **). εἰ δὲ καὶ ἄλλο τι δέοι χρῶμα ζητεῖν, τὸ αὐτοφυὲς τῆς ἀληθείας ἀπόχρη βάμμα, αἱ δὲ τοῖς ἄνθεσιν ἐοικυῖαι ἐσθῆτες βακχικοῖς καὶ τελεστικοῖς καταλειπτέαι λήροις, πρὸς δὲ καὶ ἡ πορφύρα καὶ τὰ ἀργυρώματα, ὥς φησιν ὁ κωμικὸς,

εἰς τοὺς τραγῳδοὺς χρήσιμα κοὐκ εἰς τὸν βίον,

τὸν δὲ ἡμέτερον βίον πάντα μᾶλλον ἢ πομπὴν εἶναι χρεών. βάμμα γοῦν Σαρδηνιακὸν καὶ ἄλλο ὀμφάκινον καὶ χλωρὸν ἕτερον, ῥοδομιγὲς καὶ κοκκοβαφὲς καὶ ἄλλα μυρία διὰ σπουδῆς βάμματα ἐπινενόηται ταῖς ἐξώλεσιν ἡδυπαθείαις.

§. 109. Ὄψεως, οὐ σκέπης ἡ ἐσθὴς αὕτη. τά

---

*) Daniel. 7, 9. **) Apocal. 6, 9. 11.

τε χρυσῷ πεποικιλμένα καὶ τὰ ἁλουργοβαφῆ, καὶ ζώων τε προσήνεμόν γέ τι τρύφημα τούτῳ, τόν τε μυροβαφῆ ἐκεῖνον κροκωτὸν καὶ τῶν ὑμενίων τῶν περιόπτων τὰ πολυτελῆ καὶ ποικίλα ἱμάτια ἔχοντα ζώδια ἐν τῇ πορφύρᾳ αὐτῇ τέχνῃ χαίρειν ἐατέον· τί γὰρ φρόνιμον γυναῖκες ἐργάσαιντο

ἢ λαμπρὸν, αἳ καθήμεθα,

φησὶν ἡ κωμῳδία,

ἐξηνθισμέναι,
κροκωτοφοροῦσαι καὶ κεκαλλωπισμέναι;

παραινεῖ δὲ διαῤῥήδην ὁ παιδαγωγὸς, „ἐν περιβολῇ ἱματίου οὐ μὴ καυχήσῃ, μηδὲ ἐπαίρου ἐν δόξῃ πάσῃ" παρανόμῳ οὔσῃ. ἐπισκώπτων γοῦν τοὺς τοῖς μαλακοῖς ἠμφιεσμένους ἱματίοις ἐν τῷ εὐαγγελίῳ λέγει· „ἰδοὺ, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ ἐν τρυφῇ διάγοντες ἐν τοῖς βασιλείοις εἰσὶ τοῖς ἐπιγείοις", βασιλείοις λέγει τοῖς φθαρτοῖς, ἔνθα δοξοκαλία καὶ δοξοκοπία καὶ κολακεία καὶ πλάνη· οἱ δὲ τὴν*) οὐρανιον θεραπεύοντες αὐλὴν περὶ τὸν πάντων βασι- P. 236 Pott.
λέα τὴν ἀκήρατον τῆς ψυχῆς ἐσθῆτα, τὴν σάρκα, ἁγιάζονται, καὶ ταύτῃ ἐπενδύονται ἀφθαρσίαν. καθάπερ οὖν ἡ ἄγαμος μόνῳ σχολάζει τῷ θεῷ καὶ ἡ φροντὶς αὐτῆς οὐ περισχίζεται, γημαμένη δὲ ἥ γε σώφρων διαιρεῖται τὸν βίον καὶ πρὸς τὸν θεὸν καὶ πρὸς τὸν ἄνδρα**), ἡ δὲ ἄλλως φερομένη ὅλη γίνεται τοῦ γάμου, τουτέστι τοῦ πάθους· τὸν αὐτὸν οἶμαι τρόπον ἡ σώφρων γυνὴ σχολάζουσα μὲν τῷ ἀνδρὶ ἀνυποκρίτως θεοσεβεῖ, φιλοκοσμοῦσα δὲ ἀποπέπτωκεν καὶ τοῦ θεοῦ καὶ τοῦ γάμου τοῦ σώφρονος τὸν κόσμον ἀντικαταλλαττομένη τἀνδρὸς κατὰ τὰ αὐτὰ τῇ Ἀργείᾳ ἑταίρᾳ, τῇ Ἐριφύλῃ λέγω,

ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα***).

§. 110. Ταύτῃ καὶ τὸν Κεῖον ἀποδέχομαι σοφιστὴν τὰς οἰκείας καὶ καταλλήλους ἀρετῆς καὶ κα-

*) Luc. 7, 25. **) Cf. 1 Cor. 7, 34. ***) Odyss. λ 327.

κίας εἰκόνας ὑπογράφοντα· τὴν μὲν γὰρ αὐταῖν ἀφελῶς ἱσταμένην ἐποίησε καὶ λευχείμονα καὶ καθάριον τὴν ἀρετὴν αἰδοῖ μόνῃ κεκοσμημένην — τοιαύτην εἶναι χρὴ τὴν πιστὴν ἐνάρετον μετ᾽ αἰδοῦς —, θατέραν δὲ τοὐναντίον εἰσάγει τὴν κακίαν, περιττῇ μὲν ἐσθῆτι ἠμφιεσμένην, ἀλλοτρίῳ δὲ χρώματι γεγανωμένην, καὶ ἡ κίνησις αὐτῆς καὶ ἡ σχέσις πρὸς τὸ ἐπιτερπὲς ἐπιτηδευομένη ταῖς μαχλώσαις ἔγκειται σκιαγραφίᾳ γυναιξίν. πρὸς οὐδεμίαν δὲ ὅλως ὁ ἑπόμενος τῷ λόγῳ αἰσχρὰν ἡδονὴν οἰκειώσεται, διὸ καὶ τῆς ἐσθῆτος τὸ χρειῶδες προκριτέον κἂν ὁ λόγος τοῦτο ψάλλῃ διὰ Δαβὶδ περὶ τοῦ κυρίου λέγων· „εὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ, παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σοὺ ἐν ἱματισμῷ διαχρύσῳ σοὺ καὶ κροσσωτοῖς χρυσοῖς περιβεβλημένη" *), οὐκ ἐσθῆτα τὴν τρυφητικὴν μεμήνυκεν, ἀλλὰ τὸν ἐκ πίστεως συνυφασμένον ἀκήρατον τῶν ἠλεημένων κόσμον τῆς ἐκκλησίας δεδήλωκεν, ἐν ᾗ ὁ ἄδολος Ἰησοῦς **) ὡς χρυσὸς διαπρέπει, καὶ οἱ κροσσοὶ, οἱ ἐκλεκτοὶ, οἱ P. 237 Pott. χρυσοῖ.

§. 111. Εἰ δὲ καὶ ὑφῆναι χρὴ τοῦτον διὰ τὰς γυναῖκας, ἡδεῖαν τὴν ἐσθῆτα καὶ προσηνῆ πρὸς τὴν ἁφὴν ἐξυφαντέον, οὐχὶ δὲ καθάπερ τὰς γραφὰς πρὸς τὸ τερπνὸν τῆς ὄψεως ἐξανθιστέον· ἐξίτηλος μὲν γὰρ ἡ γραφὴ τῷ χρόνῳ γίνεται, αἱ δὲ ῥύψεις καὶ αἱ στύψεις τοῖς φαρμακώδεσι τῆς βαφῆς χυμοῖς ἐκτήκουσαι τὰ ἔρια τῶν ἀμπεχονῶν τὰς ὑφάνσεις ἀσθενεῖς ἀποτελοῦσι, τὸ δὲ οὐδ᾽ εἰς οἰκονομίαν εὔδετον. ἀπειροκαλία δὲ ἡ μεγίστη τοσοῦτον ἐπτοῆσθαι περὶ τοὺς πέπλους καὶ τὰς ξυστίδας καὶ τὰς ἐφαπτίδας χλαίνας τε καὶ χιτῶνας τά τ᾽ αἰδῶ ἀμφικαλύπτει, Ὅμηρός φησιν ***). αἰσχύνομαι γὰρ ὡς ἀληθῶς ὁρῶν τοσοῦτον ἐκχεόμενον πλοῦτον εἰς τὴν αἰδοίων σκέπην. ὁ

---

*) Psalm. 45, 8 sq. **) Cf. 1 Petr. 2, 22. ***) Hom. β. 262.

γάρτοι ἀρχαῖος ἄνθρωπος ὁ ἐν τῷ παραδείσῳ κλάδοις καὶ φύλλοις τὴν σκέπην τῆς αἰσχύνης παρεμέτρει, νυνὶ δὲ ἐπεὶ τὰ πρόβατα ἡμῖν δεδημιούργηται, μὴ κατὰ τὰ αὐτὰ τοῖς προβάτοις ἀφραίνωμεν, παι- P. 88 δαγωγούμενοι δὲ τῷ λόγῳ τὸ πολυτελὲς τῆς ἐσθῆτος Sylb. διελέγχωμεν ἐπιλέγοντες· τρίχες ἐστὲ προβάτων, κἂν Μίλητος αὐχῇ, κἂν Ἰταλία δοξάζηται, κἂν ὑπὸ διφθέραις φυλάττωνται αἱ τρίχες, περὶ ἃς μεμήνασιν οἱ πολλοί, ἀλλὰ ἡμῖν γε οὐ σπουδαστέον.

§. 112. Ὁ δὲ μακάριος Ἰωάννης καὶ τῶν προβάτων ὑπεριδὼν τὰς τρίχας ὀζούσας τρυφῆς „τὰς τῶν καμήλων" εἵλετο τρίχας καὶ ταύτας ἠμπίσχετο, τὸ εὐτελὲς καὶ ἄδολον τοῦ βίου ὑποτυπούμενος. καὶ γὰρ „μέλι ἤσθιεν καὶ ἀκρίδας" *), γλυκεῖαν καὶ πνευματικὴν τροφὴν, ἀτύφους καὶ σώφρονας τὰς ὁδοὺς τοῦ κυρίου παρασκευάζων. ἦ ποῦ γὰρ ἂν ἁλουργὴν χλανίδα περιεβάλετο ὁ τὴν ἀλαζονείαν τὴν πολιτικὴν ἐκτραπεὶς, εἰς δὲ τὴν ἔρημον τῆς ἐρημίας κατὰ γαλήνην θεῷ πεπολιτευμένος ἐκτὸς πάσης κενοσπουδίας, ἀπειραγαθίας, μικροπρεπείας. μηλωτῇ δὲ ἐχρῆτο Ἡλίας ἐνδύματι καὶ „ζώνῃ τὴν μηλωτὴν κατέσφιγγεν ἐκ τριχῶν πεποιημένῃ" **). Ἡσαΐας δὲ ἄλλος οὗτος προφήτης „γυμνός τε καὶ ἀνυπόδετος ἦν" ***), πολλάκις δὲ καὶ σάκκον ἠμπίσχετο ταπεινοφροσύνης ἔνδυμα.

§. 113. Εἰ δὲ καὶ Ἱερεμίαν καλεῖς, „λινοῦν" οὗτος περίζωμα †) εἶχε μόνον. ὡς δὲ τὰ εὐτραφῆ τῶν σωμάτων γυμνούμενα φανερωτέραν δείκνυσι τὴν ἀκμὴν, οὕτως καὶ τῶν ἠθῶν τὸ κάλλος μὴ ἐνει- P. 238 λούμενον ἀπειροκάλοις φλυαρίαις τὸ μεγαλοπρεπὲς Pott. ἐνδείκνυται. τὸ δὲ καὶ σύρειν τὰς ἐσθῆτας ἐπ' ἄκρους καθιέντας τοὺς πόδας κομιδῇ ἀλαζονικὸν, ἐμποδὼν τῇ ἐνεργείᾳ τοῦ περιπατεῖν γινόμενον, καλλύντρου δί-

*) Marc. 1, 6. **) 4 Reg. 1, 8. 2, 18. ***) Ies. 20, 2. †) Ierem. 13, 1.

κην ἐπισυρομένης τῆς ἐσθῆτος τὰς ἐπιπολαίους τῆς γῆς ἀχυρμιὰς, οὐδὲ τῶν κατεαγότων τούτων δὴ τῶν τὴν κιναιδίαν τὴν ἄφωνον ἐπὶ ταῖς σκηναῖς μετιόντων ὀρχηστῶν ἀπορρέουσαν εἰς τοσοῦτον ὕβρεως τὴν ἐσθῆτα περιορώντων, οἷς οἱ ἐπιμελεῖς στολισμοὶ καὶ τῶν κρασπέδων αἱ ἀπαιωρήσεις καὶ τῶν σχημάτων οἱ περίεργοι ῥυθμοὶ βλακείας σμικρολόγου ἐπισυρμὸν ἐμφαίνουσιν. κἂν τὸν ποδήρη τις παραφέρῃ τὸν κυρίου, ὁ ποικιλανθὴς ἐκεῖνος χιτὼν τὰ τῆς σοφίας ἄνθη δεικνύει, τὰς ποικίλας καὶ μὴ μαραινομένας γραφὰς, τὰ λόγια τὰ τοῦ κυρίου ταῖς τῆς ἀληθείας ἀπαστράπτοντα αὐγαῖς. τοιαύτην ἄλλην τὸν κύριον ἐσθῆτα διὰ τοῦ Δαβὶδ ἠμφίεσεν τὸ πνεῦμα ὧδέ πως ψάλλον· „ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον" *).

§. 114. Καθάπερ οὖν περὶ τὴν κατασκευὴν τῶν ἐσθήτων καθαρευτέον πάσης ἀτοπίας, οὕτως δὲ καὶ τῆς χρήσεως τὴν ἀμετρίαν εὐλαβητέον. οὐδὲ γὰρ ὑπὲρ γόνυ καθάπερ τὰς Λακαίνας φασὶ παρθένους ἐστολίσθαι καλόν· οὐδὲν γὰρ μέρος ὁτιοῦν ἀπογυμνοῦσθαι γυναικὸς εὐπρεπές. καίτοι δυνατὸν ἀποφθέγξασθαι μάλα κοσμίως τὴν ἀστείαν ἐκείνην φωνὴν πρὸς εἰπόντα· ‚καλὸς ὁ πῆχυς', „ἀλλ' οὐ δημόσιος", καὶ ‚κνῆμαι καλαὶ', „ἀλλὰ μόνου", φάναι, „τοῦ ἀνδρὸς, τοῦ ἀνδρὸς τοῦ ἐμοῦ", καὶ ‚πρόσωπον εὐπρεπὲς', „ἀλλὰ μόνου τοῦ γεγαμηκότος". ἐγὼ δὲ οὐδὲ τὴν αἰτίαν τῶν τοιούτων ἐπαίνων θέλω παρέχειν τὰς σώφρονας τοῖς διὰ τῶν ἐπαίνων θηρωμένοις τὰ ἐπίψογα, καὶ οὐδ' ὅτι γε παραγυμνοῦν τὸ σφυρὸν κεκώλυται μόνον, ἐγκεκαλύφθαι δὲ καὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον ἐπεσκιάσθαι προστέτακται. οὐ γὰρ ὅσιον εἶναι θήρατρον ἀνθρώπων τὸ κάλλος τοῦ σώματος. οὐδὲ ἁλουργῷ παρασκεπάσματι χρωμένην περίβλεπτον ἐθέλειν γίνεσθαι τὴν γυναῖκα εὔλογον. εἴθε γὰρ καὶ

*) Psalm. 104, 1 sq.

τῆς ἐσθῆτος οἷόν τε ἦν ἐξελεῖν τὴν πορφύραν, ὡς μὴ ἐπὶ τὸ πρόσωπον τῶν χρωμένων τοὺς θεατὰς P. 239 Pott. ἐπιστρέφειν, αἱ δὲ ὀλίγον κομιδῇ τὸ λοιπὸν τῆς ἀμπεχόνης ὑφαίνουσαι τὸ πᾶν ἁλουργὲς εἰργάσαντο ἐκφλέγουσαι τὰς ῥαθυμίας καὶ δῆτα αὐτὰς περὶ τὰς μεμωρημένας ταύτας καὶ ἁβρὰς ἀλυούσας πορφύρας κατὰ τὸ ποιητικὸν δὴ ἐκεῖνο,

ἔλλαβε πορφύρεος θάνατος*).

§. 115. *Διὰ* ταύτην γοῦν τὴν πορφύραν ἡ Τύρος καὶ ἡ Σιδὼν καὶ τῆς Λακωνικῆς ἡ γείτων τῆς θαλάσσης ποθεινόταται, ἀνάγονται δὲ εὖ μάλα καὶ οἱ βαφεῖς αὐτῶν καὶ οἱ πορφυρευταὶ καὶ αὐτὰ τὰ κογχύλια διὰ τὸ τὸ αἷμα τούτων ἐξανθεῖν τὴν πορφύραν, ἀλλὰ καὶ τοῖς λίχνοις ὑφάσμασιν ἐγκαταμιγνύουσαι οἱ δολεραὶ γυναῖκες καὶ τῶν ἀνδρῶν οἱ γυναικώδεις τὰς δολερὰς βαφὰς μαργαίνουσιν περὶ τὴν ἀμετρίαν, οὐκέτι τὰς ὀθόνας τὰς ἀπ' Αἰγύπτου, ἄλλας δέ τινας ἐκ γῆς Ἑβραίων καὶ Κιλίκων ἐκποριζόμενοι γῆς. τὰ δὲ ἀμόργινα καὶ τὰ βύσσινα σιωπῶ, ὑπερεκπέπαικεν ἡ τρυφὴ καὶ τὴν ὀνομασίαν. δεῖ δὲ τὴν σκέπην, οἶμαι, αὐτὸ αὑτοῦ κρεῖττον ἀποφαίνειν τὸ σκεπόμενον, ὡς τὸ ἄγαλμα τοῦ νεὼ καὶ τὴν ψυχὴν τοῦ σώματος καὶ τῆς ἐσθῆτος τὸ σῶμα. νυνὶ δὲ πᾶν τοὐναντίον, τὸ μὲν σῶμα αὐταῖς εἰ πιπράσκοιτο, οὐκ ἄν ποτε χιλίας εὕροι Ἀττικάς, μίαν δέ που ἐσθῆτα μυρίων ταλάντων ὠνούμεναι σφᾶς αὐτὰς ἀχρειοτέρας καὶ ἀτιμοτέρας τῶν ὑφασμάτων ἐλέγχουσιν. τί ποτ' οὖν διώκετε τὰ σπάνια καὶ πολυτελῆ πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν; ὅτι ἀγνοεῖτε τὸ ὄντως καλὸν καὶ τὸ ὄντως ἀγαθὸν, καὶ ἀντὶ τῶν ὄντων τὰ δοκοῦντα παρὰ τοῖς ἀνοήτοις σπουδάζετε, οἳ τοῖς μεμηνόσιν ἐπίσης τὰ λευκὰ ὡς μέλανα φαντάζονται.

---

*) Hom. Il. ε, 83.

Cap. XI. P. 240 Pott.

Περὶ ὑποδέσεως.

§. 116. Παραπλήσιαι δὲ καὶ περὶ τὰς ὑποδέσεις P. 89 Sylb. εἰσὶν αἱ ἀλαζόνες τὴν πολλὴν βλακείαν κἀνταῦθα ἐπιδεικνύμεναι. αἰσχρὰ γοῦν ἀληθῶς τὰ σανδάλια ἐκεῖνα, ἐφ᾽ οἷς ἐστι τὰ χρυσᾶ ἄνθεμα, ἀλλὰ καὶ τοὺς ἥλους ἑλικοειδῶς τοῖς καττύμασιν ἐγκατακρούειν ἀξιοῦσιν, πολλαὶ δὲ καὶ ἐρωτικοὺς ἀσπασμοὺς ἐγχαράττουσιν αὐτοῖς, ὡς ἂν ἐκ τῆς ἐπιβάσεως ῥυθμίζουσαι τὴν γῆν καὶ τὸ ἑταιρικὸν τοῦ φρονήματος ἐκ τοῦ βαδίσματος ἐναποσφραγίσωνται. χαίρειν οὖν ἐατέον τὰς ἐπιχρύσους καὶ διαλίθους τῶν σανδαλίων ματαιοτεχνίας καὶ κρηπῖδας Ἀττικὰς καὶ τὰς Σικυωνίας καὶ τοὺς κοθόρνους Περσικάς τε καὶ Τυρρηνικάς, προθεμένους δὲ καθὼς ἔθος τῇ ἀληθείᾳ ἡμῶν τὸν σκοπὸν τὸν ὀρθὸν τὸ κατὰ φύσιν ἐκλέγειν χρή. ἡ γὰρ χρῆσις τῶν ὑποδημάτων ἡ μὲν αὐτῶν εἰς σκέπην ποδῶν, ἡ δὲ εἰς προφυλακὴν τῶν προσπταισμάτων καὶ τῶν ὀρειβατικῶν τραχυτήτων τὴν πέλμα ποδὸς σῴζουσαν.

§. 117. Γυναιξὶ μὲν οὖν τὸ λευκὸν ὑπόδημα συγχωρητέον, πλὴν εἰ μὴ ὁδεύοιεν, τότε δὲ τῷ ἀλειπτῷ χρηστέον. ἡλωμένων δὲ δέονται τῶν καττυμάτων αἱ ὁδεύουσαι. πλὴν τὰ πολλὰ ὑποδήμασι χρηστέον αὐταῖς· οὐ γὰρ ἁρμόζει γυμνὸν ἐπιδείκνυσθαι τὸν πόδα, ἄλλως τε καὶ εὐαίσθητον εἰς βλάβην ἡ γυνή. ἀνδρὶ δὲ εὖ μάλα ἁρμόδιον ἀνυποδησία, πλὴν εἰ μὴ στρατεύοιτο. καὶ γάρ πως ἐγγὺς τὸ ὑποδεδέσθαι τῷ δεδέσθαι. ἀσκητικώτατόν γέ τοι γυμνοῖς χρῆσθαι τοῖς ποσὶν καὶ πρὸς ὑγείαν καὶ εὐκολίαν εὔθετον, ἔνθα μὴ ἀνάγκη τις διακωλύοι. εἰ δὲ μὴ ὁδεύοιμεν, ἀλλὰ μηδὲ φέροιμεν τὴν ἀνυ- P. 241 Pott. ποδησίαν, βλαύταις ἢ φαικασίοις χρηστέον, κονίποδας αὐτὰς ἐκάλουν οἱ Ἀττικοί, διὰ τὸ πελάζειν μοὶ δοκεῖ τῇ κόνει τὼ πόδε. τῆς λιτῆς ὑποδέσεως

ἀπόχρη μάρτυς Ἰωάννης οὐκ ἄξιος εἶναι ὁμολογῶν τὸν ἱμάντα τῶν ὑποδημάτων λύειν τοῦ κυρίου *). οὐ γάρ τι τῶν περιέργων ὑπεδέδετο ὁ τῆς ἀληθοῦς Ἑβραίοις φιλοσοφίας ὑποδεικνύμενος τὸν τύπον. τοῦτο δὲ εἰ καὶ αἰνίττεταί τι, ἐν ἄλλοις δηλωθήσεται.

Cap. XII.

Ὅτι οὐ χρὴ περὶ τοὺς λίθους καὶ τὸν χρυσοῦν ἐπτοῆσθαι κόσμον.

§. 118. *Λίθους δὲ πελίους ἢ χλωροὺς καὶ τῆς ἀπεξενωμένης θαλάσσης τὰ ἐκβράσματα καὶ τῆς γῆς τὰ ἐκψήγματα μειρακιῶδές ἐστι τεθηπέναι. ἐπὶ γὰρ τὰ διαυγῆ τῶν λιθιδίων καὶ τὰς ἰδιαζούσας χρόας ὑέλους τε ἵεσθαι ποικίλας οὐδὲν ἀλλ' ἢ ἀνοήτων ἐστὶν ἀνθρώπων ὑπὸ τῶν πληκτικὴν ἐχόντων φαντασίαν ἑλκομένων. ταύτῃ καὶ τὸ πῦρ τὰ παιδία θεασάμενα φέρεται ἐπ' αὐτὸ τῇ λαμπρότητι ἀγόμενα, τῆς δὲ ἐπαφήσεως τὸ ἐπισφαλὲς διὰ τὴν ἄνοιαν οὐ κατανενοηκότα. τοιοῦτοι ταῖς ἠλιθίαις οἱ λίθοι γυναιξὶ περιδούμενοι τοῖς ὅρμοις καὶ τοῖς περιδεραίοις ἐγκατακλειόμενοι ἀμέθυστοι καὶ κεραυνῖται καὶ ἰάσπιδες καὶ τοπάζιον, ἥ τε Μιλησία*

σμάραγδος, ἐμπόλημα τιμηέστατον.

*ὁ δὲ πολυτίμητος μαργαρίτης ὑπερφυῶς τῇ γυναικωνίτιδι εἰσεκώμασεν, γίνεται δὲ οὗτος ἐν ὀστρείῳ τινὶ παραπλησίῳ ταῖς πίνναις, μέγεθος δὲ ἡλίκος ἰχθύος ὀφθαλμὸς εὐμεγέθης. καὶ οὐκ αἰσχύνονται αἱ κακοδαίμονες περὶ ὄστρειον ὀλίγον τοῦτο τὴν πᾶσαν σπουδὴν πεποιημέναι, ἐξὸν ἁγίῳ κοσμεῖσθαι λίθῳ, τῷ λόγῳ τοῦ θεοῦ, ὃν „μαργαρίτην" **) ἡ γραφὴ κέκληκέν που, τὸν διαυγῆ καὶ καθαρὸν Ἰη-*

---

*) Cf. Marc. 1, 7. Luc. 3, 16. **) Matth. 13, 46.

σοῦν, τὸν ἐν σαρκὶ ἐπόπτην ὀφθαλμὸν, τὸν λόγον τὸν διαφανῆ, δι' ὃν ἡ σὰρξ τιμία ὕδατι ἀναγεννωμένη. καὶ γὰρ τὸ ὄστρειον ἐκεῖνο ἐν ὕδατι γιγνόμενον περιστέγει τὴν σάρκα, ἐκ δὲ ταύτης ὁ μαργαρίτης κυΐσκεται.

§. 119. *Λίθοις* δὲ ἁγίοις τὴν ἄνω Ἱερουσαλὴμ τετειχίσθαι*) παρειλήφαμεν, καὶ τὰς δώδεκα P. 242 τῆς οὐρανοπόλεως πύλας τιμίοις ἀπεικασμένας λίθοις Pott. τὸ περίοπτον τῆς ἀποστολικῆς φωνῆς αἰνίττεσθαι χάριτος ἐκδεχόμεθα. ἐπὶ γὰρ τῶν λίθων τῶν πολυτελῶν αἱ χρόαι τετάχαται, τίμιαι δὲ αὗται, τὰ δ' ἄλλα ὕλη γεώδης καταλείπονται. συμβολικῶς τούτοις εἰκότως τειχίζεται τῶν ἁγίων ἡ πόλις πνευματικῶς οἰκοδομουμένη. πρὸς τὸ ἄνθος οὖν τῶν λίθων τὸ ἀμίμητον τὸ ἄνθος τὸ πνεύματος τὸ ἀκήρατον καὶ ἅγιον τῆς οὐσίας νενοήκασιν· αἱ δὲ μὴ συνιεῖσαι τὸ συμβολικὸν τῶν γραφῶν ὅλαι περικεχήνασιν τοῖς λίθοις τὸν θαυμάσιον ἐκεῖνον ἀπολογισμὸν προφερόμεναι, ὃν καὶ ἔδειξεν ὁ θεὸς, διὰ τί μὴ χρησόμεθα; καὶ πάρεστί μοι, διὰ τί μὴ τρυφήσω; καὶ τίσιν οὖν ταῦτα γέγονεν, εἰ μὴ ἡμῖν; τελέως δὲ ἠγνοηκότων τὸ θέλημα τοῦ θεοῦ αἱ τοιαῦται φωναί. πρῶτον μὲν γὰρ τὰ ἀναγκαῖα καθάπερ τὸ ὕδωρ καὶ τὸν ἀέρα προφανῆ πᾶσι χορηγεῖται, τὰ δὲ ὅσα μὴ ἀναγκαῖα γῇ τε καὶ ὕδατι ἔκρυψεν.

§. 120. *Διὰ* τοῦτό τοι μύρμηκες χρυσωρυχοῦσι καὶ γρῦπες χρυσοφυλακοῦσι καὶ ἡ θάλασσα τὸν μαργαρίτην ἔκρυψεν λίθον, ὑμεῖς δὲ περίεργοι εἰς ἃ μὴ δεῖ. ἰδοὺ ὅλος ἀναπέπταται οὐρανὸς καὶ οὐ ζητεῖτε τὸν θεὸν, τὸ δὲ κεκρυμμένον χρυσίον καὶ τοὺς λίθους οἱ τὴν ἐπὶ θανάτῳ κεκριμένοι γεωρυχοῦσι παρ' ἡμῖν. ἀλλὰ καὶ τῇ γραφῇ ἀντᾴδετε βοώσης ἐκείνης διαρρήδην, „ζητεῖτε πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν" **).

---

*) Apoc. 21, 18 sq. **) Matth. 6, 33.

εἰ δὲ καὶ πάντα ὑμῖν δεδώρηται καὶ εἰ πάντα ὑμῖν συγκεχώρηται καὶ εἰ „πάντα ὑμῖν ἔξεστι", φησὶν ὁ ἀπόστολος, „ἀλλ᾽ οὐ πάντα συμφέρει" *). πα-
P. 90 Sylb. ρήγαγεν δὲ τὸ γένος ἡμῶν ἐπὶ κοινωνίᾳ ὁ θεὸς αὐτὸς τῶν ἑαυτοῦ πρότερος μεταδοὺς καὶ κοινὸν πᾶσιν ἀνθρώποις τὸν ἑαυτοῦ ἐπικουρήσας λόγον, πάντα ποιήσας ὑπὲρ πάντων. κοινὰ οὖν τὰ πάντα καὶ μὴ πλεονεκτούντων οἱ πλούσιοι. τὸ οὖν πάρεστί μοι καὶ πλεονάζει μοὶ, διὰ τί μὴ τρυφή- P. 243 Pott.
σω; οὐκ ἀνθρώπινον οὐδὲ κοινωνικὸν, ἐκεῖνο δὲ μᾶλλον ἀγαπητικὸν, πάρεστί μοι, διὰ τί μὴ μεταδῶ τοῖς δεομένοις; ὁ γὰρ τοιοῦτος ὁ τὸ „ἀγαπήσεις τὸν πλησίον σοὺ ὡς σεαυτὸν" **) πληρώσας. αὕτη γὰρ ἡ ἀληθὴς τρυφὴ ἡ θησαυριζομένη πολυτέλεια, ἡ δὲ εἰς τὰς ματαίους ἐπιθυμίας ἀνάλωσις ἀπωλείας, οὐ δαπάνης ἐπέχει λόγον. δέδωκε γὰρ ὁ θεὸς οἶδ᾽ ὅτι τῆς χρήσεως ἡμῖν τὴν ἐξουσίαν, ἀλλὰ μέχρι τοῦ ἀναγκαίου, καὶ τὴν χρῆσιν κοινὴν εἶναι βεβούλευται. ἄτοπον δὲ ἕνα τρυφᾶν πενομένων πλειόνων. πόσῳ μὲν γὰρ εὐκλεέστερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς εὐεργετεῖν; πόσῳ δὲ συνετώτερον τοῦ εἰς λίθους καὶ χρυσίον τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τῶν ἀψύχων κοσμίων τὸ φίλους κεκτῆσθαι κοσμίους; τίνα δὲ ἂν ἀγροὶ τοσοῦτον ὅσον τὸ χαρίζεσθαι ὠφελήσειαν;

§. 121. *Λείπεται* τοίνυν ἡμῖν κἀκεῖνο ἐπιλῦσαι τὸ φερόμενον, τίσιν οὖν τὰ πολυτελέστερα, ἂν αἱρῶνται πάντες τὰ εὐτελέστερα; τοῖς ἀνθρώποις, φήσαιμ᾽ ἂν, ἐὰν χωρὶς προσπαθείας καὶ διαφορᾶς χρώμεθα αὐτοῖς. εἰ δὲ ἀμήχανον πάντας σωφρονεῖν, ἀλλὰ καὶ διὰ τὴν τῶν ἀναγκαίων χρείαν τὰ εὐπόριστα μεταδιωκτέον μακρὰ τοῖς περιττοῖς τούτοις χαίρειν φράσασιν. καθόλου μὲν οὖν τὰ κόσμια ὥσπερ κοροκόσμια ἀποσκορακιστέον ὅλον καὶ αὐτὸν παραι-

---

*) 1 Cor. 10, 23. **) Matth. 19, 19.

τουμέναις τὸν κόσμον. χρὴ γὰρ εἶναι κοσμίας ἔνδοθεν καὶ τὴν τῶν ἔσω γυναῖκα δεικνύναι καλήν· ἐν μόνῃ γὰρ τῇ ψυχῇ καταφαίνεσθαι καὶ τὸ κάλλος καὶ τὸ αἶσχος. διὸ καὶ μόνος ὁ σπουδαῖος καλὸς κἀγαθὸς ὄντως ἐστὶν, καὶ μόνον τὸ καλὸν ἀγαθὸν δογματίζεται, ἡ δὲ ἀρετὴ μόνη καὶ διὰ καλοῦ τοῦ σώματος καταφαίνεται καὶ ἐπανθεῖ τῇ σαρκὶ τὸ ὡραῖον τῆς σωφροσύνης ἀξιέραστον δεικνύουσα, ὅταν οἱονεὶ φέγγος ἐπιλάμπῃ τῇ μορφῇ τὸ ἦθος. τὸ γὰρ ἑκάστου καὶ φυτοῦ καὶ ζώου κάλλος ἐν τῇ ἑκάστου ἀρετῇ εἶναι συμβέβηκεν. ἀνθρώπου δὲ ἀρετὴ, δικαιοσύνη καὶ σωφροσύνη καὶ ἀνδρία καὶ εὐσέβεια. καλὸς ἄρα ἄνθρωπος ὁ δίκαιος καὶ σώφρων καὶ συλλήβδην ὁ ἀγαθὸς, οὐχ ὁ πλούσιος. ἤδη δὲ P. 244 καὶ οἱ στρατιῶται χρυσίῳ κεκοσμῆσθαι βούλον- Pott. ται, οὐδὲ ἐκεῖνο ἀνεγνωκότες τὸ ποιητικὸν,

ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠΰτε κούρη
νηπίη *).

§. 122. Ἀλλὰ γὰρ τὴν μὲν φιλοκοσμίαν ἥκιστα ἀρετῆς ἐπιμελουμένην, σώματος δὲ ἀντιποιουμένην ἐκτραπέντος τοῦ φιλοκάλου περὶ τὴν κενοδοξίαν ἄρδην ἐκβλητέον. τὰ γὰρ μὴ οἰκεῖα τῷ σώματι ὡς οἰκεῖα προσάπτουσα μελέτην τοῦ ψεύδεσθαι καὶ ἔθος ἀπάτης ἐνεγέννησεν, οὐ τι τὸ σεμνὸν καὶ ἄπλαστον καὶ νήπιον ὡς ἀληθῶς, τὸ σοβαρὸν δὲ καὶ θρυπτικὸν καὶ ἁβροδίαιτον φαίνουσα. αἱ δὲ ἀμαυροῦσι τὸ κάλλος τὸ ἀληθινὸν ἐπισκιάζουσαι χρυσίῳ· καὶ οὐκ ἴσασι τὸ πλημμέλημα οἷόν ἐστι δεσμὰ ἑαυταῖς περιθεῖσαι πλούσια μυρία· καθάπερ καὶ

παρὰ τοῖς βαρβάροις
φασὶν δεδέσθαι τοὺς κακούργους χρυσίῳ.

τούτους ἐζηλωκέναι δοκοῦσί μοι αἱ γυναῖκες τοὺς δεσμώτας τοὺς πλουσίους. ἦ γὰρ οὐχὶ κλοιὸς τὸ χρυ-

---

*) Hom. Iliad. β. 872 sq.

σοῦν ἐστὶ περιδέραιον, καὶ οἱ στρεπτοὶ οἵ τε καθετῆρες καλούμενοι ἁλύσεων ἐπέχοντες τρόπον καὶ παρὰ τοῖς Ἀττικοῖς αὐτῷ τούτῳ τῷ ὀνόματι ἁλύσεις κέκληνται. πέδας δὲ περισφυρίους τὴν περὶ τοὺς πόδας ἀκοσμίαν τῶν γυναικῶν Φιλήμων ἐν συνεφήβῳ προσεῖπεν·

ἱμάτια διαφαίνοντα καὶ πέδην τινὰ
χρυσῆν.

§. 123. Τί οὖν ἔτι ὁ καλλωπισμὸς ὁ ζηλωτὸς ἢ ἐθέλειν ὑμᾶς, ὦ γυναῖκες, σφᾶς αὐτὰς φαίνεσθαι πεπεδημένας; εἰ γὰρ ἡ ὕλη τὸ ὄνειδος ὑπεκλύει, τὸ πάθος ἀδιάφορον. ἔμοιγ᾽ οὖν δοκοῦσιν ἑκουσίως περιπίπτουσαι δεσμοῖς αὐχεῖν ἐπὶ συμφοραῖς πλουσίαις. ἴσως δὲ καὶ ὁ ποιητικος μῦθος τοιούτους δεσμοὺς μοιχευομένῃ τῇ Ἀφροδίτῃ περιβεβλῆσθαι λέγει, οὐδὲν ἀλλ᾽ ἢ μοιχείας σύμβολον αἰνιττόμενος τὰ κόσμια· χρυσοῦς γὰρ εἶπε κἀκείνους Ὅμηρος τοὺς δεσμούς. ἤδη δὲ τὰ φανερώτατα τοῦ πονηροῦ σύμβολα οὐκ αἰσχύνονται περικείμεναι. ὡς γὰρ τὴν Εὔαν ὁ ὄφις ἠπάτησεν, οὕτω δὲ καὶ P. 245
τὰς ἄλλας γυναῖκας ὁ κόσμος ὁ χρυσοῦς δελέατι Pott.
προσχρώμενος τοῦ ὄφεως τῷ σχήματι ἐξέμηνεν εἰς ὕβρεις, σμυραίνας τινὰς καὶ ὄφεις ἀποπλαττομένας εἰς εὐπρέπειαν. λέγει γοῦν ὁ κωμικὸς Νικόστρατος,

ἁλύσεις, καθετῆρας, δακτυλίους, βουβάλι᾽, ὄφεις,
περισκελίδας, ἐλλέβορον.

§. 124. Πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀριστοφάνης ἐν θεσμοφοριαζούσαις ὑποδείκνυσιν. παραθήσομαι δὲ αὐτὰς τοῦ κωμικοῦ τὰς λέξεις διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας·

α. μίτρας, ἀναδήματα,
λίτρον, κίσηριν, στρόφον, ὀπισθοσφενδόνην,
κάλυμμα, φῦκος, περιδέραι᾽, ὑπογράμματα,
τρυφοκαλάσιριν, * * *, κεκρύφαλον,

ζῶμ', ἀμπέχονον, τρύφημα, παρυφὲς, ξυστίδα,
χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον·
τὰ μέγιστα δ' οὐκ εἴρηκα τούτων. β. εἶτα τί;
α. διόπας, διάλιθον, πλάστρα, μαλάχιον, βότρυν,
χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας, P. 246 Pott.
P. 91 Sylb. σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλάσματα,
πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια,
ὑποδερίδας, ἑλικτῆρας.

ἐγὼ μὲν ἔκαμον καὶ ἄχθομαι λέγων τὸ πλῆθος τῶν κοσμίων, τὰς δὲ καὶ θαυμάζειν ἔπεισί μοι, ὡς ἄρα οὐκ ἀποκναίονται τοσοῦτον ἄχθος βαστάζουσαι.

§. 125. Ὦ τῆς κενῆς πολυπραγμοσύνης, ὢ τῆς ματαίας δοξομανίας· ἐκχέουσιν ἑταιρικῶς τὸν πλοῦτον εἰς ὄνειδος, καὶ τοῦ θεοῦ τὰ δωρήματα ἀπειροκαλίᾳ παραχαράττουσι ζηλοῦσαι τοῦ πονηροῦ τὴν τέχνην. σαφῶς δὲ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ τὸν πλούσιον τὸν θησαυρίζοντα εἰς τὰς ἀποθήκας καὶ πρὸς ἑαυτὸν λέγοντα „ἔχεις ἀγαθὰ πολλὰ ἀποκείμενα εἰς ἔτη πολλὰ, φάγε, πίε, εὐφραίνου", ἄφρονα κέκληκεν, „ταύτῃ γὰρ τῇ νυκτὶ τὴν ψυχήν σου παραλαμβάνουσιν. ἃ οὖν ἡτοίμασας, τίνος γένηται" *); Ἀπελλῆς ὁ ζωγράφος θεασάμενός τινα τῶν μαθητῶν Ἑλένην ὀνόματι πολύχρυσον γράψαντα, ὦ μειράκιον, εἶπεν, μὴ δυνάμενος γράψαι καλὴν πλουσίαν πεποίηκας. τοιαῦται τοίνυν Ἑλέναι αἱ νῦν εἰσὶ γυναῖκες, οὐ καλαὶ γνησίως, πεπλασμέναι δὲ πλουσίως.

§. 126. Ταύταις προφητεύει διὰ τοῦ Σοφονίου τὸ πνεῦμα· „καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου" **). ταῖς δὲ ὑπὸ Χριστοῦ παιδαγωγουμέναις οὐ χρυσίῳ κοσμεῖσθαι προσήκει, ἀλλὰ τῷ λόγῳ, δι' οὗ μόνου καταφαίνεται τὸ χρυσίον.

*) Luc. 12, 19 sq. **) Sophon. 1, 18.

μακάριοι μὲν τἂν ἦσαν οἱ παλαιοὶ τῶν Ἑβραίων, εἰ περιελόμενοι τὸν κόσμον τῶν γυναικῶν ἔρριψαν ἢ ἐχώνευσαν μόνον, νυνὶ δὲ εἰς βοῦν χρυσοχοήσαντες καὶ τούτῳ εἰδωλολατρήσαντες αὐτοὶ μὲν οὖν οὐκ ὤναντο οὔτε τῆς τέχνης οὔτε τῆς ἐπιβολῆς, ἐδίδαξαν δὲ ἡμῶν τὰς γυναῖκας τυπικώτατα κοσμίων ἀπεσχῆσθαι. τὸ γοῦν ἐκπορνεῦσαν τῆς ἐπιθυμίας εἰς χρυσίον εἴδωλον γίνεται βασανιζόμενον πυρὶ, ᾧ μόνῳ τηρεῖται τρυφὴ καθάπερ εἴδωλον, οὐκ ἀλήθεια. ἐντεῦθεν ὀνειδίζων ὁ λόγος διὰ τοῦ προφήτου τοὺς Ἑβραίους, „ἀργυρᾶ καὶ χρυσᾶ", φησὶν, „ἐποίησαν τῇ Βαάλ" *), κόσμια δηλονότι, καὶ ἐναργέστατα ἐπαπειλῶν „καὶ ἐκδικήσω", λέγει, „ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλεὶμ, ἐν αἷς ἐπέθυσαν αὐτῇ καὶ περιετίθετο τὰ ἐνώτια ἑαυτῆς καὶ τὰ καθόρμια αὐτῆς" **). καὶ τὴν αἰτίαν τοῦ κοσμήματος ἐπήγαγεν εἰπών· „καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει κύριος". P. 247

§. 127. Ἀποθέμενοι τοίνυν τοὺς λήρους Pott. αὐτῷ πονηρῷ σοφιστῇ τοῦ ἑταιρικοῦ τούτου μὴ μετεχόντων καλλωπισμοῦ μηδὲ εἰδωλολατρούντων διὰ παραπετάσματος εὐπρεποῦς. πάνυ γοῦν θαυμασίως ὁ Πέτρος ὁ μακάριος, „γυναῖκας", φησὶν, „ὡσαύτως μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν σφᾶς αὐτὰς κοσμουσῶν" ***). καὶ γὰρ εἰκότως ἀπεῖναι αὐτῶν τὸν καλλωπισμὸν κελεύει, εἰ μὲν γὰρ καλαὶ εἶεν, ἀπόχρη ἡ φύσις, μὴ φιλονικείτω ἡ τέχνη πρὸς τὴν φύσιν, τουτέστιν ἀπάτη ἀληθείᾳ μὴ ἐριζέτω· εἰ δὲ αἰσχραὶ φύσει, ἐλέγχουσιν ἐξ ὧν προσάπτουσιν ἃ μὴ ἔχουσιν.

§. 128. Προσήκει τοίνυν λιτότητα ἀσπάζεσθαι

---

*) Hos. 2, 8. **) Ibid. v. 13. ***) 1 Timoth. 2, 9 sq.

τὰς Χριστῷ λατρευούσας. τῷ ὄντι γὰρ ἡ λιτότης ἁγιοσύνης προμηθεῖται ἐξισοῦσα τὰς πλεονεξίας καὶ διὰ τῶν τυχόντων τὴν ἀπὸ τῶν περιττῶν κομιζομένη χρείαν. τὸ γὰρ λιτὸν, ᾗ καὶ τοὔνομα ἐμφαίνει, οὐκ ἐξέχει οὐδὲ κατά τι ὀγκοῦται ἢ τυφοῦται, ὁμαλὸν δὲ ὅλον καὶ λεῖον καὶ ἴσον καὶ ἀπέριττον καὶ ταύτῃ ἱκανόν ἐστιν, ἱκανότης δὲ ἕξις ἐστὶν ἐξικνουμένη πρὸς τὸ οἰκεῖον πέρας ἀνελλιπῶς καὶ ἀπερίττως· μήτηρ δὲ αὐτῶν ἡ δικαιοσύνη, τιθηνὴ δὲ ἡ αὐτάρκεια. αὕτη γοῦν τοι ἕξις ἐστὶν ἀρκουμένη οἷς δεῖ καὶ δι' αὑτῆς ποριστικὴ τῶν πρὸς τὸν μακάριον συντελούντων βίον.

§. 129. Ἔστω οὖν ἐπὶ μὲν καρποῖς τῶν χειρῶν ὑμῶν κόσμος ἅγιος, εὐμετάδοτος κοινωνία καὶ ἔργα οἰκουρίας. „ὁ γὰρ διδοὺς πτωχῷ δανείζει θεῷ" *), καὶ „χεῖρες ἀνδρείων πλουτίζουσιν" **). ἀνδρείους τοὺς καταφρονοῦντας χρημάτων καὶ περὶ τὰς μεταδόσεις εὐκόλους εἴρηκεν. ἐπὶ δὲ τῶν ποδῶν ἡ ἄοκνος πρὸς εὐποιίαν ἑτοιμότης ἐπιφαινέσθω καὶ ἡ πρὸς δικαιοσύνην ὁδοιπορία. καθετῆρες δὲ καὶ περιδέραια αἰδὼς καὶ σωφροσύνη εἰσίν. τοιούτους ὅρμους χρυσοχοεῖ ὁ θεός. „μακάριος ἄνθρωπος, ὃς εὗρεν σοφίαν, καὶ θνητὸς, ὃς οἶδε φρόνησιν," διὰ Σολομῶντος τὸ πνεῦμα, „κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύθῆναι ἢ χρυσίου καὶ ἀργυρίου θησαυροὺς, τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν" ***). αὕτη γὰρ ἡ ἀληθινὴ εὐκοσμία. τὰ δὲ ὦτα αὐταῖς P. 248
παρὰ φύσιν μὴ τιτράσθω εἰς ἀπάρτησιν ἐλλοβίων καὶ Pott.
πλάστρων· οὔτε γὰρ θέμις βιάζεσθαι τὴν φύσιν, παρ' ὃ βεβούληται, οὔτε μὴν ἄλλος ἀμείνων ἂν εἴη τῶν ὤτων κόσμος εἰς τοὺς κατὰ φύσιν τῆς ἀκοῆς καταβαίνων πόρους κατηχήσεως ἀληθοῦς. ὀφθαλ-

*) Prouerb. 19, 17. **) Ibid. 10, 4. ***) Ibid. 8, 13 — 15.

μοὶ δὲ ὑπαληλιμμένοι λόγῳ καὶ ὦτα εἰς αἴσθησιν διατετρημένα θείων ἀκουστὴν καὶ ἁγίων ἐπόπτην παρασκευάζουσιν δεικνύντος ὡς ἀληθῶς τοῦ λόγου τὸ κάλλος τὸ ἀληθινὸν, „ὃ ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσε πρότερον“ *).

Κλήμεντος παιδαγωγοῦ τῶν εἰς τρία τὸ δεύτερον.

---

*) 1 Cor. 2, 9.

ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ἈΛΕΞΑΝΔΡΕΩΣ ΠΑΙΔΑΓΩΓΟΥ ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

P. 92 Sylb. **CLEMENTIS ALEXANDRINI** P. 250 Pott.

PAEDAGOGI LIBER TERTIUS.

Argumentum.

Cap. I. De vera pulcritudine (§. 1 — 3.). C. II. Non esse fuco vtendum (§. 4 — 14.). C. III. Aduersus viros, qui formam nimium colant (§. 15 — 25.). C. IV. Quorum consuetudine vtamur (§. 26 — 30.). C. V. Quomodo in balneis se gerere oporteat (§. 31 — 33.). C. VI. Solum diuitem esse Christianum (§. 34 — 36.). C. VII. Pulcrum viaticum Christiano esse frugalitatem (§. 37—40.). C. VIII. Similitudines et exempla esse rectae doctrinae partem maximam (§. 41 — 45.). C. IX. Quanam de caussa sit ad balneum accedendum (§. 46 — 48.). C. X. Exercitia quoque esse eligenda iis, qui vitam agunt rationi consentaneam (§. 49 — 52.). C. XI. Compendiosa optimae vitae pertractatio (§. 53 — 83.). C. XII. Percursio eiusdem modi breuis optimae vitae; et quot loci scripturae sacrae vitam Christianorum describant (§. 84 — 100.).

Cap. I.

Περὶ τοῦ κάλλους τοῦ ἀληθινοῦ.

§. 1. Ἦν ἄρα ὡς ἔοικε πάντων μέγιστον μαθημάτων τὸ γνῶναι αὐτόν· ἑαυτὸν γάρ τις ἐὰν γνῴη, θεὸν εἴσεται, θεὸν δὲ εἰδὼς *) ἐξομοιω-

*) Cf. 1 Ioann. 3, 2.

θήσεται θεῷ, οὐ χρυσοφορῶν οὐδὲ ποδηροφορῶν, ἀλλὰ ἀγαθοεργῶν καὶ ὅτι μάλιστα ὀλιγίστων δεόμενος; ἀνενδεὴς δὲ μόνος ὁ θεὸς καὶ χαίρει μάλιστα μὲν καθαρεύοντας ἡμᾶς ὁρῶν τῷ τῆς διανοίας κόσμῳ, ἔπειτα δὲ καὶ τῷ τοῦ σώματος ἁγνὴν στολὴν, σωφροσύνην, περιβεβλημένῳ. τριγενοῦς οὖν ὑπαρχούσης τῆς ψυχῆς τὸ νοερὸν, ὃ δὴ λογιστικὸν καλεῖται, ὁ ἄνθρωπός ἐστιν ὁ ἔνδον, ὁ τοῦ φαινομένου τοῦδε ἄρχων ἀνθρώπου, αὐτὸν δὲ ἐκεῖνον ἄλλος ἄγει, ὁ θεός· τὸ δὲ θυμικὸν θηριῶδες ὂν πλησίον μανίας οἰκεῖ, πολύμορφον δὲ τὸ ἐπιθυμητικὸν καὶ τρίτον ὑπὲρ τὸν Πρωτέα τὸν θαλάττιον δαίμονα ποικίλον, ἄλλοτε ἄλλως μετασχηματιζόμενον εἰς μοιχείας καὶ λαγνείας καὶ εἰς φθορὰς ἐξαρεσκευόμενον·

ἤτοι μὲν πρώτιστα λέων γένετ' ἠϋγένειος*),

ἔτι φέρων τὸν καλλωπισμὸν ἄνδρα δείκνυσιν ἡ P. 251 Pott.
τοῦ γενείου κόμη·

αὐτὰρ ἔπειτα δράκων ἠὲ πάρδαλις ἠδὲ μέγας σῦς,

κατώλισθεν εἰς τὴν ἀσέλγειαν ἡ φιλοκοσμία. οὐκέτι καρτερῷ θηρίῳ ἄνθρωπος φαίνεται,

γίγνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον.

ἐκχεῖται τὰ πάθη, ἐκβλύζονται αἱ ἡδοναὶ, μαραίνεται τὸ κάλλος καὶ θᾶττον ἀποπίπτει τοῦ πετάλου χαμαὶ, ὅταν αὐτοῦ καταπνεύσωσιν αἱ ἐρωτικαὶ τῆς ὕβρεως λαίλαπες καὶ πρὶν ἢ τὸ μετόπωρον ἐλθεῖν μαραίνεται τῇ φθορᾷ· πάντα γὰρ ἡ ἐπιθυμία γίνεταί τε καὶ πλάττεται καὶ φενακίζειν βούλεται, ἵνα κατακρύψῃ τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος ἐκεῖνος, ᾧ σύνοικος ὁ λόγος, οὐ ποικίλλεται, οὐ πλάττεται, μορφὴν ἔχει τὴν τοῦ λόγου, ἐξομοιοῦται τῷ θεῷ, καλός ἐστιν, οὐ καλλωπίζεται· κάλλος ἐστὶ τὸ ἀληθινὸν, καὶ γὰρ ὁ θεός ἐστιν, θεὸς δὲ ἐκεῖνος ὁ ἄνθρωπος γίνεται, ὅτι βούλεται ὁ θεός.

§. 2. Ὀρθῶς ἄρα εἶπεν Ἡράκλειτος, ἄνθρω-

---

*) Hom. Od. δ. 457 sqq.

ποι θεοὶ, θεοὶ ἄνθρωποι· λόγος γὰρ ωὐτὸς μυστήριον ἐμφανές. θεὸς ἐν ἀνθρώπῳ καὶ ὁ ἄνθρωπος θεὸς καὶ τὸ θέλημα τοῦ πατρὸς ὁ μεσίτης ἐκτελεῖ· μεσίτης γὰρ ὁ λόγος ὁ κοινὸς ἀμφοῖν, θεοῦ μὲν υἱὸς, σωτὴρ δὲ ἀνθρώπων, καὶ τοῦ μὲν διάκονος, ἡμῶν δὲ παιδαγωγός. δούλης δὲ οὔσης τῆς σαρκὸς, καθὼς καὶ ὁ Παῦλος μαρτυρεῖ, πῶς ἄν τις εἰκότως τὴν θεράπαιναν κοσμοίη προαγωγοῦ δίκην; ὅτι γὰρ δούλου μορφὴ τὸ σαρκικὸν, ἐπὶ τοῦ κυρίου φησὶν ὁ ἀπόστολος, „ὅτι ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν" *), τὸν ἐκτὸς ἄνθρωπον, δοῦλον προσειπὼν πρὶν ἢ δουλεῦσαι καὶ σαρκοφορῆσαι τὸν κύριον. ὁ δὲ συμπαθὴς θεὸς αὐτὸς ἠλευθέρωσεν τὴν σάρκα τῆς φθορᾶς καὶ δουλείας τῆς θανατηφόρου καὶ πικρᾶς ἀπαλλάξας τὴν ἀφθαρσίαν περιέθηκεν αὐτῇ, ἅγιον τοῦτο τῇ σαρκὶ καὶ ἀϊδιότητος καλλώπισμα περιθεὶς, τὴν ἀθανασίαν.

§. 3. Ἔστι δὲ καὶ ἄλλο κάλλος ἀνθρώπων ἀγάπη· „ἀγάπη δὲ" κατὰ τὸν ἀπόστολον „μακροθυμεῖ, χρηστεύεται, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται" **). περπερεία γὰρ ὁ καλλωπισμὸς περιττότητος καὶ ἀχρειότητος ἔχων ἔμφασιν. διὸ καὶ ἐπιφέρει· „οὐκ ἀσχημονεῖ", ἄσχημον γὰρ τὸ ἀλλότριον [P. 252 Pott.] καὶ μὴ κατὰ φύσιν σχῆμα, τὸ δ' ἐπίπλαστον ἀλλότριον, ὅπερ ἐξηγεῖται σαφῶς „οὐ ζητεῖ" φήσας „τὸ μὴ ἑαυτῆς", τὸ γὰρ ἴδιον ἡ ἀλήθεια τὸ οἰκεῖον καλεῖ, τὸ δ' ἀλλότριον ἡ φιλοκοσμία ζητεῖ ἐκτὸς οὖσα καὶ τοῦ θεοῦ καὶ τοῦ λόγου καὶ τῆς ἀγάπης. τὸν δὲ κύριον αὐτὸν τὴν ὄψιν αἰσχρὸν γεγονέναι διὰ Ἡσαΐου τὸ πνεῦμα μαρτυρεῖ· „καὶ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς ἀνθρώπους" ***). καὶ τίς ἀμείνων ἦν κυρίου; ἀλλ' οὐ τὸ κάλλος τῆς σαρκὸς τὸ φανταστικὸν, τὸ δὲ ἀληθινὸν

*) Philipp. 2, 7. **) 1 Cor. 13, 4 sq. ***) Ies. 53, 2 sq.

καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐνεδείξατο κάλλος, τῆς μὲν τὸ εὐεργετικὸν, τὸ δὲ ἀθάνατον τῆς σαρκός.

Cap. II.

Ὅτι οὐ χρὴ καλλωπίζεσθαι.

§. 4. Οὐκ ἄρα ἡ πρόσοψις τοῦ ἐκτὸς ἀνθρώπου, ἀλλὰ ἡ ψυχὴ καλλωπιστέα τῷ τῆς καλοκἀγαθίας κοσμήματι. εἴη δ' ἂν καὶ τὴν σάρκα εἰπεῖν τῷ τῆς ἐγκρατείας κόσμῳ. αἱ δὲ τὴν ἐπιφάνειαν καλλωπιζόμεναι καὶ τὰ βάθη χερσούμεναι λελήθασι σφᾶς αὐτὰς κατὰ τοὺς Αἰγυπτίων κόσμους, οἷς ναοὶ καὶ προπύλαια παρ' αὐτοῖς καὶ προτεμενίσματα ἐξήσκηται ἄλση τε καὶ ὀργάδες κίοσί τε παμπόλλοις ἐστεφάνωνται αἱ αὐλαὶ, τοῖχοι δὲ ἀποστίλβουσι ξενικοῖς [P. 93 Sylb.] λίθοις καὶ γραφῆς ἐντέχνου οἷς ἐνδεῖ οὐδὲ ἕν, χρυσῷ δὲ καὶ ἀργύρῳ καὶ ἠλέκτρῳ παραστίλβουσιν οἱ ναοὶ, καὶ τοῖς ἀπὸ Ἰνδίας καὶ Αἰθιοπίας πεποικιλμένοις μαρμαίρουσι λιθιδίοις, τὰ δὲ ἄδυτα χρυσοπάστοις ἐπισκιάζεται πέπλοις, ἀλλ' ἢν παρεισέλθῃς τὸ βάθος τοῦ περιβόλου καὶ σπεύδων ἐπὶ τὴν θέαν τοῦ κρείττονος ζητήσῃς τὸ ἄγαλμα τὸ ἔνοικον τοῦ [P. 253 Pott.] νεὼ, παστοφόρος δὲ ἤ τις ἄλλος τῶν ἱεροποιούντων περὶ τὸ τέμενος σεμνὸν δεδορκὼς, παιᾶνα τῇ Αἰγυπτίων ᾄδων γλώσσῃ, ὀλίγον ἐπαναστείλας τοῦ καταπετάσματος, ὡς δείξων τὸν θεὸν, πλατὺν ἡμῖν ἐνδίδωσι γέλωτα τοῦ σεβάσματος. οὐ γὰρ θεὸς ὁ ζητούμενος ἔνδον εὑρεθήσεται, ἐφ' ὃν ἐσπεύσαμεν, αἴλουρος δὲ ἢ κροκόδειλος ἢ αὐτόχθων ὄφις ἤ τι τοιοῦτον θηρίον, ἀνάξιον μὲν τοῦ νεὼ, χηραμοῦ δὲ ἢ φωλεοῦ ἢ βορβόρου ἀντάξιον· ὁ θεὸς Αἰγυπτίων ἐπὶ στρωμνῆς ἁλουργῆς καταφαίνεται κυλιόμενον θηρίον.

§. 5. Ταύτῃ μοὶ δοκοῦσιν αἱ χρυσοφοροῦσαι γυναῖκες τῶν πλοκάμων τοὺς ἐνουλισμοὺς ἀσκοῦσαι,

χρίσματά τε παρειῶν καὶ ὑπογραφὰς ὀφθαλμῶν καὶ βαφὰς μετιοῦσαι τριχῶν καὶ τὴν ἄλλην βλακείαν κακομηχανώμεναι, κοσμοῦσαι τὸν περίβολον τὸν σαρκικὸν, αἰγυπτιάζουσαι ὡς ἀληθῶς ἐπισπᾶσθαι τοὺς δεισιδαίμονας ἐραστάς. ἀλλ' ἢν ἀποκαλύψῃ τις τὸ καταπέτασμα τοῦ νεὼ, τὸ κεκρύφαλον λέγω, τὴν βαφὴν, τὴν ἐσθῆτα, τὸ χρυσίον, τὸ φῦκος, τὰ ἐντρίμματα, τουτέστι τὸ ἐκ τούτων συγκείμενον ὕφος, τὸ καταπέτασμα, ὡς ἔνδον εὑρήσων τὸ κάλλος τὸ ἀληθινὸν, μυσάξεται, εὖ οἶδ' ἐγώ. οὐ γὰρ τὴν εἰκόνα τοῦ θεοῦ κατοικοῦσαν ἔνδον εὑρήσει τὴν ἀξιόλογον, πόρνη δὲ ἀντ' αὐτῆς καὶ μοιχαλὶς τῆς ψυχῆς κατείληφε τὸ ἄδυτον τό τε ἀληθινὸν θηρίον ἐλεγχθήσεται ψιμυθίῳ πίθηκος ἐντετριμμένος καὶ ὁ παλίμβολος ὄφις ἐκεῖνος διαβιβρώσκων τὸ νοερὸν τῆς ἀνθρώπου διὰ τῆς φιλοδοξίας χηραμὸν ἔχειν τὴν ψυχήν· πάντα φαρμάκων ὀληθρίων ἐμπλήσας καὶ τὸν ἑαυτοῖ τῆς πλάνης ἐνερευξάμενος ἰὸν μετεσκεύασε τὰς γυναῖκας εἰς πόρνας ὁ προαγωγὸς οὗτος δράκων· οὐ γὰρ γυναικὸς, ἀλλ' ἑταίρας τὸ φιλόκοσμον, αἱ τῆς παρὰ μὲν [τοῖς] ἀνδράσιν οἰκουρίας ὀλίγον φροντίζουσιν, λύσασαι δὲ τἀνδρὸς τὸ βαλάντιον ἐκτρέπουσι τὰς χορηγίας εἰς ἐπιθυμίας, ὡς πολλοὺς ἔχοιεν τοῦ καλαὶ δοκεῖν εἶναι μάρτυρας, καὶ τὴν πᾶσαν ἡμέραν κομμωτικῇ προσκαθεζόμεναι ἀργυρωνήτοις σχολάζουσιν ἀνδραπόδοις.

§. 6. Καθάπερ οὖν ὄψον πονηρὸν ἡδύνουσι τὴν σάρκα καὶ τὴν μὲν ἡμέραν κομμωτικῇ προστετήκασι θαλαμευόμεναι, μὴ ἐλεγχθῶσιν ἀνθιζόμεναι, ἑσπέρας δὲ καθάπερ ἐκ φωλεοῦ πρὸς τὸν λύχνον τὸ νόθον τοῦτο προσέρπει κάλλος· συνεργεῖ γὰρ καὶ P. 254
ἡ μέθη καὶ τὸ ἀμυδρὸν τοῦ φωτὸς πρὸς τὴν ἐπί- Pott.
θεσιν αὐτῶν. καὶ τὴν μὲν ξανθίζουσαν τοὺς πλοκάμους ὁ κωμικὸς Μένανδρος εἴργει τῆς οἰκίας·

νῦν δ' ἕρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γὰρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν,

ἀλλ' οὐδὲ τὰς παρειὰς φυκοῦν οὐδὲ τοὺς ὀφθαλμοὺς ὑπογράφεσθαι. λελήθασι δὲ σφᾶς αἱ κακοδαίμονες τὸ οἰκεῖον ἀπολλύουσαι κάλλος τοῦ ὀθνείου τῇ ἐπεισαγωγῇ, ἅμα γοῦν ἡμέρᾳ σπαρασσόμεναι καὶ ἀποτεινόμεναι καὶ φυράμασί τισι καταπλαττόμεναι ψύχουσι μὲν τὸν χρῶτα, ὀρύττουσι δὲ τὴν σάρκα τοῖς φαρμάκοις καὶ τῇ περιεργίᾳ τῶν ῥυμμάτων τὸ οἰκεῖον μαραίνουσαι ἄνθος. διὰ τοῦτό τοι ὠχραὶ μὲν ἐκ καταπλασμάτων καταφαίνονται, εὐάλωτοι δὲ ὑπὸ νόσων γίνονται τακερὰν ἤδη τὴν σάρκα φαρμάκοις τὴν ἐσκιαγραφημένην ἔχουσαι, τῶν ἀνθρώπων τὸν δημιουργὸν ἀτιμάζουσαι, ὡς οὐ κατ' ἀξίαν δεδωρημένον τὸ κάλλος. εἰκότως ἀργαὶ πρὸς οἰκουρίας γίνονται, καθάπερ ἐζωγραφημέναι, καθεζόμεναι εἰς θέαν, οὐκ εἰς οἰκουρίαν γεγενημέναι.

§. 7. Διὰ τοῦτό τοι καὶ ἡ παρὰ τῷ κωμικῷ ἐπιλογιστικὴ γυνὴ λέγει·

τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίμεθα
ἢ λαμπρὸν, αἳ καθήμεθ' ἐξηνθισμέναι,

τῶν ἐλευθέρων γυναικῶν λυμαινόμεναι τὸν χαρακτῆρα, οἴκων ἀνατροπὰς καὶ γάμων ἐκτροπὰς καὶ παίδων διαβολὰς περιποιούμεναι. τοῦτο αὐτὸ γάρτοι καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν μαλθακῇ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἐπισκώπτει τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξηυρημένα λέγων· P. 255 Pott.

ἔρχεται,
μετέρχετ' αὖ, προσέρχετ' αὖ, μετέρχεται,
ἥκει, πάρεστι, ῥύπτεται, προσέρχεται,
σμῆται, κτενίζετ', ἐκβέβηκε, τρίβεται,
λοῦται, σκοπεῖται, στέλλεται, μυρίζεται,
κοσμεῖτ', ἀλείφετ'· ἂν δ' ἔχῃ τι, ἀπάγχεται.

τρὶς γὰρ, οὐχ ἅπαξ ἀπολωλέναι δίκαιαι κροκοδείλων ἀποπάτοις χρώμεναι καὶ σηπεδόνων ἀφροῖς ἐγχριόμεναι, καὶ ταῖς ὀφρύσι τὴν ἀσβόλην ἀναματτόμεναι καὶ ψιμυθίῳ τὰς παρειὰς ἐντριβόμεναι.

§. 8. *Αἱ τοίνυν καὶ τοῖς ἐθνικοῖς προσκορεῖς ποιηταῖς διὰ τὸν τρόπον πῶς οὐκ ἂν ἀπόβλητοι τῇ ἀληθείᾳ γένοιντο; ἕτερος γοῦν κωμικὸς ἐλέγχων αὐτὰς, Ἄλεξις· καὶ γὰρ καὶ τούτου παραθήσομαι τὴν λέξιν δυσωποῦσαν τῷ περιέργῳ τῆς ἑρμηνείας τὸ ἀδιάτρεπτον τῆς ἀναισχυντίας· οὐ γὰρ εἰς τοσοῦτον περίεργος ἦν. ἐγὼ δὲ αἰσχύνομαι κωμῳδουμένης εἰς τοσοῦτον τῆς γυναικωνίτιδος εἰ βοηθὸς γενοίμην· εἶτα μέντοι προσαπολλύει καὶ τὸν ἄνδρα·*

πρῶτα μὲν γὰρ εἰς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς πέλας P. 256 Pott.
*πάντα τἄλλ᾽ αὐταῖς πάρεργα γίγνεται *****
τυγχάνει μικρά τις οὖσα· φελλὸς ἐν ταῖς βαυκίσιν
P. 94 Sylb. *ἐγκεκάττυται. μικρά τις· διάβαθρον λεπτὸν φορεῖ,*
τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ᾽ ἐξέρχεται·
τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία·
ὑπενέδυσ᾽ ἐρραμμέν᾽ αὐτὴν, ὥστε τὴν εὐπυγίαν
ἀναβοᾶν τοὺς εἰσιδόντας. κοιλίαν ἁδρὰν ἔχει·
τιτθί᾽ ἔστ᾽ αὐταῖσι τούτων ὧν ἔχουσ᾽ οἱ κωμικοὶ,
ὀρθὰ προσθεῖσαι τοιαῦτα τοὔνδυτον τῆς κοιλίας
ὡσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ᾽ ἀπήγαγον.
τὰς ὀφρῦς πυρρὰς ἔχει τις· ζωγραφοῦσιν ἀσβόλῳ.
συμβέβηκ᾽ εἶναι μέλαιναν· κατέπλασε ψιμυθίῳ·
λευκόχρως λίαν τις ἐστί· παιδέρωτ᾽ ἐντρίβεται.
καλὸν ἔχει τοῦ σώματός τι· τοῦτο γυμνὸν δείκνυται.
εὐφυεῖς ὀδόντας ἔσχεν· ἐξ ἀνάγκης δεῖ γελᾶν,
ἵνα θεωρῶσ᾽ οἱ παρόντες τὸ στόμ᾽ ὡς κομψὸν φορεῖ.
ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ τὴν ἡμέραν
[ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ᾽ ἑκάστοτε,
ἡνίκ᾽ ἂν πωλῶσιν αἰγῶν κρανία,] ξυλήφιον
μυρρίνης ἔχουσα λεπτὸν [ὀρθὸν] ἐν τοῖς χείλεσιν,
ὥστε τῷ χρόνῳ σέσηρεν, ἄν τε βούλητ᾽ ἄν τε μή.

§. 9. *Ταῦτα ὑμῖν εἰς τὴν ἀποτροπὴν τῆς φιλοκόσμου κακομηχανίας ἐκ σοφίας κοσμικῆς παρατίθεμαι παμμάχως σώζειν ἐθελήσαντος ἡμᾶς τοῦ λόγου, μετὰ μικρὸν δὲ καὶ ταῖς θείαις ἐπιστύφω γρα-* P. 257 Pott.

φαῖς. φιλεῖ δέ πως τὸ μὴ λανθάνον δι' αἰσχύνην τῶν ἐλέγχων ἀφίστασθαι τῶν ἁμαρτημάτων. ὡς δὲ ἡ καταπεπλασμένη χεὶρ καὶ ὁ περιαληλιμμένος ὀφθαλμὸς ὑπόνοιαν τοῦ νοσοῦντος ἐκ τῆς ὄψεως ἐνδείκνυνται, οὕτως τὰ ἐντρίμματα καὶ αἱ βαφαὶ νοσοῦσαν ἐν βάθει τὴν ψυχὴν αἰνίττονται. ἡμῖν δὲ „παριέναι ποταμὸν ἀλλότριον" ὁ θεῖος παραινεῖ παιδαγωγὸς, τὴν ἀλλοτρίαν γυναῖκα, τὴν μάχλον, ποταμὸν ἀλλότριον ἀλληγορῶν, πᾶσιν ἐπιρρέουσαν, πᾶσιν δι' ἀσέλγειαν πορνικὴν εἰς τρυφὴν ἐκχεομένην· „ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχου", φησὶν, „καὶ ἀπο πηγῆς ἀλλοτρίας μὴ πίῃς" *), τὸ ῥεῦμα τῆς ἡδυπαθείας φυλάξασθαι παραινῶν, ἵνα πολὺν ζήσωμεν χρόνον, προστεθῇ δὲ ἡμῖν ἔτη ζωῆς εἴτε ἀλλοτρίαν ἡδονὴν μὴ θηρωμένοις εἴτε καὶ τὰς αἱρέσεις ἐκτρεπομένοις.

§. 10. Φιλοψία μὲν οὖν καὶ φιλοινία εἰ καὶ πάθη μεγάλα, ἀλλ' οὐ τοσαῦτα τὸ μέγεθος, ὁπόση ἡ φιλοκοσμία. τράπεζα πλήρης καὶ κύλικες ἐπάλληλοι ἱκαναὶ πληρῶσαι τὴν λαιμαργίαν, τοῖς δὲ φιλοχρύσοις καὶ φιλοπορφύροις καὶ φιλολίθοις οὔτε ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸς αὐτάρκης οὔτε ἡ Τυρίων θάλασσα οὔτε μὴν ὁ φόρτος ὁ ἀπ' Ἰνδῶν καὶ Αἰθιόπων, ἀλλ' οὐδὲ ὁ Πακτωλὸς ὁ ῥέων τὸν πλοῦτον, οὐδ' ἂν Μίδας τις αὐτῶν γένηται, πεπλήρωται, ἀλλὰ ἔτι πένης ἐστὶ πλοῦτον ἄλλον ποθῶν, ἕτοιμοι δὲ οὗτοι συναποθανεῖν χρυσίῳ. εἰ δὲ καὶ ὁ Πλοῦτος τυφλὸς ὥσπερ οὖν αἱ περὶ αὐτὸν ἐπτοημέναι καὶ συμπαθοῦσαι πῶς οὐ τυφλώττουσιν; ὅρον γοῦν ἐπιθυμίας οὐκ ἔχουσαι εἰς ἀναισχυντίαν ἐξοκέλλουσιν· δεῖ γὰρ αὐταῖς καὶ θεάτρου καὶ πομπῆς καὶ πλήθους θεατῶν καὶ πλάνης ἐν ἱεροῖς καὶ τῆς ἐν ταῖς ἀμφόδοις διατριβῆς, ὡς πᾶσιν αὐτὰς γίνεσθαι καταφανεῖς. κοσμοῦνται γὰρ ἵνα ἄλλοις ἀρέσκοιεν αἱ ἐν προσώπῳ καυχώμε-

*) Prouerb. 9, 18.

ναι, οὐκ ἐν καρδίᾳ· ὡς γὰρ τὸν δραπέτην τὰ P. 258 Pott. στίγματα, οὕτω τὴν μοιχαλίδα δείκνυσι τὰ ἀνθίσματα. „κἂν περιβάλῃ κόκκινον καὶ κοσμήσῃ κόσμῳ χρυσῷ, καὶ ἐὰν χρίσῃ στίμμι τοὺς ὀφθαλμούς σου, εἰς μάτην ὁ ὡραϊσμός σου" *), ὁ λόγος διὰ Ἱερεμίου φησίν.

§. 11. Εἶτα οὐκ ἄτοπον ἵππους μὲν καὶ ὄρνεις καὶ τὰ ἄλλα ζῶα ἐκ τῆς χλόης καὶ τῶν λειμώνων ἀνίστασθαι καὶ ἀνίπτασθαι οἰκείῳ κόσμῳ χαίροντα, χαίτῃ ἱππικῇ καὶ χροιᾷ φυσικῇ καὶ πτερώσει ποικίλῃ· ὡς δὲ ἐνδεέστερον καὶ τῆς θηρίου φύσεως ἡ γυνὴ ἀκαλλὴς εἰς τοσοῦτον εἶναι οἴεται, ὡς ὀθνείου δεῖσθαι κάλλους, ὠνητοῦ καὶ σκιαγραφουμένου; κεκρύφαλοι μέν γε καὶ κεκρυφάλων διαφοραὶ καὶ περίεργοι πλοκαὶ, ἀλλὰ καὶ τῶν τριχῶν οἱ μυρίοι σχηματισμοὶ κατόπτρων τε πολυτίμητοι κατασκευαὶ, οἷς κατασχηματίζονται θηρῶσαι τοὺς δίκην παίδων ἀφρόνων περὶ τὰς μορφὰς ἐπτοημένους, τέλειον ἀπηρυθριακυιῶν ἐστὶ γυναικῶν, ἃς ἑταίρας καλῶν οὐκ ἂν τις ἀφαμάρτοι προσωπεῖα ποιούσας τὰ πρόσωπα. ἡμῖν δὲ ὁ λόγος παραινεῖ „μὴ σκοπεῖν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια" **). ὃ δὲ καὶ πέρα τῆς ἀτοπίας προβέβηκεν, τῆς ἐπιπλάστου μορφῆς τῆς ἑαυτῶν οἷον ἀνδραγαθήματός τινος ἢ ἐπανορθώματος κάτοπτρα ἐπινενοήκασιν, ἐφ᾽ ἧς ἀπάτης μάλιστα κάλυμμα ἐπιτιθέναι ἐχρῆν, οὐδὲ γὰρ, ὡς ὁ μῦθος Ἑλλήνων ἔχει, Ναρκίσσῳ προεχώρησεν τῷ καλῷ τῆς ἑαυτοῦ εἰκόνος γενέσθαι θεατήν.

§. 12. Εἰ δὲ οὐδεμίαν εἰκόνα ὁ Μωϋσῆς παραγγέλλει ποιεῖσθαι τοῖς ἀνθρώποις ἀντίτεχνον τῷ θεῷ, πῶς ἂν εὐλόγως ποιοῖεν αἱ γυναῖκες αὗται σφῶν κατὰ ἀνάκλασιν ἀπομιμούμεναι τὰς εἰκόνας εἰς τοῦ προσώπου τὴν ψευδοποιίαν; ἀλλὰ καὶ τῷ Σαμουὴλ τῷ προφήτῃ, ὁπότε πέμπεται ἕνα χρίσαι τῶν υἱῶν Ἰεσσαὶ εἰς βασιλέα καὶ τὸν πρεσβύτατον τῶν παίδων

---

*) Ierem. 4, 30. **) 2 Cor. 4, 18.

αὐτοῦ καλὸν καὶ μέγαν ἰδόντι, ὁπότε τὸ χρίσμα προσέβαλεν ὁ Σαμουὴλ, ἠσθεὶς ἐπ᾽ αὐτῷ, „εἶπεν", φησὶν, „ὁ κύριος αὐτῷ· μὴ ἐπιβλέψῃς εἰς τὴν ὄψιν αὐτοῦ καὶ τὸ ὕψος τοῦ μεγέθους αὐτοῦ, ὅτι ἀπῶσμαι αὐτόν. ἄνθρωπος μὲν γὰρ εἰς ὀφθαλμοὺς ὄψεται καὶ κύριος εἰς καρδίαν" *), καὶ οὐκ ἔχρισε τὸν P. 95 Sylb. καλὸν τὸ σῶμα, ἀλλὰ τὸν καλὸν τὴν ψυχήν. εἰ P. 259 Pott. οὖν τὸ φυσικὸν τοῦ σώματος κάλλος ἔλαττον τοῦ ψυχικοῦ λογίζεται κύριος, τί περὶ τοῦ νόθου φρονεῖ ἅπαν τὸ ψεῦσμα ἄρδην ἐκβαλών; „διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους" **). σαφέστατα γοῦν ὁ κύριος διὰ τοῦ Ἀβραὰμ διδάσκει καὶ πατρίδος ***) καὶ συγγενῶν καὶ κτήσεως καὶ πλούτου παντὸς καταφρονεῖν τὸν ἑπόμενον τῷ θεῷ, ποιήσας αὐτὸν ἔπηλυν, καὶ διὰ τοῦτο καὶ „φίλον" †) αὐτὸν ὠνόμασεν τῆς οἴκοι καταφρονήσαντα περιουσίας· εὐπατρίδης γὰρ ἦν καὶ εὔπορος σφόδρα. τριακοσίοις γοῦν καὶ ὀκτὼ καὶ δέκα ††) οἰκέταις ἰδίοις κεχείρωται τοὺς τέσσαρας βασιλεῖς τοὺς αἰχμαλωτεύσαντας τὸν Λώτ. μόνην εὑρίσκομεν τὴν Ἐσθὴρ †††) δικαίως κοσμουμένην. ἐκαλλωπίζετο μυστικῶς ἡ γυνὴ βασιλεῖ τῷ ἑαυτῆς, ἀλλὰ τὸ κάλλος αὐτῆς ἐκεῖνο λύτρον εὑρίσκεται φονευομένου λαοῦ.

§. 13. Ὅτι δὲ ἑταίρας μὲν ποιεῖ τὰς γυναῖκας ὁ καλλωπισμὸς, ἀνδρογύνους δὲ τοὺς ἄνδρας καὶ μοιχικοὺς, μάρτυς ἡμῖν ὁ τραγικὸς διηγούμενος ὧδέ πως·

ἐλθὼν δ᾽ ἐκ Φρυγῶν ὁ τὰς θεὰς
κρίνων ὅδ᾽, ὡς ὁ μῦθος Ἀργείων ἔχει,
Λακεδαίμον᾽, ἀνθηρὸς μὲν εἱμάτων στολῇ
χρυσῷ τε λαμπρὸς βαρβάρῳ χλιδήματι,
ἐρῶν ἐρῶσαν ᾤχετ᾽ ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ᾽ ἔκδημον λαβὼν
Μενέλαον.

---

*) 1 Reg. 16, 7. **) 2 Cor. 5, 7. ***) Genes. 12, 1 sq. †) Iac. 2, 23. ††) Genes. 14, 14 sq. †††) Esth. c. 5.

ὢ κάλλους μοιχικοῦ· ἀνέτρεψε τὴν Ἑλλάδα ἡ βάρβαρος φιλοκοσμία καὶ ἡ ἀνδρόγυνος τρυφή· σωφροσύνην διέφθειρε Λακωνικὴν ἐσθὴς καὶ χλιδὴ καὶ κάλλος ὡραῖον· αἱ βάρβαροι φιλοκοσμίαι ἑταίραν ἤλεγξαν τὴν Διὸς θυγατέρα. οὐκ ἦν παιδαγωγὸς αὐτοῖς ἀνακόπτων τὰς ἐπιθυμίας, οὐδὲ μὲν ὁ λέγων, „μὴ μοιχεύσῃς", οὐδὲ „μὴ ἐπιθυμήσῃς" *) λέγων, μηδὲ εἰς μοιχείαν ὁδεύσῃς διὰ ἐπιθυμίας, ἀλλὰ μηδὲ τὰς ὀρέξεις ἐκκαύσῃς διὰ φιλοκοσμίας. οἷον αὐτοῖς τὸ ἐπὶ τούτοις ἐξηκολούθησε τέλος καὶ ὅσων ἀπέλαυσαν κακῶν οἱ φιλαυτίαν κωλῦσαι μὴ θελήσαντες ἤπειροι κεκίνηνται δύο ἀπαιδεύτοις ἡδοναῖς καὶ κλονεῖται τὰ πάντα μειρακίῳ βαρβάρῳ· Ἑλλὰς ὅλη ναυτίλλεται, στενοχωρεῖται δὲ ἡ θάλασσα ἠπείρους φέρουσα· πόλεμος ἐκριπίζεται μακρὸς καὶ μάχαι καταρρήγνυνται καρτεραὶ καὶ νεκρῶν ἐμπίπλαται τὰ πεδία· ἐνυβρίζει τῷ ναυστάθμῳ ὁ βάρβαρος· ἀδικία κρατεῖ καὶ P. 260 Pott. τοῦ ποιητοῦ Διὸς ἐκείνου τὸ ὄμμα τοὺς Θρᾷκας βλέπει· εὐγενὲς αἷμα βάρβαρα πίνει πεδία καὶ ποταμῶν ῥεύματα σώμασιν ἵσταται νεκροῖς· στήθη κρούεται θρήνοις καὶ τὸ πένθος ἐπινέμεται τὴν γῆν, πάντες δὲ σείονται

πόδες πολυπιδάκου Ἴδης
καὶ κορυφαὶ Τρώων τε πόλεις καὶ νῆες Ἀχαιῶν **).

§. 14. Πῆ φύγωμεν, Ὅμηρε, καὶ στῶμεν; δεῖξον ἡμῖν γῆν μὴ κεκινημένην. μὴ θίγῃς ἡνίων, παιδίον, ἄπειρος ὤν, μηδὲ ἀναβῇς τὸν δίφρον ἐλαύνειν μὴ μαθών. δυσὶν ἡνιόχοις οὐρανὸς ἥδεται, οἷς μόνοις ἐλαυνόμενον ἄγεται τὸ πῦρ· μετάγεται γὰρ ἡ διάνοια ὑπὸ ἡδονῆς, καὶ τὸ ἀκήρατον τοῦ λογισμοῦ μὴ παιδαγωγούμενον τῷ λόγῳ εἰς ἀσέλγειαν κατολισθαίνει καὶ μισθὸν τοῦ παραπτώματος τὸ ἀπόπτωμα λαμβάνει. δεῖγμά σοι τούτων οἱ ἄγγελοι τοῦ θεοῦ τὸ κάλλος καταλελοιπότες διὰ κάλλος μαραινόμενον

---

*) Exod. 20, 13. 17. **) Hom. Il, v. 59 sq.

καὶ τοσοῦτον ἐξ οὐρανῶν ἀποπεσόντες χαμαί. ἀλλὰ καὶ Σικιμῖται κολάζονται καταπεπτωκότες τὴν ἁγίαν ὑβρίζοντες παρθένον, τάφος ἡ κόλασις αὐτοῖς καὶ τὸ μνημόσυνον τῆς ἐπιτιμίας εἰς σωτηρίαν παιδαγωγεῖ.

Cap. III.

P. 261 Pott.

Πρὸς τοὺς καλλωπιζομένους τῶν ἀνδρῶν.

§. 15. *Εἰς τοσοῦτον δὲ ἄρα ἐλήλακεν ἡ χλιδὴ, ὡς μὴ τὸ θῆλυ μόνον νοσεῖν περὶ τὴν κενοσπουδίαν ταύτην, ἀλλὰ καὶ τοὺς ἄνδρας ζηλοῦν τὴν νόσον. μὴ γὰρ καθαρεύοντες καλλωπισμοῦ οὐχ ὑγιαίνουσιν, πρὸς δὲ τὸ μαλθακώτερον ἀποκλίναντες γυναικίζονται, κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι, χλανίσι δὲ διαφανέσι*

περιπεπεμμένοι,

καὶ μαστίχην τρώγοντες, ὄζοντες μύρον.

τί ἄν τις φαίη τούτους ἰδών; ἀτεχνῶς καθάπερ μετωποσκόπος ἐκ τοῦ σχήματος αὐτοὺς καταμαντεύεται μοιχούς τε καὶ ἀνδρογύνους, ἀμφοτέραν ἀφροδίτην θηρωμένους, μισότριχας, ἄτριχας, τὸ ἄνθος τὸ ἀνδρικὸν μυσαττομένους, τὰς κόμας δὲ, ὥσπερ αἱ γυναῖκες, κοσμουμένους. ἐπ᾽ οὐχ ὁσίοις δὲ τόλμαις οἱ παλίμβολοι

ζῶντας ῥέζουσιν ἀτάσθαλα καὶ κακὰ ἔργα,

φησὶν ἡ Σίβυλλα. διὰ τούτους γοῦν πλήρεις αἱ πόλεις πιττούντων, ζυρούντων, παρατιλλόντων τοὺς θηλυδρίας τούτους, ἐργαστήρια δὲ κατεσκεύασται καὶ ἀνέῳκται πάντη καὶ τεχνῖται τῆς ἑταιρικῆς ταύτης πορνείας συχνὸν ἐμπολῶσιν ἀργύριον ἐμφανῶς, οἳ σφᾶς καταπιττοῦσιν, καὶ τὰς τρίχας τοῖς ἀνασπῶσι πάντα τρόπον παρέχουσιν, οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας, ἀλλ᾽ οὐδὲ ἑαυτοὺς ἄνδρας ὄντας· τοιοῦτοι γὰρ οἱ τῶν ἀγενεστέρων ζη-

λωταὶ παθῶν ἅπαν τὸ σῶμα τοῖς βιαίοις τῆς πίττης ὁλκοῖς λελειουργημένοι.

§. 16. Μέλει δὲ οὐδ᾽ ὁπωστιοῦν περαιτέρω τῆς τοιαύτης προβαίνειν ἀναισχυντίας. εἰ γὰρ μηδὲν ἄπρακτον αὐτοῖς ὑπολείπεται, οὐδὲ ἐμοὶ ἄρρητον. ἕνα τινὰ τούτων τῶν ἀγεννῶν παιδαγωγικῶς
P. 96 Sylb. ἐπιπλήττων ὁ Διογένης ὁπηνίκα ἐπιπράσκετο, ἀνδρείως σφόδρα, ἧκε, εἶπεν, μειράκιον, ἄνδρα ὤνησαι σαυτῷ, ἀμφιβόλῳ λόγῳ τὸ πορνικὸν ἐκείνου σωφρονίζων. τὸ γὰρ ἄνδρας ὄντας ξυρᾶσθαι καὶ λεαίνεσθαι πῶς οὐκ ἀγεννές; βαφὰς δέ τινας τριχῶν καὶ χρίσματα πολιῶν καὶ ξανθίσματα ἀνδρογύνων ἐξώλων ἐπιτηδεύματα, καὶ τοὺς διακτενισμοὺς αὐτῶν τοὺς θηλυδριώδεις μεθετέον. ἡγοῦνται γὰρ P. 262 Pott.
καθάπερ ὄφις τῆς κεφαλῆς ἀπεκδύσασθαι τὸ γῆρας μεταγράφοντες ἑαυτοὺς καὶ νεοποιοῦντες, εἰ καὶ σοφίσονται τὰς τρίχας, ἀλλ᾽ οὐ τὰς ῥυτίδας διαφεύξονται, ἀλλ᾽ οὐ λήσονται τὸν θάνατον σοφιζόμενοι τὸν χρόνον. οὐ γὰρ δεινὸν, οὐ δεινὸν γέροντ᾽ ἂν δοκεῖν τὸ εἶναι λαθεῖν μὴ δυνάμενον. ὅσῳ γοῦν ὁ ἄνθρωπος σπεύδει πρὸς τὸ τέλος, τοσούτῳ τιμιώτερος πρὸς ἀλήθειαν, μόνον ἔχων αὐτοῦ πρεσβύτερον τὸν θεὸν, ἐπεὶ κἀκεῖνος ἀΐδιος γέρων ὁ τῶν ὄντων πρεσβύτερος· „παλαιὸν ἡμερῶν" κέκληκεν αὐτὸν ἡ προφητεία, „καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν" *), ὁ προφήτης λέγει. οὐδεὶς δὲ ἄλλος, φησὶν ὁ κύριος, „δύναται ποιῆσαι τρίχα λευκὴν ἢ μέλαιναν" **).

§. 17. Πῶς οὖν ἀντιδημιουργοῦσι τῷ θεῷ, μᾶλλον δὲ ἀντικεῖσθαι βιάζονται οἱ ἄθεοι τὴν ὑπ᾽ αὐτοῦ πεπολιωμένην παραχαράττοντες τρίχα; „στέφανος δὲ γερόντων πολυπειρία" ***), φησὶν ἡ γραφὴ, καὶ τοῦ προσώπου ἡ πολιὰ ἄνθος πολυπειρίας· οἱ δὲ

---

*) **Dan. 7, 9.** **) **Matth. 5, 36.** ***) **Eccles. 25, 6.**

τὸ πρεσβεῖον τῆς ἡλικίας, τὸν πολιέα, καταισχύνουσιν. οὐκ ἔστι δὲ, οὐκ ἔστιν ἀληθινὴν ἐνδεικνύναι τὴν ψυχὴν τὸν κίβδηλον ἔχοντα κεφαλήν. „ὑμεῖς δὲ οὐχ οὕτως“, φησὶν, „ἐμάθετε τὸν Χριστὸν, εἴ γε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον“, οὐ τὸν πολιὸν, ἀλλὰ „τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ“, μὴ βαφαῖς καὶ καλλωπίσμασιν, ἀλλὰ „τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας“ *). ἄνδρα δὲ ὄντα κτενίζεσθαι καὶ ἀποκείρεσθαι ξυρῷ πρὸς εὐπρέπειαν καὶ πρὸς τὸ ἔσοπτρον διατιθέμενον τὰς τρίχας, ξύρεσθαί τε καὶ ἀποτίλλεσθαι καὶ λεαίνεσθαι τὰς γένυς πῶς οὐ γυναικεῖον; καὶ εἰ μή τις αὐτοὺς γυμνοὺς ἴδοι, κἂν γυναῖκας ὑπολάβοι. εἰ γὰρ μὴ χρυσοφορεῖν καὶ αὐτοῖς ἐφεῖται, ἀλλ᾽ οὖν γε διὰ τὴν θηλυδριώδη ἐπιθυμίαν ἱμάντας καὶ λώματα χρυσίου περιπτύξαντες πετάλοις ἤ τινα σφαιρικὰ τῆς αὐτῆς ὕλης ποιησάμενοι σχήματα σφυρῶν ἀπαρτῶνται καὶ τραχήλων ἀπαιωροῦσι.

§. 18. Σόφισμα τοῦτο κατεαγότων ἀνθρώπων εἰς τὴν γυναικωνῖτιν κατασυρομένων ἀμφιβίων καὶ λάγνων θηρίων· πορνικὸς τῆς ἐνέδρας ὁ τρόπος καὶ ἄθεος οὗτος. ὁ γὰρ θεὸς τὴν μὲν γυναῖκα λείαν P. 263 Pott.
ἠθέλησεν εἶναι, αὐτοφυῇ τῇ κόμῃ μόνῃ ὥσπερ ἵππον τῇ χαίτῃ γαυρουμένην, τὸν δὲ ἄνδρα καθάπερ τοὺς λέοντας γενείοις κοσμήσας καὶ τοῖς λασίοις ἠνδρωσε στήθεσι· δεῖγμα τοῦτο ἀλκῆς καὶ ἀρχῆς. ταύτῃ καὶ τοὺς ἀλεκτρυόνας τοὺς ὑπερμαχοῦντας τῶν ὀρνίθων καθάπερ κόρυσι τοῖς κάλλεσιν ἐκαλλώπισεν. καὶ οὕτως περὶ πολλοῦ τὰς τρίχας ταύτας ὁ θεὸς ἡγεῖται, ὥστε ἅμα φρονήσει κελεύειν παραγίνε-

*) Ephes. 4, 20—24.

σθαι αὐτὰς τοῖς ἀνδράσι, καὶ δὴ ἀγασθεὶς τῇ σεμνότητι τὸ βλοσυρὸν τοῦ θεάματος γεραρᾷ τετίμηκεν πολιᾷ. φρόνησις δὲ καὶ ἀκριβεῖς λογισμοὶ πολιοὶ συνέσει συνακμάζουσι τῷ χρόνῳ, καὶ τὸ γῆρας ἐνισχύουσι τῷ τόνῳ τῆς πολυπειρίας ἄνθος ἀξιέραστον φρονήσεως σεμνῆς εἰς πίστιν εὔλογον προτείνοντες πολιάν.

§. 19. Τοῦτο οὖν τοῦ ἀνδρὸς τὸ σύνθημα, τὸ γένειον, δι᾽ οὗ καταφαίνεται ὁ ἀνὴρ, πρεσβύτερόν ἐστι τῆς Εὔας καὶ σύμβολον τῆς κρείττονος φύσεως· τούτῳ πρέπειν ἐδικαίωσε τὸ λάσιον θεὸς καὶ διέσπειρεν παρὰ πᾶν τὸ σῶμα τοῦ ἀνδρὸς τὰς τρίχας, τὸ δὲ ὅσον λεῖον αὐτοῦ καὶ μαλθακὸν ἀφείλετο τῆς πλευρᾶς εἰς ὑποδοχὴν σπέρματος εὐαφῆ τὴν Εὔαν δημιουργήσας γυναῖκα βοηθὸν οὖσαν γενέσεως καὶ οἰκουρίας. ὁ δὲ, προήκατο γὰρ τὸ λεῖον, ἔμεινέν τε ἀνὴρ καὶ τὸν ἄνδρα δεικνύει· καὶ τὸ δρᾶν αὐτῷ συγκεχώρηται, ὡς ἐκείνῃ τὸ πάσχειν. ξηρότερα γὰρ φύσει καὶ θερμότερα τὰ δασέα τῶν ψιλῶν ἐστίν. διὸ καὶ τὰ ἄρρενα τῶν θηλειῶν καὶ τὰ ἔνορχα τῶν ἐκτομίων καὶ τὰ τέλεια τῶν ἀτελῶν δασύτερά τέ ἐστιν καὶ θερμότερα. τὸ οὖν τῆς ἀνδρώδους φύσεως σύμβολον, τὸ λάσιον, παρανομεῖν ἀνόσιον, τὸ δὲ καλλώπισμα τῆς λειάνσεως, θερμαίνομαι γὰρ ὑπὸ τοῦ λόγου, εἰ μὲν ἐπὶ τοὺς ἄνδρας, θηλυδρίου, εἰ δὲ ἐπὶ τὰς γυναῖκας, μοιχοῦ· ἄμφω δὲ ὅτι μάλιστα πορρωτάτω τῆς ἡμετέρας ἐκτοπιστέον πολιτείας. „ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠριθμημέναι" *), φησὶν ὁ κύριος· ἠρίθμηνται δὲ καὶ ἐπὶ τῷ γενείῳ καὶ μὴν καὶ αἱ παρ᾽ ὅλον τὸ σῶμα.

§. 20. Οὐδ᾽ ὁπωστιοῦν ἐκτιλτέον παρὰ τὴν προαίρεσιν τοῦ θεοῦ τὴν ἐγκατηριθμημένην τῷ αὐτοῦ θελήματι· „εἰ μή τι οὐκ ἐπιγιγνώσκετε ἑαυτοὺς", φησὶν ὁ ἀπόστολος, „ὅτι Χριστὸς Ἰησοῦς ἐν ὑμῖν"**),

*) Matth. 10, 30. **) 2 Cor. 13, 5.

ὃν εἰ ἐνοικοῦντα ᾔδειμεν, οὐκ οἶδ᾽ ὅπως ἂν αὐτὸν
λωβᾶσθαι τετολμήκειμεν. τὸ δὲ καὶ πιττοῦσθαι—
ὀκνῶ καὶ λέγειν τὴν περὶ τοὔργον ἀσχημοσύνην— P. 264
ἀπεστραμμένους καὶ κεκυφότας καὶ τῆς φύσεως τὰ Pott.
ἀπόρρητα εἰς τὸ συμφανὲς ἀπογυμνοῦντας, ἐξορχουμένους καὶ λορδουμένους, ἀπερυθριῶσι σχήμασιν οὐκ
ἀπερυθριῶντας αὐτούς, ἐν αὐτῇ νεολαίᾳ καὶ γυμνα-
P. 97 σίῳ μέσῳ, ἔνθα ἀρετὴ ἀνδρῶν ἐξετάζεται, ἀσχη-
Sylb. μονοῦντας, τὸ παρὰ φύσιν τοῦτο διώκοντας ἐπιτήδευμα, πῶς οὐχὶ τῆς ἐσχάτης ἀσελγείας ἐστίν; οἱ γὰρ ἐν τῷ φανερῷ τοιαῦτα διαπραττόμενοι σχολῇ γ᾽ ἂν αἰδεσθεῖεν οἴκοι τινάς. καταμαρτυρεῖ δὲ αὐτῶν ἡ ἐν τῷ δημοσίῳ ἀναισχυντία τὴν ἐν τῷ ἀφανεῖ ἐπ᾽ ἐξουσίας ἀκολασίαν· ὁ γὰρ ὑπὸ τὰς αὐγὰς τὸν ἄνδρα ἀρνούμενος πρόδηλός ἐστι νύκτωρ ἐλεγχόμενος γυνή. „οὐκ ἔσται δὲ", εἶπεν ὁ λόγος διὰ Μωϋσέως, „ἀπὸ θυγατέρων Ἰσραὴλ πόρνη καὶ οὐκ ἔσται ὁ πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ" *). ἀλλ᾽ ὠφελεῖ, φησίν, ἡ πίττα. ἀλλὰ διαβάλλει, φημί· οὐκ ἂν δὲ ἠθέλησέ τις εὖ φρονῶν πόρνος εἶναι δοκεῖν, μὴ νοσῶν, καὶ διαβάλλειν ἐπιτηδεύειν τὴν καλὴν εἰκόνα. οὔκουν ἑκὼν βουληθείη τις. „εἰ γὰρ τοὺς κατὰ πρόθεσιν κλητοὺς προέγνω ὁ θεὸς συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ", δι᾽ οὓς κατὰ τὸν ἀπόστολον μακάριον ὥρισεν, „εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς" **), πῶς οὐκ ἄθεοι τὸ σύμμορφον τοῦ κυρίου λωβώμενοι σῶμα; ἀνδρὶ δὲ βουλομένῳ εἶναι καλῷ τὸ κάλλιστον ἐν ἀνθρώπῳ τὴν διάνοιαν κοσμητέον, ἣν καθ᾽ ἑκάστην ἡμέραν εὐπρεπεστέραν ἐπιδεικτέον· παρατιλτέον δὲ οὐ τὰς τρίχας, ἀλλὰ τὰς ἐπιθυμίας.

§. 21. Ἐγὼ καὶ τῶν ἀνδροκαπήλων τὰ παιδάρια ἐλεῶ εἰς ὕβριν κοσμούμενα, ἀλλ᾽ οὐχ ὑφ᾽ ἑαυτῶν λελώβηται, κελευόμενα δὲ εἰς αἰσχροκέρδειαν τὰ δύστηνα καλλωπίζεται. οἱ δὲ ἑκόντες ταῦτα αἱρού-

*) Deuter. 23, 17. **) Rom. 8, 28 sq.

μενοι δρᾶν, ἃ κελευόμενοι, θανάτῳ ἂν ἐτιμήσαντο, εἰ ἄνδρες ἦσαν, πῶς οὐ κατάπτυστοι; καὶ νῦν μὲν εἰς τοσοῦτον ἀκολασίας ἐλήλακεν ὁ βίος ἐντρυφώσης ἀδικίας, καὶ τὸ λάγνον πᾶν ἐπικέχυται ταῖς πόλεσι νόμος γενόμενον· ἐπὶ τέγους ἑστᾶσι παρ᾽ αὐτοῖς τὴν σάρκα τὴν ἑαυτῶν εἰς ὕβριν ἡδονῆς πιπράσκουσαι γυναῖκες, καὶ παῖδες ἀρνεῖσθαι τὴν φύσιν δεδιδαγμένοι προσποιοῦνται γυναῖκες. πάντα μετακεκίνηκεν ἡ τρυφὴ, κατῄσχυνε τὸν ἄνθρωπον, ἁβροδίαιτος περιεργία πάντα ζητεῖ, πάντα ἐπιχειρεῖ, βιάζεται πάντα, συγχέει τὴν φύσιν, τὰ γυναικῶν οἱ ἄνδρες πεπόνθασιν καὶ γυναῖκες ἀνδρίζονται παρὰ φύσιν γαμούμεναί τε καὶ γαμοῦσαι γυναῖκες. πόρος δὲ P. 265 Pott. οὐδεὶς ἄβατος ἀκολασίας· κοινὴ δὲ αὐτοῖς ἀφροδίτη δημεύεται, συνέστιος τρυφή. ὢ τοῦ ἐλεεινοῦ θεάματος, ὢ τοῦ ἀρρήτου ἐπιτηδεύματος· τρόπαια ταῦτα τῆς πολιτικῆς ὑμῶν ἀκρασίας δείκνυται, τῶν ἔργων ὁ ἔλεγχος αἱ χαμαίτυπαι. φεῦ τῆς τοσαύτης ἀνομίας. ἀλλ᾽ οὐδὲ συνίασιν οἱ ταλαίπωροι, ὡς τὸ ἄδηλον τῆς συνουσίας πολλὰς ἐργάζεται τραγῳδίας. παιδὶ πορνεύσαντι καὶ μαχλώσαις θυγατράσιν ἀγνοήσαντες πολλάκις μίγνυνται πατέρες, οὐ μεμνημένοι τῶν ἐκτεθέντων παιδίων, καὶ ἄνδρας δείκνυσι τοὺς γεγεννηκότας ἀκρασίας ἐξουσία.

§. 22. Ταῦτα οἱ σοφοὶ τῶν νόμων ἐπιτρέπουσιν, ἔξεστιν αὐτοῖς ἁμαρτεῖν κατὰ νόμον, καὶ τὸ ἀπόρρητον τῆς ἡδονῆς εὐκολίαν λέγουσιν. μοιχείας ἀπηλλάχθαι νομίζουσιν οἱ μοιχεύοντες τὴν φύσιν, ἕπεται δὲ αὐτοῖς τῶν τολμημάτων τιμωρὸς ἡ δίκη, καὶ καθ᾽ ἑαυτῶν ἀπαραίτητον ἐπισπώμενοι συμφορὰν, ὀλίγου νομίσματος ὠνοῦνται θάνατον. τούτων ἔμποροι τῶν φορτίων οἱ κακοδαίμονες πλέουσιν, ὡς σῖτον, ὡς οἶνον, πορνείαν ἀγώγιμον φέροντες. ἄλλοι δὲ ἀθλιώτεροι μακρῷ ὡς ἄρτον, ὡς ὄψον, ἀγοράζουσιν ἡδονὰς, οὐδὲ ἐκεῖνο ἐν νῷ λαβόντες τὸ Μωϋσέως· „οὐ βεβηλώσεις τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτὴν, καὶ

οὐκ ἐκπορνεύσει ἡ γῆ καὶ ἡ γῆ πλησθήσεται ἀνομίας" *). ταῦτα προεφητεύετο πάλαι, ἀρίδηλος δὲ ἡ ἔκβασις· πᾶσα ἤδη πεπλήρωται γῆ καὶ πορνείας καὶ ἀνομίας.

§. 23. Ἄγαμαι τοὺς παλαιοὺς Ῥωμαίων νομοθέτας· ἀνδρόγυνον ἐμίσησαν ἐπιτήδευσιν οὗτοι, καὶ τοῦ σώματος τὴν πρὸς τὸ θῆλυ κοινωνίαν παρὰ τὸν τῆς φύσεως νόμον ὀρύγματος κατηξίωσαν P. 266 κατὰ τὸν τῆς δικαιοσύνης νόμον. οὐ γὰρ θέμις Pott. ἐκτῖλαί ποτε τὸ γένειον, τὸ κάλλος τὸ σύμφυτον, τὸ γενναῖον κάλλος·

πρῶτον ὑπηνήτην, οὗπερ χαριεστάτη ἥβη **).

προβαίνων δὲ ἤδη ἐπαλείφεται γανούμενος πώγωνι, ἐφ' ὃν κατέβαινε τὸ μύρον τὸ προφητικὸν Ἀαρὼν τιμωμένου ***). χρὴ δὲ τὸν ὀρθῶς παιδαγωγούμενον, ἐφ' ὃν ἡ εἰρήνη κατεσκήνωσεν καὶ πρὸς τὰς ἑαυτοῦ τρίχας εἰρήνην ἄγειν. τί τοίνυν οὐκ ἂν ἐπιτηδεύσειαν αἱ γυναῖκες αἱ εἰς μαχλοσύνην σπεύδουσαι, τοιαῦτα τολμῶσιν ἐνοπτριζόμεναι τοῖς ἀνδράσιν; μᾶλλον δὲ οὐκ ἄνδρας, βατάλους δὲ καὶ γύννιδας καλεῖν τούτους χρή, ὧν καὶ αἱ φωναὶ τεθρυμμέναι καὶ ἡ ἐσθὴς τεθηλυμμένη ἁφῇ καὶ βαφῇ. δῆλοι δὲ οἱ τοιοῦτοι ἐλεγχόμενοι τὸν τρόπον ἔξωθεν ἀμπεχόνῃ, ὑποδέσει, σχήματι, βαδίσματι, κουρᾷ, βλέμματι· „ἀπὸ ὁράσεως γὰρ ἐπιγνωσθήσεται ἀνήρ", ἡ γραφὴ λέγει, „καὶ ἀπὸ ἀπαντήσεως ἀνθρώπου ἐπιγνωσθήσεται ἄνθρωπος, στολισμὸς ἀνδρὸς καὶ βῆμα ποδὸς καὶ γέλως ὀδόντων ἀναγγελεῖ τὰ περὶ αὐτοῦ" †). οὗτοι γὰρ καὶ τὰ μάλιστα πρὸς τὰς ἄλλας πεπολιωμένοι τρίχας μόνον τὰς ἐπὶ τῇ κεφαλῇ περιέπουσι, μικροῦ δεῖν ἀναδούμενοι κεκρυφάλοις, τὰς κόμας ὥσπερ αἱ γυναῖκες.

§. 24. Λέοντες μὲν οὖν αὐχοῦσι τὸ λάσιον αὐτῶν, ἀλλ' ἐπὶ τῆς ἀλκῆς ὁπλίζονται τῇ τριχὶ, κάπροι

---

*) Leuit. 19, 29. **) Hom. Od. κ. 279. ***) Cf. Psalm. 133, 2. †) Eccles. 19, 29 sq.

δὲ καὶ αὐτοὶ σεμνύνονται λοφιᾷ, ἀλλὰ φρίσσοντας αὐτοὺς τὴν τρίχα δεδοίκασιν κυνηγοί.

εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασιν*),

ἀλλὰ καὶ τούτων ἐπλήθυνεν τὰς τρίχας ὁ φιλάνθρωπος πατὴρ εἰς σήν, ἄνθρωπε, ὑπουργίαν κεῖραι P. 276
P. 98 διδάξας τοὺς πόκους. καὶ τῶν ἐθνῶν οἱ Κελ- Pott.
Sylb. τοὶ καὶ οἱ Σκύθαι κομῶσιν, ἀλλ' οὐ κοσμοῦνται· ἔχει τι φοβερὸν τὸ εὔτριχον τοῦ βαρβάρου καὶ τὸ ξανθὸν αὐτοῦ πόλεμον ἀπειλεῖ συγγενές τι τὸ χρῶμα τῷ αἵματι. μεμισήκατον ἄμφω τούτω τὼ βαρβάρω τὴν τρυφήν, μάρτυρας ἐπιδείξονται σαφεῖς τὸν Ῥῆνον ὁ Γερμανός, ὁ Σκύθης τὴν ἅμαξαν. ὀλιγωρεῖ δὲ ἔσθ' ὅτε καὶ τῆς ἁμάξης ὁ Σκύθης· πλοῦτος εἶναι δοκεῖ τῷ βαρβάρῳ τὸ μέγεθος αὐτῆς, καὶ καταλιπὼν τὴν τρυφὴν εὐτελὴς πολιτεύεται οἶκον αὐτάρκη καὶ τῆς ἁμάξης εὐζωνότερον, τὸν ἵππον λαβὼν Σκύθης ἀνήρ, ἀναβὰς φέρεται οἷ βούλεται, κάμνων δὲ ἄρα λιμῷ αἰτεῖ τὸν ἵππον τροφάς, ὁ δὲ ὑπέχει τὰς φλέβας· καὶ ὃ κέκτηται μόνον, τῷ κυρίῳ τὸ αἷμα χορηγεῖ, καὶ τῷ Νομάδι ὁ ἵππος ὄχημα γίνεται καὶ τροφή.

§. 25. Ἀραβίων δὲ — ἄλλοι οὗτοι Νομάδες — ἡ μάχιμος ἡλικία καμηλοβάται εἰσὶ, κυούσας οὗτοι τὰς καμήλους ἐφέζονται, αἱ δὲ νέμονται ἅμα καὶ θέουσιν ἀναλαμβάνουσαι τοὺς δεσπότας, καὶ τὸν οἶκον ἐπιφέρονται σὺν αὐτοῖς. εἰ δὲ καὶ ποτὸν ἐπιλίποι τοῖς βαρβάροις, ἀμέλγονται τοῦ γάλακτος, κενουμένης δὲ ἤδη τῆς τροφῆς, ἀλλ' οὐδὲ τοῦ αἵματος φείδονται, ἣ φασὶ λυττήσαντας τοὺς λύκους. αἱ δὲ ἄρα ἡμερώτεραι τῶν βαρβάρων οὐ μνησικακοῦσιν ἀδικούμεναι, ἀλλὰ καὶ τὴν ἔρημον διεκθέουσι τεθαρρηκότως δεσπότας ὁμοῦ καὶ φέρουσαι καὶ τρέφουσαι. ὄλοιντο οὖν οἱ θῆρες οἱ φυλακτικοὶ, οἷς τὸ αἷμα ἡ τροφή· οὐδὲ γὰρ θίγειν αἷμα τοῖς ἀνθρώποις θέμις,

---

*) Hesiod. ἔργ. 232.

οἷς τὸ σῶμα οὐδὲν ἀλλ' ἢ σάρξ ἐστιν αἵματι γεωργουμένη. μετέσχηκε τοῦ λόγου τὸ αἷμα τὸ ἀνθρώπινον καὶ τῆς χάριτος κοινωνεῖ τῷ πνεύματι, κἂν ἀδικήσῃ τις αὐτοὺς, οὐ λήσεται. ἔξεστιν αὐτῷ P. 268 καὶ γυμνῷ τοῦ σχήματος πρὸς τὸν κύριον λαλεῖν. Pott. ἀποδέχομαι δὲ τῶν βαρβάρων τὴν λιτότητα, εὔζωνον ἀγαπήσαντες πολιτείαν οἱ βάρβαροι κατέλειψαν τὴν τρυφήν. τοιούτους ἡμᾶς ὁ κύριος καλεῖ γυμνοὺς ἀπειροκαλίας, γυμνοὺς κενοδοξίας, ἁμαρτιῶν ἀπεσπασμένους, μόνον ἐπιφερομένους τὸ ξύλον τῆς ζωῆς, μόνον ἐπέχοντας τὴν σωτηρίαν.

Cap. IV.

Τίσι συνδιατριπτέον.

§. 26. Ἀλλὰ γὰρ ἐλελήθειν παραπλεύσας τῷ πνεύματι τὴν ἀκολουθίαν, ἐφ' ἣν αὖθις παλινδρομητέον καὶ τῶν οἰκετῶν τὴν πολυκτημοσύνην ὀνειδιστέον. φεύγοντες γὰρ αὐτουργίαν καὶ αὐτοδιακονίαν ἐπὶ τοὺς θεράποντας καταφεύγουσιν, ὀψοποιῶν καὶ τραπεζοποιῶν καὶ τῶν ἐντέχνως εἰς μοίρας κατατεμνόντων τὰ κρέα τὸν πολὺν συνωνούμενοι ὄχλον. μεμέρισται δὲ αὐτοῖς ἡ θητεία πολυσχιδῶς· καὶ οἱ μὲν περὶ τὴν γαστριμαργίαν αὐτῶν πονοῦσι δαιτροί τε καὶ καρυκευταὶ καὶ οἱ τῶν πεμμάτων καὶ οἱ τῶν μελιπήκτων καὶ οἱ τῶν ῥοφημάτων συσκευασταί τε καὶ δημιουργοὶ, οἱ δὲ περὶ τὰς ἐσθῆτας ἀσχολοῦνται τὰς περιττὰς, οἱ δὲ χρυσοφυλακοῦσιν ὡς γρῦπες, οἱ δὲ τὸν ἄργυρον φυλάττουσι καὶ σμήχουσι τὰ ἐκπώματα καὶ τὰς περὶ τὰς ἑστιάσεις παρασκευὰς εὐτρεπίζουσιν, ἄλλοι καταψήχουσι τὰ ὑποζύγια, οἰνοχόων τε ὅμιλος ἀσκεῖται παρ' αὐτοῖς καὶ μειρακίων ὡραίων ἀγέλαι καθάπερ θρεμμάτων, παρ' ὧν ἀμέλγονται τὸ κάλλος. κομμῶται δὲ καὶ κομμώτριαι

περὶ τὰς γυναῖκας ἀμφιπολεύουσιν, αἱ μὲν τὰ P. 269 κάτοπτρα, αἱ δὲ τοὺς κεκρυφάλους, ἄλλαι τοὺς Pott. κτένας, εὐνοῦχοι πολλοὶ καὶ οὗτοι μαστροποὶ, τῷ ἀξιοπίστῳ τοῦ μὴ δύνασθαι φιληδεῖν τοῖς εἰς ἡδονὰς ἐθέλουσι ῥαθυμεῖν ἀνυπόπτως διακονούμενοι. εὐνοῦχος*) δὲ ἀληθὴς οὐχ ὁ μὴ δυνάμενος, ἀλλ' ὁ μὴ βουλόμενος φιληδεῖν.

§. 27. Διαμαρτυρούμενος γοῦν ὁ λόγος διὰ τοῦ προφήτου Σαμουὴλ πρὸς τοὺς παραβεβηκότας τῶν Ἰουδαίων αἰτοῦντι τῷ λαῷ βασιλέα οὐ τὸν φιλάνθρωπον ὑπισχνεῖται κύριον, ἀλλά τινα αὐτοῖς αὐθάδη τύραννον ἀπειλεῖ τρυφητικὸν, „ὃς λήψεται", φησὶ, „τὰς θυγατέρας ὑμῶν εἰς μυρεψοὺς καὶ εἰς μαγειρίσσας καὶ εἰς πεσσούσας"**), νόμῳ πολέμου κρατήσας, οὐκ εἰρηνικὴν οἰκονομίαν ζηλώσας. οἱ δὲ τὰ φορεῖα εἰς ὕψος αἴροντες τῶν γυναικῶν καὶ φοράδην βαστάζοντες Κελτοὶ πολλοὶ, ἔριθοι δὲ καὶ ταλασίαι καὶ ἱστοπονίαι καὶ ἡ γυναικωνῖτις ἐργάνη καὶ οἰκουρία οὐδαμοῦ, ἀλλ' οἱ ψευδοποιοῦντες τὰς γυναῖκας διημερεύουσι μετ' αὐτῶν μύθους ἐρωτικοὺς ἀδολεσχοῦντες καὶ τὸ σῶμα καὶ τὰς ψυχὰς αὐτῶν διακναίοντες ψευδεργίᾳ καὶ ψευδολογίᾳ. „οὐκ ἔσῃ δὲ μετὰ πολλῶν", φησὶν, „ἐπὶ κακίᾳ, οὐδὲ προσθήσῃ μετὰ πλήθους"***), ὅτι ἡ σοφία ἐν ὀλίγοις, ἀταξία δὲ ἐν πλήθει καταφαίνεται. αἱ δὲ οὐ διὰ σεμνότητα τοῦ κατασκοπεῖσθαι μὴ βούλεσθαι συνωνοῦνται τοὺς φορεῖς, ἀγαπητὸν γὰρ ἦν ἂν, εἰ τῇ διαθέσει ταύτῃ προσεβάλλοντο τὴν σκέπην, ἀλλὰ θρυπτόμεναι ἐποχοῦνται τοῖς οἰκέταις ἐμπομπεύειν γλιχόμεναι.

§. 28. Ἀναπεπταμένης γοῦν τῆς αὐλαίας περιβλέπουσαι δριμύτερον τοὺς εἰς αὐτὰς ἀφορῶντας διελέγχονται τὸν τρόπον, πολλάκις δὲ καὶ προκύπτου-

---

*) Matth. 19, 12. **) 1 Reg. 8, 13. ***) Exod. 23 2.

σιν ἔνδοθεν τὴν ἐπιπόλαιον σεμνότητα καταισχύνουσαι τῇ ὀλισθαινούσῃ περιεργίᾳ. „μὴ περιβλέπου δὲ", φησὶν, „ἐν ῥύμαις πόλεως, μηδὲ πλανῶ ἐν ταῖς ἐρημίαις αὐτῆς"*), ἐρημία γὰρ ὡς ἀληθῶς κἂν ὄχλος ἀκολάστων ᾖ, ἔνθα μὴ πάρεστιν ἄνθρωπος P. 99 σωφρονῶν. περιφέρονται δὲ αὗται ἀνὰ τὰ ἱερὰ ἐκ- Sylb. θυόμεναι καὶ μαντευόμεναι, ἀγύρταις καὶ μητραγύρταις καὶ γραίαις βωμολόχοις οἰκοφθορούσαις P. 270 Pott. ὁσημέραι συμπομπεύουσαι καὶ τοὺς παρὰ ταῖς κύλιξι ψιθυρισμοὺς γραϊκοὺς ἀνεχόμεναι, φίλτρα ἄττα καὶ ἐπῳδὰς παρὰ τῶν γοήτων ἐπ' ὀλέθρῳ γάμων ἐκμανθάνουσαι καὶ τοὺς μὲν ἔχουσι τῶν ἀνδρῶν, τοῖς δὲ ἔχονται, ἄλλους δὲ αὐταῖς οἱ μάντεις ὑπισχνοῦνται. οὐκ ἴσασι δὲ ἀπατώμεναι καὶ αὑτὰς μὲν ὡς σκεῦος ἐκδιδοῦσαι ἡδονῆς τοῖς λαγνεύειν ἐθέλουσι, τὴν δὲ ἁγνείαν τὴν σφῶν τῆς αἰσχίστης ἀντικαταλλαττόμεναι ὕβρεως ἔργον ἡγοῦνται χρηματισμοῦ τὴν ἐπονείδιστον φθοράν. πολλοὶ δὲ οἱ τῆς ἑταιρικῆς διάκονοι ἀκολασίας ἄλλος ἄλλοθεν παρεισδύοντες· εὐεπίφοροι γὰρ οἱ ἀκόλαστοι πρὸς τὴν ἀσέλγειαν καθάπερ οἱ χοῖροι πρὸς τὸ καταδυόμενον τοῦ σκάφους ἐπιφερόμενοι.

§. 29. Ὅθεν ἐρρωμενέστατα ἡ γραφὴ παραινεῖ· „μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου, πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου"**)· ἀλλαχοῦ δὲ „ἄνδρες δίκαιοι" φησὶν „ἔστωσαν σύνδειπνοί σου, καὶ ἐν φόβῳ κυρίου τὸ καύχημά σου διαμενεῖ"***). ἐς κόρακας ἡ πορνεία· „εὖ γὰρ τοῦτο ἴστε", φησὶν ὁ ἀπόστολος, „ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ θεοῦ"†). αἱ δὲ ἀνδρογύνων συνουσίαις ἥδονται, παρεισρέουσιν δὲ ἔνδον κιναίδων ὄχλοι ἀθυρόγλωσσοι, μιαροὶ μὲν

*) Eccles. 11, 7. **) Ibid. 11, 29. ***) Ibid. 9, 16. †) Ephes. 5, 5.

τὰ σώματα, μιαροὶ δὲ τὰ φθέγματα, εἰς ὑπουργίας ἀκολάστους ἠνδρωμένοι, μοιχείας διάκονοι, κιχλίζοντες καὶ ψιθυρίζοντες καὶ τὸ πορνικὸν ἀνέδην εἰς ἀσέλγειαν διὰ ῥινῶν ἐπιψοφοῦντες ἐπικιναίδισμα, ἀκολάστοις ῥήμασι καὶ σχήμασι τέρπειν πειρώμενοι καὶ εἰς γέλωτας ἐκκαλούμενοι πορνείας παράδρομον· ἔστι δ' ὅτε καὶ ὑπεκκαιόμενοι διὰ τὴν τυχοῦσαν ὀργὴν ἤτοι πόρνοι αὐτοὶ ἢ καὶ κιναίδων ὄχλον εἰς ὄλεθρον ἐζηλωκότες ἐπικροτοῦσι τῇ ῥινὶ βατράχων δίκην, καθάπερ ἔνοικον τοῖς μυκτῆρσι τὴν χολὴν κεκτημένοι.

§. 30. Ἀλλ' αἵ γε ἀστειότεραι τούτων ὄρνεις P. 271 Pott. Ἰνδικοὺς καὶ ταῶνας Μηδικοὺς ἐκτρέφουσιν καὶ συνανακλίνονται τοῖς φοξοῖς παίζουσαι, σικίννοις τέρασι γαννύμεναι, καὶ τὸν μὲν Θερσίτην ἀκούουσαι γελῶσιν, αὗται δὲ πολυτιμήτους ὠνούμεναι Θερσίτας οὐκ ἐπ' ἀνδράσιν ὁμοζύγοις, ἀλλ' ἐπ' ἐκείνοις αὐχοῦσιν, ἃ δὴ ἄχθος ἐστὶ γῆς, καὶ χήραν μὲν παρορῶσι σωφρονοῦσαν Μελιταίου πολλῷ διαφέρουσαν κυνιδίου, καὶ πρεσβύτην παραβλέπουσι δίκαιον, εὐπρεπέστερον οἶμαι τέρατος ἀργυρωνήτου, παιδίον δὲ οὐδὲ προσίενται ὀρφανὸν αἱ τοὺς ψιττακοὺς καὶ τοὺς χαραδριοὺς ἐκτρέφουσαι, ἀλλὰ τὰ μὲν οἴκοι κυϊσκόμενα ἐκτιθέασι παιδία, τοὺς δὲ τῶν ὀρνίθων ὑπολαμβάνουσι νεοττούς· καὶ τὰ ἄλογα τῶν λογικῶν προκεκρίκασιν δέον ὑποτρέφειν τοὺς σωφροσύνην ἐπαγγελλομένους γέροντας καὶ πιθήκων, οἶμαι, εὐπροσωποτέρους καὶ ἀηδόνων φθέγξασθαί τι βέλτιον δυναμένους καὶ ἄγειν μὲν ἐπίπροσθεν τὸ „ὁ ἐλεῶν πτωχὸν δανείζει θεῷ" *) καὶ τὸ „ἐφ' ὅσον δὲ", φησίν, „ἑνὶ τούτων ἐποιήσατε τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε" **). αἱ δὲ ἔμπαλιν ἀπαιδευσίαν προτετιμήκασι σωφροσύνης, τὰς ἑαυτῶν οὐσίας ἀπολιθοῦσαι εἰς τοὺς μαργαρίτας καὶ τὰς σμαράγδους

*) Prouerb. 19, 17. **) Matth. 25, 40.

τὰς Ἰνδικὰς, ναὶ μὴν καὶ εἰς τὰς ἐξιτήλους βαφὰς καὶ εἰς τὰ ἀργυρώνητα ἀνδράποδα σπαθῶσι καὶ διαρριπτοῦσι τὰ χρήματα δίκην ὀρνίθων κεκορεσμένων τὰ τοῦ βίου σκαλεύουσαι κόπρια. „πενία δὲ", φησὶν, „ἄνδρα ταπεινοῖ" *)· τὴν φειδωλίαν βούλονται πενίαν λέγειν, καθ' ἣν οἱ πλούσιοι πένονται μεταδόσεως οὐκ ἔχοντες.

Cap. V.

Πῶς περὶ τὰ λουτρὰ ἀναστρεπτέον. P. 272 Pott.

§. 31. Οἷα δὲ καὶ τὰ λουτρὰ αὐταῖς; οἶκοι τεχνητοὶ, συμπαγεῖς καὶ περιφόρητοι, διαφανεῖς σινδόνι καλύπτονται καθέδραι τε ἐπίχρυσοι, ἀργυροῖ, καὶ σκεύη μυρία χρυσοῦ τε καὶ ἀργύρου, τὰ μὲν εἰς προπόσεις, τὰ δὲ εἰς τροφὰς, τὰ δὲ εἰς τὸ λούσασθαι περιφερόμενα· ναὶ μὴν καὶ ἐσχαρίδες ἀνθράκων· εἰς τοσοῦτον γὰρ ἀκρασίας ἥκουσιν, ὡς δειπνεῖν καὶ μεθύειν ἔτι λουομένας, τά τε ἀργυρώματα, μεθ' ὧν ἐμπομπεύουσιν, ἀπειροκάλως ἐν τοῖς βαλανείοις προτιθέασι, τάχα μέν που καὶ τὸν πλοῦτον δι' ἀλαζονείαν περιττὴν, μάλιστα δὲ τὴν αὐτεξούσιον ἀπαιδευσίαν, καθ' ἣν κατηγοροῦσιν ἀνάνδρων ἀνδρῶν πρὸς γυναικῶν κεκρατημένων, ἐπιδεικνύμεναι ἐλέγχουσαί τε ἀμηγέπη σφᾶς αὐτὰς μὴ οἵας τε εἶναι συνεῖναι καὶ δίχα τῶν σκευῶν τῶν πολλῶν ἱδροῦν δύνασθαι· καὶ γὰρ αἱ πενόμεναι τῆς πομπῆς μὴ μεταλαμβάνουσαι τῶν ἴσων κοινωνοῦσι λουτρῶν. ἔχει δὲ ἄρα ὁ ῥύπος τῆς περιουσίας βλασφημίας περιβολὴν πολλήν. τούτῳ καθάπερ δελέατι ἀγκιστρεύουσιν τοὺς ἀθλίους κεχηνότας ἐπὶ τὰς μαρμαρυγὰς τοῦ χρυσίου· καὶ γὰρ

---

*) Prouerb. 10, 4.

ἐκπλήττουσαι τούτῳ τοὺς ἀπειροκάλους θαυμάζειν σφᾶς τεχνῶνται τοὺς ἐραστάς, οἳ μετ' ὀλίγον αὐταῖς ἐνυβρίζουσι γυμναῖς.

§. 32. Καὶ δὴ καὶ τοῖς μὲν ἀνδράσι τοῖς σφῶν οὐκ ἂν ἀποδύσαιντο προσποίητον αἰσχύνης ἀξιοπιστίαν μνώμεναι, ἔξεστι δὲ τοῖς βουλομένοις τῶν ἄλλων P. 100 Sylb. οἴκοι τὰς κατακλείστους γυμνὰς ἐν τοῖς βαλανείοις θεάσασθαι· ἐνταῦθα γὰρ ἀποδύσασθαι τοῖς θεαταῖς, ὥσπερ καπήλοις σωμάτων οὐκ αἰσχύνονται. ἀλλ' ὁ μὲν Ἡσίοδος

μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι*)

παραινεῖ. κοινὰ δὲ ἀνέῳκται ἀνδράσιν ὁμοῦ καὶ γυναιξὶ τὰ βαλανεῖα κἀντεῦθεν ἐπὶ τὴν ἀκρασίαν ἀποδύονται· ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται ἀνθρώποις P. 273 Pott. ἐρᾶν ὥσπερ ἀποκλυζομένης τῆς αἰδοῦς αὐτοῖς κατὰ τὰ λουτρά. αἳ δὲ μὴ εἰς τοσοῦτον ἀπερυθριῶσαι τοὺς μὲν ὀθνείους ἀποκλείουσιν, ἰδίοις δὲ οἰκέταις συλλούονται καὶ δούλοις ἀποδύονται γυμναὶ καὶ ἀνατρίβονται ὑπ' αὐτῶν ἐξουσίαν δοῦσαι τῷ κατεπτηχότι τῆς ἐπιθυμίας τὸ ἀδεὲς τῆς ψηλαφήσεως· οἱ γὰρ παρεισαγόμενοι παρὰ τὰ λουτρὰ ταῖς δεσποίναις γυμναῖς μελέτην ἴσχουσιν ἀποδύσασθαι πρὸς τόλμαν ἐπιθυμίας ἔθει πονηρῷ παραγράφοντες τὸν φόβον.

§. 33. Καὶ οἱ μὲν παλαιοὶ τῶν ἀθλητῶν γυμνὸν δεικνύναι τὸν ἄνδρα αἰδούμενοι ἐν διαζώμασι τὴν ἀγωνίαν ἐκτελοῦντες τὸ αἰδῆμον ἐφύλαττον, αἱ δὲ ἀποδυσάμεναι ἅμα τῷ χιτῶνι καὶ τὴν αἰδῶ φαίνεσθαι μὲν βούλονται καλαί, ἄκουσαι δ' ὅμως ἐλέγχονται κακαί· καὶ γὰρ δι' αὐτοῦ καταφαίνεται μάλιστα τοῦ σώματος τὸ μάχλον τῆς ἐπιθυμίας, καθάπερ τοῖς ὑδεριῶσιν τὸ περιστεγόμενον τῆς ἐπιφανείας ὑγρόν· τὸ νοσοῦν δὲ ἀμφοῖν ἐκ τῆς ὄψεως γνωρίζεται. χρὴ τοίνυν τοὺς ἄνδρας γενναῖον ἀληθείας ὑπόδειγμα ταῖς γυναιξὶ γινομένους αἰσχύνε-

*) Hesiod. ἔργ. v. 371.

σθαι τὰς μετ᾽ αὐτῶν ἀποδύσεις καὶ φυλάττεσθαι τὰς ὄψεις τὰς ὀλισθηράς· „ὁ γὰρ ἐμβλέψας", φησὶ, „περιεργότερον ἤδη ἥμαρτεν"*). οἴκοι μὲν οὖν τοὺς γονεῖς καὶ τοὺς οἰκέτας αἰδεῖσθαι χρὴ, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ τοῖς λουτροῖς τὰς γυναῖκας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτοὺς, πανταχοῦ δὲ τὸν λόγον, ὅς ἐστι πανταχοῦ, καὶ „ἐγένετο ἄνευ αὐτοῦ οὐδὲ ἕν"**)· οὕτως γὰρ μόνως ἀπτώς τις διαμένει, εἰ πάντοτε αὐτῷ συμπαρεῖναι νομίζοι τὸν θεόν.

Cap. VI.

Ὅτι μόνος πλούσιος ὁ Χριστιανός.

§. 34. Πλούτου τοίνυν μεταληπτέον ἀξιολόγως καὶ μεταδοτέον φιλανθρώπως, οὐ βαναύσως οὐδὲ ἀλαζονικῶς, οὐδὲ ἐκτρεπτέον τὸ φιλόκαλον εἰς φι- P. 274 λαυτίαν καὶ ἀπειροκαλίαν, μή πη ἄρα καὶ πρὸς Pott. ἡμᾶς φήσῃ τις· ὁ ἵππος αὐτοῦ πεντεκαίδεκα ταλάντων ἐστὶν ἄξιος ἢ τὸ χωρίον ἢ ὁ οἰκέτης ἢ τὸ χρυσίον, αὐτὸς δὲ χαλκῶν ἐστὶ τιμιώτερος τριῶν. αὐτίκα οὖν περίελε τὸν κόσμον τῶν γυναικῶν καὶ τοὺς οἰκέτας τῶν δεσποτῶν, οὐδὲν διαφέροντας τῶν ἀργυρωνήτων εὑρήσεις τοὺς δεσπότας, οὐκ ἐν βαδίσματι, οὐκ ἐν βλέμματι, οὐκ ἐν φθέγματι· οὕτως τοίνυν τοῖς ἀνδραπόδοις ἐοίκασιν, ἀλλὰ καὶ τῷ ἀσθενέστεροι εἶναι τῶν οἰκετῶν διακρίνονται καὶ τῷ νοσηλότερον ἀνατετράφθαι. ἄριστον γοῦν δογμάτων τοῦτο ᾄδειν παρ᾽ ἕκαστα χρή· ὡς ὁ μὲν ἀγαθὸς ἀνὴρ σώφρων ὢν καὶ δίκαιος ἐν οὐρανῷ θησαυρίζει τὰ χρήματα· οὗτος ὁ τὰ ἐπίγεια καταπωλήσας καὶ πτωχοῖς ἐπιδοὺς τὸν ἀνώλεθρον ἐξευρίσκει θησαυρὸν,

---

*) Matth. 5, 28. **) Ioann. 1, 3.

ἔνθα οὐ σὴς, οὐ ληστὴς, μακάριος οὗτος ὄντως, ἐάν τε σμικρὸς καὶ ἀσθενὴς καὶ ἄδοξος ᾖ, καὶ πλοῦτον ὄντως πλουτεῖ τὸν μέγιστον· ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ᾖ δὲ ἄδικος καὶ ὑπερήφανος, καθάπερ ὁ ἐν τῇ πορφύρᾳ καὶ βύσσῳ τρυφῶν καὶ τὸν Λάζαρον ὑπερηφανῶν, ἄθλιός τέ ἐστι καὶ ἀνιαρῶς ζῇ καὶ οὐ ζήσεται*).

§. 35. Ἐοικέναι γοῦν μοὶ δοκεῖ ὁ πλοῦτος ἑρπετῷ, ὃ εἰ μή τις ἐπίσταται τὸ λαβέσθαι ἀβλαβῶς πόρρωθεν ἀκινδύνως ἄκρας οὐρᾶς ἀνακρημνὰς τὸ θηρίον, περιπλέξεται τῇ χειρὶ καὶ δήξεται· δεινὸς δὲ καὶ ὁ πλοῦτος ἰλυσπώμενος παρὰ τὴν ἔμπειρον ἢ ἄπειρον αὐτοῦ λαβὴν προσφῦναι καὶ δάκνειν, εἰ δέ τις αὐτῷ καταμεγαλοφρονῶν ἐπιστημόνως χρῷτο, ἵνα σὺν τῇ ἐπῳδῇ τοῦ λόγου καταξέσηται μὲν τὸ θηρίον, αὐτὸς δὲ ἀπαθὴς μείνῃ. ἀλλ', ὡς ἔοικεν, τὰ πλείονος ἄξια κεκτημένος πλούσιος ὢν μόνος ἐλελήθει· πολλοῦ δὲ ἄξια οὐ λίθος, οὐκ ἄργυρος, οὐκ ἐσθὴς, οὐ κάλλος σώματος, ἀλλ' ἡ ἀρετὴ, ὅς ἐστι λόγος διὰ τοῦ παιδαγωγοῦ παραδιδόμενος εἰς ἄσκησιν, λόγος οὗτος ὁ τὴν τρυφὴν ἐξομνύμενος, τὴν δὲ αὐτουργίαν διάκονον παρακαλῶν καὶ τὴν εὐτέλειαν ἐξυμνῶν τῆς σωφροσύνης τὴν ἔγγονον· „λάβετε παιδείαν", φησὶν, „καὶ μὴ ἀργύριον καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· κρείσσων γὰρ σοφία λίθων πολυτέλων, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς P. 275 Pott. ἐστί"**). καὶ πάλιν· „ἐμὲ καρπίζεσθε ὑπὲρ χρυσίον καὶ λίθον τίμιον καὶ ἄργυρον· τὰ γὰρ ἐμὰ γεννήματα κρείττω ἀργυρίου ἐκλεκτοῦ"***). εἰ δὲ καὶ διελεῖν χρὴ, πλούσιος μὲν ὁ πολυκτήμων ἔστω, χρυσίῳ σεσαγμένος καθάπερ φασκώλιον ἐρρυπωμένον, εὐσχήμων δὲ ὁ δίκαιος, ἐπεὶ εὐσχημοσύνη τάξις ἐστὶν ἐν τῷ δέοντι σχηματισμῷ περὶ τὰς διοικήσεις

*) Cf. Matth. 6, 20. 19, 21. Luc. 16, 19. **) Prouerb. 8, 10 sq. ***) Ibid. v. 19.

καὶ τὰς ἐπιδόσεις μεμετρημένη· „εἰσὶ" γὰρ „οἱ σπείροντες καὶ πλείονα συνάγοντες"*), περὶ ὧν γέγραπται· „ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα"**). ὥστε οὐχ ὁ ἔχων καὶ φυλάττων, ἀλλ᾽ ὁ μεταδιδοὺς πλούσιος, καὶ ἡ μετάδοσις τὸν μακάριον, οὐχ ἡ κτῆσις δείκνυσι.

P. 101 Sylb. §. 36. Καρπὸς δὲ ψυχῆς τὸ εὐμετάδοτον. ἐν ψυχῇ ἄρα τὸ πλούσιον. καὶ μὴν τὰ μὲν ἀγαθὰ ἔστω μόνοις κτητὰ τοῖς ἀγαθοῖς, ἀγαθοὶ δὲ οἱ Χριστιανοί· ἄφρων δὲ ἢ ἀκόλαστος ἄνθρωπος οὔτ᾽ ἂν αἴσθησιν ἀγαθοῦ σχοίη οὔτ᾽ ἂν κτήσεως τύχοι· μόνοις ἄρα τοῖς Χριστιανοῖς κτητὰ τὰ ἀγαθά. τούτων δὲ τῶν ἀγαθῶν πλουσιώτερον οὐθέν· πλούσιοι ἄρα οὗτοι μόνοι. πλοῦτος γὰρ ἀληθινὸς ἡ δικαιοσύνη καὶ ὁ παντὸς θησαυροῦ πολυτιμότερος λόγος οὐκ ἀπὸ θρεμμάτων καὶ χωρίων αὐξανόμενος, ἀλλ᾽ ὑπὸ τοῦ θεοῦ δωρούμενος, πλοῦτος ἀναφαίρετος. ἡ ψυχὴ μόνη θησαυρὸς αὐτοῦ, κτῆμα τῷ κεκτημένῳ ἄριστον, μακάριον τῇ ἀληθείᾳ παρεχόμενον τὸν ἄνθρωπον. ᾧ γὰρ ἂν ὑπάρχῃ μηδενὸς μὲν ὀρέγεσθαι τῶν οὐχ ἐφ᾽ ἡμῖν, ὧν δὲ ὀρέγεται, τούτων τυγχάνειν, ἀλλὰ καὶ ὧν ὁσίως ἐφίεται, ταῦτα αἰτούμενον λαμβάνειν παρὰ θεοῦ, πῶς οὗτος οὐ πολυκτήμων καὶ παγκτήμων, θησαυρὸν ἔχων αἰώνιον τὸν θεόν; „τῷ αἰτοῦντι", φησὶ „δοθήσεται καὶ τῷ κρούοντι ἀνοιγήσεται"***). εἰ μηδὲν ἀρνεῖται ὁ θεὸς, τὰ πάντα τοῦ θεοσεβοῦς γίνεται.

---

*) Prouerb. 11, 24. **) Psalm. 112, 9. ***) Matth. 7, 7 sq.

Cap. VII.

Ὅτι καλὸν ἐφόδιον Χριστιανῷ ἡ εὐτέλεια. P. 276 Pott.

§. 37. Τρυφὴ δὲ εἰς ἡδονὰς ἁλωμένη χαλεπὸν ἀνθρώποις ναυάγιον γίνεται· ἀλλότριον γὰρ τῆς ἀληθοῦς φιλοκαλίας καὶ τῶν ἀστείων ἡδονῶν ὁ ἡδὺς οὗτος καὶ ἀκλεὴς τῶν πολλῶν βίος. φύσει γὰρ ὁ ἄνθρωπος ὑψηλόν ἐστι ζῶον καὶ γαῦρον καὶ τοῦ καλοῦ ζητητικὸν, ἅτε τοῦ μόνου δημιούργημα, ὁ δὲ ἐπὶ γαστέρα αὐτῷ βίος ἄσεμνός τε καὶ ἐπονείδιστος καὶ εἰδεχθὴς καὶ καταγέλαστος. ἀλλοτριώτατον δὲ τῆς θείας φύσεως ἡ φιληδονία, ὅμοιος μὲν σιτεῖσθαι τοῖς στρουθοῖς, ὅμοιος δὲ ταῖς ὑσὶν καὶ τοῖς τράγοις ὀχεύειν· τὸ γὰρ τὴν ἡδονὴν νομίζειν ἀγαθὸν ἀπειροκαλίας ἐστὶ τελείας, φιλοπλουτία δὲ ἐξίστησι τῆς ὀρθῆς διαίτης τὸν ἄνθρωπον ἀπερυθριᾶν πρὸς τὰ αἰσχρὰ ἀναπείθουσα, ἐὰν μόνον ἔχῃ δύναμιν καθάπερ θηρίον τοῦ φαγεῖν παντοδαπὰ καὶ πιεῖν ὡσαύτως καὶ ἀφροδισίων πᾶσαν πάντως παρέχειν πλησμονήν. διὰ τοῦτο σπανιαίτατα τὴν βασιλείαν τοῦ θεοῦ κληρονομεῖ. ποῦ τοίνυν τὰ τοσαῦτα παρασκευάζονται ὄψα ἢ ἵνα μίαν πληρώσωσι γαστέρα; τὸ ἀκάθαρτον τῆς γαστριμαργίας οἱ κοπρῶνες ἐλέγχουσιν, εἰς οὓς ἀποπτύουσιν ἡμῶν αἱ γαστέρες τῆς δαιτὸς τὰ λείψανα. ποῦ δὲ τοὺς οἰνοχόους τοὺς τοσούτους συναγείρουσι μιᾷ κύλικι πλησθῆναι δυνάμενοι; ποῦ δὲ τῶν ἐσθήτων τὰς κιβωτούς; τὰ χρυσία δὲ ποῦ; καὶ τὰ κόσμια ποῦ; λωποδύταις δὲ αὐτὰ καὶ κακούργοις παρασκευάζονται καὶ τοῖς λίχνοις ὀφθαλμοῖς. „ἐλεημοσύναι δὲ καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε" *), φησὶν ἡ γραφή.

§. 38. Ἰδοὺ γοῦν καὶ τὸν Θεσβίτην Ἡλίαν καλὸν ὑπόδειγμα τῆς εὐτελείας ἔχομεν, ὅτε „ἐκά-

*) Prouerb. 3, 3.

θισεν ὑπὸ τὴν ῥάμνον καὶ ὁ ἄγγελος αὐτῷ κομίζει τροφάς· ἐγκρυφίας κρίθινος ἦν καὶ καψάκης ὕδατος" *). τοιοῦτον ἄριστον αὐτῷ κύριος ἔπεμψεν. ἡμῖν ἄρα ἀνάγκη πρὸς ἀλήθειαν ὁδοιποροῦσιν εὐζώνοις γενέσθαι· „μὴ βαστάζετε γάρ", εἶπεν ὁ κύριος, „βαλάντιον, μὴ πήραν μηδὲ ὑπόδημα" **), τουτέστι, μὴ πλοῦτον κτήσησθε τὸν ἐν βαλαντίῳ μόνον θησαυριζόμενον, μὴ τὰς ἀποθήκας πληρώσητε τὰς ἰδίας ὡς ἐν πήρᾳ παρατιθέμενοι τὸν σπόρον, ἀλλὰ καὶ τοῖς δεομένοις κοινωνήσατε, μὴ ὑποζύγια καὶ οἰκέτας πολυπραγμονεῖτε, οἵ τινες ὑποδήματα τῆς πορείας τῶν πλουσίων ἀχθοφοροῦντες ἀλληγορικῶς εἴρηνται. ἀπορριπτέον οὖν τῶν σκευῶν τὸ πλῆθος καὶ τὰ ἀργυρᾶ καὶ τα χρυσᾶ ἐκπώματα καὶ τὸν ὄχλον τῶν οἰκετῶν, καλὰς καὶ σεμνὰς παρὰ τοῦ παιδαγωγοῦ συνοπαδοὺς αὐτουργίαν καὶ εὐτέλειαν παραλαβόντας· καὶ δὴ βαδιστέον εὐαρμόστως τῷ λόγῳ, κἂν γυνή τῳ παρῇ καὶ τέκνα· οὐκ ἄχθος ἐστὶν ὁ οἶκος συνεπισπέσθαι μαθὼν ὁδοιπόρῳ σώφρονι.

P. 27
Pott

§. 39. Σταλτέον δὲ καὶ τὴν φίλανδρον γυναῖκα τἀνδρὶ παραπλησίως ὁδοιπορικῶς, καλὸν ἐφόδιον τῆς εἰς οὐρανοὺς πορείας εὐτέλειαν ἐπιφερομένους μιᾷ σεμνότητι σώφρονι· μέτρον δὲ καθάπερ ὁ ποῦς τοῦ ὑποδήματος, οὕτως καὶ τῆς κτήσεως ἑκάστου τὸ σῶμα, τὸ δὴ περιττὸν, ἃ δή φασι κόσμια, καὶ τὰ ἔπιπλα τῶν πλουσίων ἄχθος ἐστὶν, οὐ κόσμος τοῦ σώματος. χρὴ δὲ τὸν ἀναβαίνειν βιαζόμενον εἰς τοὺς οὐρανοὺς καλὴν βακτηρίαν τὴν εὐεργεσίαν περιφέρειν καὶ τοῖς θλιβομένοις μεταδεδωκότα τῆς ἀληθοῦς ἀναπαύσεως μεταλαμβάνειν· ὁμολογεῖ γὰρ ἡ γραφὴ, „ὡς ἄρα λίτρον ἐστὶν ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος" ***), τουτέστιν, ἐὰν πλουτῇ, μεταδώσει καὶ σωθήσεται. καθάπερ γὰρ τῶν φρεάτων

---

*) 2 Reg. 19, 4. 6. **) Luc. 10, 4. ***) Prouerb. 13, 8.

ὅσα πέφυκεν βρύειν ἀπαντλώμενα εἰς τὸ ἀρχαῖον ἀναπηδύει μέτρον, οὕτως ἡ μετάδοσις, ἀγαθὴ φιλανθρωπίας ὑπάρχουσα πηγὴ, κοινωνοῦσα τοῖς διψῶσι ποτοῦ αὔξεται πάλιν καὶ πίμπλαται, ὃν τρόπον ἐπὶ τοὺς θηλαζομένους ἢ καὶ βδαλλομένους μαστοὺς ἐπιρρεῖν εἴωθε τὸ γάλα. ἀνενδεὴς γὰρ ὁ τὸν παντοκράτορα θεὸν λόγον ἔχων καὶ οὐδενὸς, ὧν χρήζει, ἀπορεῖ ποτέ· κτῆσις γὰρ ὁ λόγος ἀνενδεὴς καὶ εὐπορίας ἁπάσης αἴτιος.

§. 40. Εἰ δέ τις φαίη ἑωρακέναι πολλάκις ἄρτῳ πενόμενον δίκαιον, σπάνιον μὲν τοῦτο καὶ ἔνθα P. 102 Sylb. οὐκ ἄλλος δίκαιος, ἀναγνώτω δὲ ὅμως κἀκεῖνο· „οὐ γὰρ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ δίκαιος, ἀλλ᾽ ἐν τῷ ῥήματι κυρίου" *), ὅς ἐστιν ἄρτος ἀληθινὸς, ἄρτος οὐρανῶν. οὐκ ἄρα ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ἄπορος, ἕως ἂν ἔχῃ σώαν τὴν πρὸς θεὸν ὁμολογίαν· P. 278 Pott. πάρεστι μὲν γὰρ αὐτῷ αἰτεῖσθαι **) καὶ λαμβάνειν, ὧν ἂν δέηται, παρὰ τοῦ πατρὸς τῶν ὅλων καὶ τῶν ἰδίων ἀπολαύειν, εἰ φυλάττοι τὸν υἱὸν, πάρεστι δὲ καὶ τοῦτο μηδεμιᾶς ἐνδείας αἰσθάνεσθαι. ὁ παιδαγωγικὸς ἡμῶν οὗτος λόγος τὸν πλοῦτον ἡμῶν δίδωσι, καὶ πλουτεῖν οὐ φθόνος τὸ ἀνενδεὲς κτωμένοις δι᾽ αὐτοῦ· ὁ τοῦτον ἔχων τὸν πλοῦτον βασιλείαν κληρονομήσει θεοῦ.

Cap. VIII.

Ὅτι αἱ εἰκόνες καὶ τὰ ὑποδείγματα μέγιστον μέρος τῆς ὀρθῆς διδασκαλίας.

§. 41. Εἰ δέ τις ὑμῶν φεύξεται διὰ τέλους τρυφὴν εὐτελείᾳ τιθηνούμενος, μελετήσει ῥᾷον τοὺς ἀκου-

---

*) Deut. 8, 3. Matth. 4, 4. **) Cf. Matth. 7, 7 sq.

σίους ὑπομένειν πόνους, τὰς ἑκουσίους θλίψεις γυμνάσματα συνεχῶς ποιούμενος διωγμῶν, ὁπότ' εἰς ἀναγκαίους ἔλθῃ πόνους καὶ φόβους καὶ λύπας, οὐκ ἀμελέτητος ὢν καρτερεῖν. διὰ τοῦτό τοι πατρίδα ἐπὶ γῆς οὐκ ἔχομεν, ὡς ἂν καταφρονοῖμεν τῶν ἐπιγείων κτημάτων. πλουσιωτάτη δὲ ἡ εὐτέλεια ἐξισοῦσα ἀνελλιπέσι δαπάναις ταῖς εἰς ἃ χρὴ καὶ ἐφ' ὅσον χρὴ τελεῖσθαι προσηκούσαις· τέλη γὰρ τὰ δαπανήματα. ὅπως μὲν οὖν συμβιωτέον ἀνδρὶ τὴν γυναῖκα καὶ περὶ αὐτουργίας καὶ οἰκουρίας καὶ οἰκετῶν χρήσεως, πρὸς δὲ καὶ τῆς ὥρας τοῦ γάμου καὶ τῶν ὅσα γυναιξὶν ἁρμόζει, ἐν τῷ γαμικῷ διέξιμεν λόγῳ· ἃ δὲ ἁρμόδια πρὸς παιδαγωγίαν, ταῦτα ἡμῖν νῦν παραθετὰ μόνα ἐν ὑπογραφῆς μέρει παρασημειουμένοις Χριστιανῶν τὸν βίον. καὶ δὴ τὰ μὲν πλεῖστα ἤδη λέλεκται καὶ πεπαιδαγώγηται, ὃ δὲ ἔτι λοιπὸν, ὑποθησόμεθα· οὐ γὰρ μικρὰ ῥοπὴ εἰς σωτηρίαν τὰ ὑποδείγματα.

ὁρᾶς;

φησὶν ἡ τραγῳδία,

Ὀδυσσέως ἄλοχον οὐ κατέκτανε
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,
μένει δ' ἐν οἴκοις ὑγιὲς εὐναστήριον.

ὀνειδίζων τις μοιχείαν ἀσελγῆ καλὴν εἰκόνα σωφροσύνης ἐδείκνυεν φιλανδρίαν, τοὺς δὲ Εἵλωτας οἰκέτας — οἰκετῶν ὄνομά εἰσιν οἱ Εἵλωτες — οἱ Λακεδαιμόνιοι μεθύειν ἀναγκάζοντες ἐδείκνυον σφίσιν αὐτοῖς τῆς μέθης τὰ ἔργα σωφρονοῦσιν ἐν θερα- P. 279 Pott.
πείας καὶ διορθώσεως μέρει.

§. 42. *Παραφυλάττοντες δ' οὖν τὴν ἐκείνων ἀσχημοσύνην, ὡς μὴ περιπέσοιεν αὐτοὶ ταῖς ὁμοίαις καταγνώσεσιν, ἐπαιδεύοντο τὸ ἐπονείδιστον τῶν μεθυόντων εἰς τὸ ἑαυτῶν ἀναμάρτητον ὠφελούμενοι. τῶν γὰρ ἀνθρώπων οἱ μὲν διδαχθέντες ἐσώθησαν, οἱ δὲ αὐτοδιδάκτως ἢ ἐζήλωσαν ἢ ἐζήτησαν ἀρετήν.*

κεῖνος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ*).
αὐτός ἐστιν Ἀβραὰμ ὁ ζητήσας τὸν θεόν,
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
οὗτοί εἰσιν οἱ μαθηταὶ οἱ πεισθέντες τῷ λόγῳ· διὰ τοῦτο ὁ μὲν ἤκουσεν „φίλος**), οἱ δὲ ἀπόστολοι, ἕνα καὶ τὸν αὐτὸν θεὸν ὁ μὲν πολυπραγμονῶν, οἱ δὲ κηρύσσοντες, λαοὶ δὲ ἄμφω· ἀμφοῖν δὲ τούτοιν οἱ ἀκροαταί, ὁ μὲν ὠφελούμενος διὰ τὴν ζήτησιν, ὁ δὲ σωζόμενος διὰ τὴν εὕρεσιν.

§. 43. Ὃς δέ τε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.
λαὸς ἄλλος ἐστὶν ἐθνικός, ἀχρεῖος· οὗτος ὁ λαὸς ὁ μὴ Χριστῷ ἑπόμενος· πολυτρόπως δὲ ὅμως ὠφελῶν ὁ παιδαγωγὸς ὁ φιλάνθρωπος τὰ μὲν παρῄνεσεν, τὰ δὲ καὶ ὠνείδισεν, τὸ δὲ καὶ ἄλλων ἁμαρτανόντων τὸ αἶσχος αὐτῶν ὑπέδειξεν ἡμῖν καὶ τὴν ἐπὶ τούτῳ τιμωρίαν ψυχαγωγῶν τε ἅμα καὶ νουθετῶν ἐφανέρωσε, φιλάνθρωπον ἀποτροπὴν τῆς κακίας μηχανώμενος διὰ τῆς τῶν προπεπονθότων ἐνδείξεως· δι' ὧν εἰκόνων σαφέστατα τοὺς μὲν ἔπαυσεν κακῶς διατιθέντας, τοὺς δὲ τὰ ἴσα τολμῶντας ἐκώλυσεν, ἄλλους εἰς ὑπομονὴν ἐθεμελίωσεν, ἑτέρους ἔπαυσε κακίας, τοὺς δὲ καὶ ἰάσατο τῇ τοῦ ὁμοίου θεωρίᾳ μεταθεμένους ἐπὶ τὸ βέλτιον. τίς γὰρ οὐκ ἀντιπαραφυλάξαιτο ἑπόμενός τῳ καθ' ὁδόν, εἶτα μέντοι τοῦ προτέρου εἰς βόθρον ἐμπεσόντος μὴ οὐχὶ ἀποκλῖναι τὸν ἴσον κίνδυνον, τὴν ἀκολουθίαν τῆς ἁμαρτίας φυλαξάμενος; τίς δὲ αὖθις ἀσκητὴς ὤν, καταμαθὼν τῆς φιλοδοξίας τὴν ὁδὸν καὶ τὸ ἔπαθλον ἰδὼν τὸν πρὸ αὐτοῦ ἀγωνιστὴν εἰληφότα οὐκ ἐπὶ τὸν στέφανον ἵεται καὶ αὐτὸς μιμούμενος τὸν πρε- P. 280
σβύτερον; πολλαὶ τοιαῦται τῆς θεϊκῆς σοφίας αἱ Pott.
εἰκόνες· ἑνὸς δὲ ὑποδείγματος μνησθήσομαι καὶ διὰ

---

*) Hes. ἔργ. 1, 291 sq. **) Iac. 2, 23.

βραχέων παραθήσομαι· τὸ Σοδομιτῶν πάθος κρίσις μὲν ἀδικήσασι, παιδαγωγία δὲ ἀκούσασιν.

§. 44. *Οἱ Σοδομῖται**) *ὑπὸ πολλῆς τρυφῆς ἐξοκείλαντες εἰς ἀσέλγειαν, μοιχεύοντες μὲν ἀδεῶς, περὶ τὰ παιδικὰ ἐκμανῶς ἐπτοημένοι, ἐπεῖδεν αὐτοὺς ὁ παντεπόπτης λόγος, ὃν οὐκ ἔστι λαθεῖν ἀνόσια δρῶντας, οὐδὲ ἐπηρέμησεν τῇ ἀσελγείᾳ αὐτῶν ὁ ἄγρυπνος τῆς ἀνθρωπότητος φύλαξ· ἀποτρέπων δὲ ἡμᾶς τῆς μιμήσεως τῆς ἐκείνων, πρὸς σωφροσύνην τὴν αὑτοῦ παιδαγωγῶν, τίσιν τοῖς ἁμαρτωλοῖς ἐπιβαλὼν, ὡς μὴ τὸ ἀτιμώρητον τῆς ἀκολασίας ἀδείας ἐπιρροὴν προσλάβῃ, καταφλεχθῆναι προσέταξε τὰ Σόδομα, ὀλίγον τι τοῦ φρονίμου πυρὸς ἐκείνου ἐπὶ τὴν ἀκολα-* P. 103 *σίαν ἐκχέων, ὡς μὴ ἀκόλαστον αὐτῶν τὸ λάγνον* Sylb. *γενόμενον πλατείας ἀναπετάσῃ κλισιάδας τοῖς εἰς ἡδυπάθειαν φερομένοις. γέγονε τοίνυν ἡ Σοδομιτῶν δικαία τιμωρία τῆς εὐλογίστου τοῖς ἀνθρώποις σωτηρίας εἰκών· οἱ γὰρ μὴ τὰ ὅμοια τοῖς κεκολασμένοις ἁμαρτήσαντες οὐ τὴν ὁμοίαν ποτὲ τοῖς ἁμαρτωλοῖς ὑπόσχοιεν δίκην τῷ μὴ ἁμαρτεῖν τὸ μὴ παθεῖν πεφυλαγμένοι. „εἰδέναι γὰρ ὑμᾶς", φησὶν ὁ Ἰούδας, „βούλομαι, ὅτι ὁ θεὸς ἅπαξ ἐκ γῆς Αἰγύπτου λαὸν σώσας τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον ἀγρίων ἀγγέλων τετήρηκεν"* **).

§. 45. *Καὶ κατὰ μικρὸν διδασκαλικώτατα ἐκτίθεται τὰς εἰκόνας τῶν κρινομένων· „οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο"* ***). *τοὺς γὰρ μὴ δυναμένους ἐξουσίαν υἱοθεσίας φέρειν ὁ φόβος μὴ ἐξυβρίζειν διατηρεῖ. διὰ τοῦτο γὰρ αἱ κολάσεις καὶ αἱ ἀπειλαὶ, ἵνα δείσαντες*

---

*) Cf. Genes. c. 15. **) Iud. 5, 6. ***) Ibid. v. 11.

τὰς δίκας τοῦ ἁμαρτάνειν ἀποσχώμεθα. ἔχω σοὶ φιλοκοσμίας κολάσεις διηγήσασθαι καὶ φιλοδοξίας τιμωρίας, οὐκ ἀκρασίας μόνον, πρὸς δὲ καὶ τὰς ἐπὶ πλούτῳ κακόφρονας παραθέσθαι βλασφημίας, ἐν αἷς διὰ τοῦ φοβεῖν ὁ λόγος ἀνείργει τῶν ἀδικημάτων. ἀλλὰ γὰρ φειδόμενος τοῦ μήκους τοῦ συντάγμα- P. 281
τος τὰς ἑξῆς τοῦ παιδαγωγοῦ προσάγω σοὶ ἐντο- Pott.
λας, ἵνα δὴ φυλάξῃ τὰς ἀπειλάς.

Cap. IX.

Τίνος ἕνεκα τὸ λουτρὸν παραληπτέον.

§. 46. *Βαλανείου* τοίνυν — ἐντεῦθεν γὰρ ἀπετράπην λέγων — τέσσαρές εἰσιν αἰτίαι, καθ᾽ ἃς ἐπ᾽ αὐτὸ παραγινόμεθα· ἢ γὰρ καθαριότητος ἕνεκα ἢ ἀλέας ἢ ὑγιείας ἢ τελευταῖον ἡδονῆς. ἡδονῆς μὲν οὖν ἕνεκα λούσασθαι παραπεμπτέον, ἄρδην γὰρ τὴν ἀναίσχυντον ἡδονὴν ἐκκοπτέον, παραληπτέον δὲ τὸ λουτρὸν ταῖς μὲν γυναιξὶ καθαριότητος ἕνεκεν καὶ ὑγιείας, ὑγιείας δὲ μόνης ἀνδράσι. περιττὸν δὲ τὸ τῆς ἀλέας· ἐξὸν δὲ καὶ ἄλλως παραμυθεῖσθαι τὸ κατεσκληκὸς ὑπὸ κρύους. αἱ δὲ τοῦ βαλανείου συνεχεῖς χρήσεις καθαιροῦσι τὰς δυνάμεις καὶ τοὺς φυσικοὺς χαλῶσι τόνους, πολλάκις δὲ ἐκλύσεις ἄγουσι καὶ λειποθυμίας. τρόπον γάρ τινα πίνει τὰ σώματα, ὥσπερ τὰ δένδρα, οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τῇ δι᾽ ὅλου τοῦ σώματος κατὰ τὸ λουτρὸν, ὥς φασι, πορυποιία. τεκμήριον τούτου· διψήσαντες πολλάκις ἔπειτα ἐμβάντες εἰς τὰ ὕδατα τὴν δίψαν ἠκέσαντο. εἰ μὴ οὖν πρός τι ὠφελεῖ τὸ λουτρὸν, ἤδη σφᾶς ἐκλυτέον αὐτῷ· ἀνθρωπογναφεῖα ἐκάλουν αὐτὰ οἱ παλαιοὶ, ἐπεὶ θᾶττον ἢ προσῆκεν ῥακοῖ τὰ σώματα καὶ προγηράσκειν ἀναγκάζει καθέψοντα

κατὰ τὰ αὐτὰ τῷ σιδήρῳ μαλασσομένης τῇ θερμότητι τῆς σαρκός· ἐντεῦθεν οἱονεὶ τῆς βαφῆς καὶ τῆς στομώσεως τοῦ ψυχροῦ δεόμεθα.

§. 47. Οὐδὲ μὴν ἑκάστοτε λουτέον, ἀλλ' P. 282 Pott. εἴτε ἔλαττόν τις εἴη κενὸς ἢ αὖ πλήρης ἄγαν, παραιτητέον τὸ βαλανεῖον. καὶ μὴν κατὰ τὴν τοῦ σώματος ἡλικίαν καὶ τοῦ ἔτους τὴν ὥραν· οὐ γὰρ πάντας ἀεὶ οὐδὲ ἀεὶ ὀνίνησιν, ὡς οἱ περὶ ταῦτα σοφοὶ ὁμολογοῦσιν. ἡμῖν δὲ ἀπόχρη ἡ συμμετρία, ἣν πανταχοῦ βοηθὸν ἐπικαλούμεθα τῷ βίῳ· οὐδὲ γὰρ τοσοῦτον ἐνδιατριπτέον τῷ βαλανείῳ ὡς δεῖσθαι χειραγωγοῦ οὐδὲ συνεχῶς καὶ πολλάκις ἡμέρας λούεσθαι καθάπερ εἰς ἀγορὰν θαμίζοντες. ἀλλὰ καὶ τὸ ὑπὸ πλειόνων οἰκετῶν καταιονεῖσθαι ἐξυβρίζειν ἐστὶν εἰς τοὺς πλησίον πλεονεκτοῦντας τῇ τρυφῇ καὶ συνιέναι μὴ ἐθελόντων, ὡς κοινὸν ἐπίσης εἶναι τῶν λουομένων τὸ βαλανεῖον δεῖν. λούειν δὲ δεῖ, μάλιστα μὲν τὴν ψυχὴν καθαρσίῳ λόγῳ, καὶ τὸ σῶμα δὲ ἔσθ' ὅτε διὰ τὴν ἄσην τὴν ἐπιφυομένην αὐτῷ οὐ μὴν ἀλλ' ἔσθ' ὅτε καὶ ὑπεκλύειν τοὺς καμάτους. „οὐαὶ γὰρ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί", φησὶν ὁ κύριος, „ὅτι ὅμοιοί ἐστε τάφοις κεκονιαμένοις, ἔξωθεν ὁ τάφος φαίνεται ὡραῖος, ἔνδον δὲ γέμει ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας" *).

§. 48. Καὶ πάλιν τοῖς αὐτοῖς φησίν· „οὐαὶ ὑμῖν, ὅτι καθαρίζετε τὸ ἔξω τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔνδοθεν δὲ γέμουσιν ἀκαθαρσίας, καθάρισον πρῶτον τὸ ἔνδον τοῦ ποτηρίου, ἵνα γένηται καὶ τὸ ἔξωθεν καθαρόν" **). τὸ μὲν οὖν ἄριστον λουτρὸν τῆς ψυχῆς ἀποσμήχει τὸν ῥύπον καί ἐστι πνευματικόν, ἐφ' οὗ διαρρήδην ἡ προφητεία λέγει· „ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Ἰσραήλ, καὶ καθαριεῖ τὸ αἷμα ἐκ μέσου αὐτῶν" ***), τὸ αἷμα τῆς ἀνομίας καὶ τῶν προφητῶν τοὺς φόνους. καὶ τὸν

*) Matth. 23, 27. **) Ibid. v. 25 sq. ***) Ies. 4, 4.

τρόπον τῆς καθάρσεως ἐπήγαγεν ὁ λόγος εἰπών· „ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως“· τὸ δὲ τοῦ σώματος τὸ σαρκικὸν καὶ διὰ μόνου ὕδατος ἀποπλύνεται, καθάπερ ἐν ἀγροῖς γίνεται πολλάκις, ὅπου βαλανεῖον οὐκ ἔστιν.

Cap. X.

Ὅτι καὶ γυμνάσια ἐκκριτέον τοῖς κατὰ λόγον βιοῦσιν.

§. 49. Μειρακίοις δὲ γυμνάσιον ἀπόχρη, κἂν βαλανεῖον παρῇ· καὶ γὰρ καὶ ταῦτα τοῖς ἀνδράσι παντὸς μᾶλλον πρὸ τῶν λουτρῶν ἐγκρῖναι οὐ φαῦ-
P. 104 λον ἴσως, ἔχοντά τι χρήσιμον τοῖς νέοις πρὸς
Sylb. ὑγίειαν, σπουδήν τε καὶ φιλοτιμίαν ἐντιθέντα, οὐχὶ εὐεξίας μόνον, ἀλλὰ καὶ εὐψυχίας ἐπιμελεῖ- P. 283
σθαι, ὃ δὴ γινόμενον ἄνευ τοῦ τῶν κρειττόνων Pott.
ἔργων ἀποσπᾶσθαι χάριεν καὶ οὐκ ἀλυσιτελές. οὐδὲ ἐνταῦθα δὲ ὑπεξαιρετέον τῆς κατὰ τὸ σῶμα διαπονήσεως τὰς γυναῖκας, ἀλλ᾽ οὐκ ἐπὶ πάλην καὶ δρόμους παρακλητέον αὐτάς, ταλασιουργίᾳ δὲ γυμναστέον καὶ ἱστουργίᾳ καὶ τῷ παραστῆναι τῇ πεττούσῃ, εἰ δέοι. ἔτι δὲ αὐτουργικῶς προκομίζειν χρὴ ἐκ τοῦ ταμιείου τὰς γυναῖκας ὧν δεοίμεθα καὶ τῷ μύλῳ προσελθεῖν οὐκ αἰσχρὸν αὐτάς· οὐδὲ μὴν περὶ τὸ ὕδωρ ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ. εἰ δὲ καὶ στρωμνὴν ἀνατινάξαι δι᾽ αὐτῆς καὶ ποτὸν ὀρέξαι διψῶντι τῷ γεγαμηκότι καὶ ὄψον παραθείη, εὐσχημονέστατα μεντἂν καὶ εἰς σώφρονα ὑγίειαν γυμνασθείη, τὴν τοιαύτην γυναῖκα ὁ παιδαγωγὸς ἀποδέχεται, „ἣ τοὺς πήχεις ἐκτενεῖ εἰς τὰ χρήσιμα, τὰς χεῖρας δὲ αὐτῆς ἐρείδεται εἰς ἄτρακτον, χεῖρας δὲ αὐτῆς διήνοιξεν πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ“*), τὴν μάλιστα διακονίαν οὐκ ἐπῃσχύνθη ζηλώσασα Σάρραν ὑπουργῆσαι τοῖς ὁδοιπόροις. εἶπεν γὰρ αὐτῇ Ἀβραάμ· „σπεῦσον καὶ

*) Prouerb. 31, 19 sq.

φύρασον τρία μέτρα σεμιδάλεως καὶ ποίησον ἐγκρυφίας"*). „Ῥαχὴλ δὲ ἡ θυγάτηρ Λάβαν ἤρχετο", φησὶ, „μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς". καὶ οὐκ ἤρκει ταῦτα, ἀλλὰ τὴν ἀτυφίαν ἐκδιδάσκων προσεπήγαγεν· „αὐτὴ γὰρ ἔβοσκεν τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς"**).

§. 50. Καὶ μυρία ὅσα αἱ γραφαὶ ὀρέγουσιν εὐτελείας ἅμα καὶ αὐτουργίας, πρὸς δὲ καὶ γυμνασίων ὑποδείγματα· ἀνδρῶν δὲ οἱ μὲν γυμνοὶ καὶ πάλης μετεχέτωσαν, οἱ δὲ καὶ σφαίρῃ τῇ μικρᾷ παιζόντων τὴν φαινίνδα παιδιὰν ἐν ἡλίῳ μάλιστα, ἄλλοις ὁ περίπατος αὐτάρκης ἀγρόνδε βαδίζουσιν ἢ εἰς ἄστυ κατιοῦσιν. εἰ δὲ καὶ σκαπάνης ἅψαιντο, οὐκ ἀγεννὲς τοῦτο παρεμπόρευμα οἰκονομικὸν γυμνασίου γεωργικοῦ. ἀλλὰ γὰρ μικροῦ δεῖν ἔλαθέν P. 284 Pott. με εἰπεῖν ὁ Πιττακὸς ἐκεῖνος, ὅτι ἤλεθεν ὁ Μιτυληναίων βασιλεὺς ἐνεργῷ γυμνασίῳ χρώμενος. καλὸν δὲ καὶ ὕδωρ ἀνιμῆσαι δι' αὑτοῦ καὶ ξύλα διατεμεῖν, οἷς αὐτοῖς χρήσεται. Ἰακὼβ δὲ ἐποίμαινεν τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα, σημεῖον ἔχων βασιλικὸν ῥάβδον στυρακίνην***) ἐναλλάττειν μελετῶσαν διὰ τοῦ ξύλου ἐπὶ τὸ βέλτιον τὴν φύσιν. πολλοῖς δὲ ἔσθ' ὅτε καὶ τὸ γεγωνὸν τῆς ἀναγνώσεως γυμνάσιόν ἐστιν.

§. 51. Καὶ δὴ τά γε καὶ κατὰ πάλην, ἣν ἐνεκρίναμεν, εἰ μὴ φιλονεικίας ἀχρήστου παραλαμβανέσθω χάριν, εἰς δὲ ἱδρώτων ἀνδρωδῶν ἐκκρίσεις· καὶ οὔτι γε τὸ ἔντεχνον διαπονητέον, τὸ ἐπιδεικτικὸν αὐτῆς, τὰ δὲ ἀπὸ ὀρθῆς πάλης, ἀπ' αὐχένων καὶ χειρῶν καὶ πλευρῶν ἐξειλήσεως· κοσμιωδεστέρα γὰρ καὶ ἀνδρωδεστέρα μετ' εὐσχήμονος ῥώμης ἡ τοιαύτη διαπόνησις ὑγιείας ἕνεκεν εὐχρήστου καὶ ὀνησιφόρου παραλαμβανομένη· οἱ δὲ ἄλλοι λοιπὸν οἱ γυμναστικῆς οὐκ ἐλευθέρων στάσεων μελέτην καταγγέλλοντες. πανταχοῦ δὲ τοῦ μέτρου στοχαστέον. ὡς γὰρ πόνους σιτίων ἡγεῖσθαι ἄριστον, οὕτως τὸ ὑπὲρ τὸ μέ-

*) Genes. 18, 6. **) Ibid. 29, 9. ***) Cf. Genes. 30, 37.

τρον πονεῖν καὶ κάκιστον καὶ κοπῶδες καὶ νοσοποιόν. οὔτ' οὖν παντάπασιν ἀργὸν εἶναι χρὴ οὐδὲ μὴν παντελῶς ἐπίπονον. καθάπερ γὰρ καὶ ἐπὶ τῆς τροφῆς διεξεληλύθαμεν, παραπλησίως ἐν πᾶσι καὶ πανταχοῦ οὐ πρὸς ἡδυπάθειαν τετράφθαι καὶ ἀκόλαστον χρὴ δίαιταν οὔτ' αὖ πρὸς τὴν ἐναντίαν τὴν ἄκρατον, ἀλλὰ τὴν μεταξὺ τούτων τὴν ἐμμελῆ τε καὶ σώφρονα καὶ καθαρὰν ἑκατέρας κακίας, P. 284 Pott. τρυφῆς τε καὶ φειδωλίας.

§. 52. Ἤδη δὲ ὡς καὶ πρόσθεν εἰρήκαμεν, ἄτυφον ἡ αὐτάρκεια γυμνάσιον καὶ τὸ ὑποδήσασθαί τινα αὐτὸν αὑτῷ καὶ τὸ ἀπονίψασθαι τὼ πόδε, πρὸς δὲ καὶ τὸ ἀληλιμμένον λίπα ἀνατρῖψαι αὐτόν· τὸ δὲ καὶ τὴν ἀμοιβὴν τὴν ἴσην ἀνταποδοῦναι τῷ τρίψαντι ἐναλλὰξ καὶ τοῦτο δικαιοσύνης ἐστὶ κοινωνικῆς τὸ γυμνάσιον καὶ παραδαρθεῖν φίλῳ νοσοῦντι καὶ ὑπουργῆσαι μὴ δυναμένῳ καὶ παραθεῖναι δεομένῳ. καὶ παρέθηκεν αὐτοῖς, φησὶν, Ἀβραὰμ τοῖς τρισὶν ἄριστον ὑπὸ τὸ δένδρον καὶ παρέστη ἐσθίουσιν αὐτοῖς*). καὶ ἡ ἁλεία, ὡς τῷ Πέτρῳ, εἰ σχολὴν ἀπὸ τῶν ἀναγκαίων τῶν ἐν λόγῳ μαθημάτων ἄγοιμεν. αὕτη δὲ βελτίων ἡ ἄγρα, ἣν ἐχαρίσατο ὁ κύριος τῷ μαθητῇ, καθάπερ ἰχθῦς διὰ ὕδατος ἀνθρώπους ἁλιεύειν διδάξας.

Cap. XI.

Ἐπιδρομὴ κεφαλαιώδης τοῦ ἀρίστου βίου.

§. 53. *Διὰ* τοῦτο καὶ τὸ χρυσοφορεῖν καὶ τὸ ἐσθῆτι μαλθακωτέρᾳ χρῆσθαι οὐ τέλεον περικοπτέον, χαλινωτέον δὲ τὰς ἀλόγους τῶν ὁρμῶν, μὴ εἰς τὸ ἁβροδίαιτον ἡμᾶς ἐνσείσωσι φέρουσαι ὑπὸ πολλῆς τῆς ἀνέσεως ἐξαρπάσασαι· δεινὴ γὰρ ἡ τρυφὴ εἰς

*) Genes. 18, 9. **) Ioann. 21, 3.

κόρον ἐξοκείλασα σκιρτῆσαι καὶ ἀναχαιτίσαι καὶ τὸν ἡνίοχον καὶ τὸν παιδαγωγὸν ἀποσείσασθαι, ὃς πόῤῥωθεν ἀνακόπτων τὰς ἡνίας ἄγει καὶ φέρει πρὸς σωτηρίαν τὸν ἵππον τὸν ἀνθρώπειον, τὸ ἄλογον μέρος τῆς ψυχῆς τὸ περὶ ἡδονὰς καὶ ὀρέξεις ἐπιψόγους καὶ λίθους καὶ χρυσίον καὶ ἐσθῆτα ποικίλην καὶ τὴν ἄλλην χλιδὴν ἐκθηριούμενον· ἐκεῖνο μάλιστα ἐν νῷ ἔχοντες τὸ εἰρημένον ἁγίως· „τὴν ἀναστροφὴν P. 105 Sylb. ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλὴν, ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δοξάσωσι τὸν θεόν“ *). δίδωσιν οὖν ἡμῖν ὁ παιδαγωγὸς ἐσθῆτι χρῆσθαι τῇ λιτῇ, χρόᾳ δὲ τῇ λευκῇ, ὡς προειρήκαμεν, ἵνα μὴ τέχνῃ ποικιλλομένῃ, φύσει δὲ γεννωμένῃ οἰκειούμενοι πᾶν ὅσον ἀπατηλὸν καὶ τῆς ἀληθείας καταψευδόμενον παρωσάμενοι τὸ μονότροπον καὶ μονοπρόσωπον τῆς ἀληθείας ἀσπασώμεθα. ἁβροδίαιτον ἐνονειδίζων νεά- P. 286 Pott. νιδα ὁ Σοφοκλῆς λέγει·

γυναικομίμοις ἐμπρεπεῖς ἐσθήμασιν.

ὡς γὰρ στρατιώτου καὶ ναύτου καὶ ἄρχοντος, οὕτως δὲ καὶ σώφρονός ἐστιν οἰκεία στολὴ ἡ ἀπερίεργος καὶ εὐσχήμων καὶ καθάριος.

§. 54. Παρ᾽ ὃ καὶ ὁ ἐν τῷ νόμῳ περὶ τῆς λέπρας**) διὰ Μωϋσέως τεθεὶς νόμος τὸ ποικίλον καὶ πολύστικτον οὐχ ὡς ὅσιον ἀπωθεῖται ταῖς ποικίλαις τοῦ ὄφεως φολίσιν ἐοικός. τὸν γοῦν μηκέτι διηνθισμένον ποικιλίᾳ χρωμάτων, ὅλον δὲ λευκωθέντα δι᾽ ὅλων ἀπὸ κεφαλῆς ἄκρας ἄχρι ποδῶν ἐσχάτων καθαρὸν εἶναι ἐθέλει, ἵνα κατὰ τὴν ἀπὸ τοῦ σώματος μετάβασιν τὸ ποικίλον καὶ πανοῦργον τῆς διανοίας μεταθέμενοι πάθος τὸ ἀποίκιλτον καὶ ἀνενδοίαστον τῆς ἀληθείας ἁπλοῦν ἀγαπήσωμεν χρῶμα. ὁ δὲ καὶ ἐν τούτῳ ἄρα ζηλωτὴς Μωϋσέως ὁ πάντα ἄριστος Πλάτων ὑφὴν ἐκείνην ἀποδέχεται, ᾗ μὴ πλέον ἔργον

*) 1 Petr. 2, 12. **) Cf. Leuit. 8.

πρόσεστι γυναικὸς σώφρονος, χρώματα δὲ λευκὰ πρέποντα ἂν εἴη σεμνότητι καὶ ἄλλοθι, λέγει, καὶ ἐν ὑφῇ· βάμματα δὲ μὴ προσφέρειν, ἀλλ' ἢ πρὸς τὰ πολέμου κοσμήματα. εἰρηνικοῖς ἄρα ἀνθρώποις καὶ φωτεινοῖς κατάλληλον τὸ λευκόν.

§. 55. Ὡς οὖν τὰ σημεῖα ἐγγυτάτω ὄντα τῶν αἰτιῶν παρόντα σημαίνει, μᾶλλον δὲ δείκνυσι τὴν τοῦ ἀποτελέσματος ὕπαρξιν, οἷον καπνὸς μὲν πῦρ, εὔχροια δὲ καὶ εὐσφυξία ὑγίειαν, οὕτως καὶ παρ' ἡμῖν ἡ τοιάδε στολὴ τοῦ ἤθους τὴν κατάστασιν ἐνδείκνυται. καθάριος δὲ καὶ ἀφελὴς ἡ σωφροσύνη, ἐπεὶ ἡ μὲν καθαριότης ἕξις ἐστὶν παρασκευαστικὴ διαίτης καθαρᾶς καὶ ἀμιγοῦς αἰσχροῖς, ἡ δὲ ἀφέλεια ἕξις ἀφαιρετικὴ τῶν περιττῶν. ἡ δὲ στερεὰ ἐσθὴς καὶ μάλιστα ἡ ἄγναφος ἀποστέγει τὸ θερμὸν τὸ ἐν τῷ σώματι, οὐχ ὅτι ἐν αὐτῇ ἔχει τὴν θερμότητα ἡ ἐσθής, ἀλλ ὅτι τὴν ἐν τῷ σώματι ἐξιοῦσαν ἀναστρέφει καὶ πάροδον αὐτῇ οὐ παρέχει, εἰ δὲ καὶ ἐμπέσοι τις, συλλαβοῦσα αὐτὴν ἐν αὐτῇ ἔχει, καὶ ὑπ' αὐτῆς θερμανθεῖσα ἀντιθερμαίνει τὸ σῶμα, δι' ὃ καὶ χειμῶνος μάλιστα ταύτῃ χρηστέον. εὔκολος P. 287 Pott. δὲ αὕτη, εὐκολία δέ ἐστιν ἕξις ἀπέριττος προσδεκτικὴ τῶν πρὸς τὸ ἀνελλιπὲς ἐξαρκούντων εἰς τὸν κατὰ λόγον τὸν ὑγιῆ καὶ μακάριον βίον.

§. 56. Κεχρήσθω δὲ καὶ ἡ γυνὴ τῇ λιτῇ στολῇ καὶ τῇ σεμνῇ, μαλακωτέρᾳ δὲ μᾶλλον ἢ προσῆκεν ἀνδρί, πλὴν οὐ τέλεον ἀπηρυθρηκυίᾳ, οὐ διαρρεούσῃ τῇ μαλακότητι. ἔστων δὲ αἱ ἐσθῆτες ἁρμόζουσαι ἡλικίᾳ, προσώπῳ, τύποις, φύσει, ἐπιτηδεύμασιν. ἐνδύσασθαι γὰρ παγκάλως ἡμῖν ὁ θεῖος ἀπόστολος συμβουλεύει τὸν Χριστὸν Ἰησοῦν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι εἰς ἐπιθυμίας*). κωλύει δὲ βιαζομένους τὴν φύσιν ὁ λόγος τοὺς λοβοὺς τῶν ὠτίων τιτράναι. διὰ τί γὰρ οὐχὶ καὶ τὴν ῥῖνα;

---

*) Cf. Rom. 13, 14.

ἵνα δὴ κἀκεῖνο πληρωθῇ τὸ εἰρημένον· „ὥσπερ ἐνώτιον ἐν ῥινὶ ὑὸς, οὕτως γυναικὶ κακόφρονι κάλλος" *). καθόλου γὰρ εἴ τις ἡγεῖται κοσμεῖσθαι χρυσίῳ, ἐλάττων ἐστὶν χρυσίου, ὁ δὲ ἐλάττων χρυσίου οὐκ ἔστι κύριος αὐτοῦ. ἀκοσμότερον δὲ ὁμολογεῖν ἑαυτὸν καὶ ἥττονα τοῦ Λυδίου ψήγματος πῶς οὐκ ἀτοπώτατον; καθάπερ οὖν καὶ τὸ χρυσίον μιαίνεται τῆς συὸς τῇ ἀκαθαρσίᾳ τῷ ῥύγχει τὸν φορυτὸν ἐκταρασσούσης, οὕτως ἀσελγαίνειν αἱ τρυφητικώτεραι ὑπὸ τῆς περιουσίας ἐπαιρόμεναι τὸ κάλλος τὸ ἀληθινὸν καθυβρίζουσιν ἀφροδισίων μολυσμοῖς.

§. 57. Δίδωσιν οὖν αὐταῖς δακτύλιον ἐκ χρυσίου οὐδὲ τοῦτον εἰς κόσμον, ἀλλ' εἰς τὸ ἀποσημαίνεσθαι τὰ οἴκοι φυλακῆς ἄξια διὰ τὴν ἐπιμέλειαν τῆς οἰκουρίας. εἰ γὰρ οἱ πάντες ἦσαν παιδαγωγούμενοι, οὐδὲν τῶν σφραγίδων ἔδει ἐπίσης ὄντων δικαίων καὶ οἰκετῶν καὶ δεσποτῶν, ἐπεὶ δὲ ἡ ἀπαιδευσία πολλὴν ἐνδίδωσι ῥοπὴν εἰς ἀδικίαν, σφραγίδων ἐδεήθημεν. ἀλλ' ἔστιν οὗ καθυφεῖναι τοῦ τόνου καιρός. καὶ γὰρ ἔσθ' ὅτε συγγνωστέον ταῖς οὐκ ἐντυχούσαις περὶ γάμον σώφρονα καὶ τἀνδρὸς διὰ τὴν ἀρεσκείαν κοσμουμέναις. ὅρος δὲ αὐταῖς ἐπικείσθω ἡ πρὸς μόνους τοὺς ἑαυτῶν ἄνδρας φιλοτιμία. P. 288 Pott. ἐγὼ μὲν οὐκ ἐβουλόμην τὴν σωματικὴν εὐπρέπειαν ἀσκεῖν αὐτὰς, ἐπάγεσθαι δὲ τοὺς γήμαντας φιλανδρίᾳ σώφρονι, βιαστικῷ καὶ δικαίῳ φαρμάκῳ, πλὴν ἀλλ' ἐπεὶ δυστυχεῖν βούλονται τὴν ψυχὴν, προκείσθω αὐταῖς, εἴ γε σωφρονεῖν ἐθέλοιεν, τὰς ἀλόγους ὁρμὰς καὶ ἐπιθυμίας τῶν ἀνδρῶν καταπραΰνειν ἠρέμα. ἡσυχῇ δὲ αὐτοὺς ἐπὶ τὴν λιτότητα ὑπακτέον τῷ πρὸς ὀλίγον πρὸς τὸ σωφρονέστερον ἐθισμῷ. τὸ γὰρ σεμνὸν κατάστημα οὐ προσθήκῃ τοῦ φορτικοῦ, ἀλλὰ ἀφαιρέσει τοῦ περιττοῦ περιγίγνεται.

*) Prouerb. 11, 22.

§. 58. *Καθάπερ οὖν ὠκύπτερα περικοπτέον τῶν γυναικῶν τὰ χρήματα τὰ τρυφητικὰ χαυνότητας ἀβεβαίους καὶ κενὰς ἐμποιοῦντα ἡδονάς, ἐφ' ὧν ἐπαιρόμεναι καὶ πτερούμεναι πολλάκις ἀποπέτονται τῶν γάμων. διὸ καὶ συστέλλειν χρὴ τὰς γυναῖκας κοσμίως καὶ περισφίγγειν αἰδοῖ σώφρονι, μὴ παραρρυῶσι τῆς ἀληθείας διὰ χαυνότητα. καλὸν μὲν οὖν* P. 106 Sylb. *ταῖς γαμεταῖς πεπιστευκότας αὐταῖς σφῶν τοὺς ἄνδρας τὴν οἰκουρίαν αὐταῖς ἐπιτρέπειν βοηθοῖς εἰς τοῦτο δεδομέναις, εἰ δὲ ἄρα δέοι καὶ ἡμᾶς ἐμπολιτευομένους καὶ ἄλλας τινὰς τῶν κατ' ἀγρὸν διοικουμένους πράξεις, πολλάκις δὲ καὶ ἄνευ γυναικῶν γενομένους ὑπὲρ ἀσφαλείας ἀποσφραγίζεσθαί τινα, δίδωσιν καὶ ἡμῖν εἰς τοῦτο μόνον σημαντῆρα, τοὺς δὲ ἄλλους ἀπορριπτέον δακτυλίους· ἐπεὶ „κόσμος" κατὰ τὴν γραφὴν „χρυσοῦς φρονίμῳ παιδεία"**). *αἱ δὲ χρυσοφοροῦσαι τῶν γυναικῶν δεδιέναι μοὶ δοκοῦσιν, μὴ ἤν ἀφέληταί τις αὐτῶν τὰ χρυσία, δοῦλαι νομισθῶσιν οὐ κοσμούμεναι. τὸ δὲ εὐγενὲς τῆς ἀληθείας ἐν τῷ φύσει καλῷ κατὰ ψυχὴν ἐξεταζόμενον οὐ πράσει καὶ ὠνῇ τὸν δοῦλον, ἀλλὰ τῇ γνώμῃ τῇ ἀνελευθέρῳ διακέκρικεν, ἡμῖν δὲ οὐ φαίνεσθαι ἐλευθέροις, ἀλλὰ εἶναι ἁρμόζει, τοῖς θεῷ μὲν παιδαγωγουμένοις, θεῷ δὲ εἰσπεποιημένοις.*

§. 59. *Διὸ καὶ στάσιν καὶ κίνησιν καὶ βάδισμα καὶ ἐσθῆτα καὶ ἅπαξ ἁπλῶς τὸν πάντα βίον ὅτι μάλιστα ἐλευθεριώτατον ἐπαναιρητέον. ἀλλὰ καὶ τὸν δακτύλιον οὐκ ἐπ' ἄρθρῳ φορητέον τοῖς ἀνδράσι — γυναικεῖον γὰρ τοῦτο —, εἰς δὲ τὸν μικρὸν δάκτυλον, καὶ τοῦτο εἰς τοὔσχατον καθιέναι· ἔσται γὰρ οὕτως* P. 289 Pott. *εὐεργὴς ἡ χείρ, ἐν οἷς αὐτῆς δεόμεθα· καὶ οὐ ῥᾷστα ὁ σημαντὴρ ἀποπεσεῖται τῇ μείζονι τοῦ ἄρθρου συνδέσει φυλαττόμενος. αἱ δὲ σφραγῖδες ἡμῖν ἔστων πελειὰς ἢ ἰχθὺς ἢ ναῦς οὐριοδρομοῦσα ἢ*

---

*) Eccles. 21, 21.

λύρα μουσική, ᾗ κέχρηται Πολυκράτης, ἢ ἄγκυρα ναυτική, ἣν Σέλευκος ἐνεχαράττετο τῇ γλυφῇ, κἂν ἁλιεύων τις ᾖ, ἀποστόλου μεμνήσεται καὶ τῶν ἐξ ὕδατος ἀνασπωμένων παιδίων· οὐ γὰρ εἰδώλων πρόσωπα ἐναποτυπωτέον, οἷς καὶ τὸ προσέχειν ἀπείρηται, οὐδὲ μὴν ξίφος ἢ τόξον τοῖς εἰρήνην διώκουσιν ἢ κύπελλα τοῖς σωφρονοῦσιν.

§. 60. Πολλοὶ δὲ τῶν ἀκολάστων γεγλυμμένους ἔχουσι τοὺς ἐρωμένους ἢ τὰς ἑταίρας, ὡς μηδὲ ἐθελήσασιν αὐτοῖς λήθην ποτὲ ἐγγενέσθαι δυνηθῆναι τῶν ἐρωτικῶν παθημάτων διὰ τὴν ἐνδελεχῆ τῆς ἀκολασίας ὑπόμνησιν. τριχῶν δὲ πέρι ταύτῃ δοκεῖ· ψιλὴ μὲν ἡ τῶν ἀνδρῶν κεφαλή, πλὴν εἰ μὴ οὔλας ἔχοι τὰς τρίχας, λάσιον δὲ τὸ γένειον, αἱ δὲ συνεστραμμέναι τῶν τριχῶν ἀπὸ τῆς κεφαλῆς μὴ καθικέσθωσαν ἄγαν εἰς πλοκάμους κατολισθαίνουσαι γυναικείους· ἀπόχρη γὰρ τὸ ἠϋγένειον τοῖς ἀνδράσιν. εἰ δέ τις καὶ κείραιτό τι τοῦ γενείου, οὐ μέντοι παντελῶς ψιλωτέον αὐτό· αἰσχρὸν γὰρ τὸ θέαμα καὶ κατέγνωσται ἡ τοῦ γενείου ἐν χρῷ κουρὰ παρατίλσει καὶ λειότητι γειτνιῶσα. αὐτίκα γοῦν ὁ ψαλμῳδὸς τοῦ γενείου τερπόμενος τῇ κόμῃ, „ὡς τὸ μύρον", φησί, „τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών"*), τῇ παλινῳδίᾳ τοῦ πώγωνος τὸ εὐπρεπὲς ὑμνήσας πρόσωπον τῷ μύρῳ κατεγάνωσε κυρίου.

§. 61. Ἐπεὶ δὲ οὐχ ὡραϊσμοῦ χάριν ἡ κουρὰ P. 290 Pott. παραληπτέα, διὰ περίστασιν δέ, τὰς μὲν τῆς κεφαλῆς τρίχας ὡς μὴ αὐξανόμεναι ταῖς ὄψεσιν ἐμποδίζοιεν καταβαίνουσαι, καὶ ἴσως τὰς ἐπὶ τῷ μύστακι μολυνομένας κατὰ τὴν τροφὴν περικαρτέον, οὐ ξυρῷ — ἀγεννὲς γάρ —, ἀλλὰ ταῖς δυοῖν μαχαίραις ταῖς κουρικαῖς, τὰς δὲ τοῦ γενείου μηδέν τι παραλυπούσας οὐκ ἐνοχλητέον, σεμνότητα μὲν τοῦ

*) Psalm. 133, 2.

προσώπου καὶ κατάπληξιν γεννητικὴν ἐμποιούσας, πολλοὺς δὲ καὶ τὸ σχῆμα παραπαιδαγωγεῖ μὴ ἁμαρτάνειν διὰ τὸ εὐέξέλεγκτον, τοῖς δὲ ἀναφανδὸν ἁμαρτάνειν ἐθέλουσιν τὸ λανθάνον τοῦ σχήματος καὶ μὴ παράσημον ἐπιτερπέστατον, ὑφ' ᾧ δεδοικότες οἷς ἔξεστι δι' ἄγνοιαν πλημμελεῖν τοῖς πολλοῖς ἐξομοιούμενοι τὸ ἁμαρτάνειν ἀδεῶς κεκάρπωνται.

§. 62. *Οὐ μόνον οὖν αὐστηρὸν δεικνύει τὸν ἄνδρα τῆς κεφαλῆς τὸ ψιλὸν, ἀλλὰ καὶ δυσπαθὲς κατασκευάζει τὸ κρανίον, προσομιλεῖν ἐθίζον καὶ κρύει καὶ καύματι καὶ τὰς ἀπὸ τούτων διωθεῖται βλάβας, ἃς ἡ κόμη σπόγγου τρόπον εἰς ἑαυτὴν ἀναλαμβάνουσα ἐγκατασκήπτει τῷ ἐγκεφάλῳ παράμονον ἐκ τῆς νοτίδος τὴν βλάβην. ταῖς γυναιξὶ δὲ ἀπόχρη μαλάσσειν τὰς τρίχας καὶ ἀναδεῖσθαι τὴν κόμην εὐτελῶς περόνῃ τινὶ λιτῇ παρὰ τὸν αὐχένα ἀφελεῖ θεραπείᾳ συναυξούσαις εἰς κάλλος γνήσιον τὰς σώφρονας κόμας. καὶ γὰρ αἱ περιπλοκαὶ τῶν τριχῶν αἱ ἑταιρικαὶ καὶ αἱ τῶν σειρῶν ἀναδέσεις πρὸς τὸ εἰδεχθεῖς αὐτὰς δεικνύναι, κόπτουσαι τὰς τρίχας, ἀποτίλλουσαι ταῖς πανούργοις ἐμπλοκαῖς, δι' ἃς οὐδὲ θιγγάνουσι τῆς κεφαλῆς τῆς σφῶν αὐταῖς συγχεῖν τὰς τρίχας φοβούμεναι, ἀλλὰ καὶ ὁ ὕπνος αὐταῖς μετὰ δέους παραγίνεται, μὴ κατασκύλωσιν λαθοῦσαι τὸ τῆς ἐμπλοκῆς σχῆμα.*

§. 63. *Ἀλλοτρίων δὲ αἱ προσθέσεις τριχῶν* P. 291
τέλεον ἔκβλητοι, ὀθνείας τε ἐπισκευάζεσθαι τῇ κε- Pott.
φαλῇ τὰς κόμας ἀθεώτατον νεκροῖς ἐνδιδυσκούσαις πλοκάμοις τὸ κρανίον· τίνι γὰρ ὁ πρεσβύτερος ἐπιτίθησι χεῖρα; τίνα δὲ εὐλογήσει; οὐ τὴν γυναῖκα τὴν κεκοσμημένην, ἀλλὰ τὰς ἀλλοτρίας τρίχας καὶ δι' αὐτῶν ἄλλην κεφαλήν. εἰ δὲ „κεφαλὴ γυναικὸς μὲν ἀνὴρ, ἀνδρὸς δὲ ὁ Χριστὸς"), πῶς οὐκ ἄθεον διττοῖς αὐτὰς περιπίπτειν ἁμαρτήμασιν; τοὺς μὲν γὰρ ἀπα-*

---

*) 1 Cor. 11, 3.

τῶσι τοὺς ἄνδρας διὰ τὴν ὑπερβολὴν τῆς κόμης, καταισχύνουσι δὲ τὸν κύριον τὸ ὅσον ἐπ' αὐταῖς ἑταιρικῶς κοσμούμεναι εἰς ἀπάτην ἀληθείας καὶ τὴν ὄντως οὖσαν καλὴν βλασφημοῦσι κεφαλήν. οὔκουν οὐδὲ βαπτέον τὰς τρίχας, οὐδὲ μὴν τὰς πολιὰς μεταχρωστέον· οὔτε γὰρ τὴν ἐσθῆτα ποικίλλειν συγκε- P. 107 Sylb. χώρηται· καὶ μάλιστα τὸ γεραιὸν τῆς ἡλικίας καὶ ἀξιόπιστον οὐκ ἐπικαλυπτέον, ἀναδεικτέον δὲ ὑπ' αὐγὰς τοῦ θεοῦ τὸ τίμημα εἰς σέβασμα τῶν νέων· καὶ γὰρ ἀναισχυντοῦσιν ἔσθ' ὅτε πολιᾶς ἐπιφάνεια παιδαγωγοῦ δίκην ἐπιστᾶσα ἐπὶ σωφροσύνην μεθηρμόσατο αὐτοὺς καὶ κατεπλήξατο τῇ στιλπνότητι τῆς ὄψεως τὸ νεάζον τῆς ἐπιθυμίας.

§. 64. Ἀλλ' οὐδὲ τὰ πρόσωπα ἐντριπτέον αὐταῖς πανούργου σοφίας τερθρεύμασιν, ὑποδείξωμεν δὲ αὐταῖς κομμωτικὴν σώφρονα· κάλλος γὰρ ἄριστον πρῶτον μὲν τὸ ψυχικὸν, ὡς πολλάκις ἐπεσημηνάμην, ὅταν ᾖ κεκοσμημένη ψυχὴ ἁγίῳ πνεύματι καὶ τοῖς ἐκ τούτου ἐμπνεομένη φαιδρύσμασιν, δικαιοσύνῃ, φρονήσει, ἀνδρείᾳ, σωφροσύνῃ, φιλαγαθίᾳ τε καὶ αἰδοῖ, ἧς οὐδὲν εὐανθέστερον χρῶμα ἑώραται πώποτε· ἔπειτα καὶ τὸ σωματικὸν κάλλος ἠσκήσθω, συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας. ἡ κομμωτικὴ τῆς ὑγιείας ἐνταῦθα εὔθετος, καθ' ἣν ἡ τοῦ εἰδώλου τοῦ ἐπιπλάστου εἰς τὸ ἀληθὲς μετάβασις κατὰ τὸ σχῆμα τὸ ἐκ τοῦ θεοῦ δεδομένον περιγίνεται. δεινὴ δὲ καλλωπίσαι κατὰ φύσιν ἡ τῶν ποτῶν εὐκρασία καὶ ἡ τῶν σιτίων συμμετρία. οὐ γὰρ μόνον τὴν ὑγίειαν ἴσχει τὸ σῶμα ἐκ τούτων, ἀλλὰ καὶ τὸ κάλλος διαφαίνεσθαι ποιεῖ. ἀπὸ γὰρ τοῦ πυρώδους τὸ στιλπνὸν καὶ μαρμαρυγῶδες περιγίνεται, ἀπὸ δὲ τοῦ ὑγροῦ τὸ λαμπρὸν καὶ κεχαρισμένον, ἀπὸ δὲ τοῦ ξηροῦ τὸ ἀνδρῶδες καὶ πάγιον, ἀπὸ δὲ τοῦ ἀερώδους τὸ εὔπνουν καὶ ἰσοστάσιον, ἐξ ὧν ὁ εὔρυθμος καὶ καλὸς οὗτος ἀνδριὰς τοῦ P. 292 λόγου κεκόσμηται. ἄνθος γὰρ τῆς ὑγιείας ἐλευθέριον Pott.

τὸ κάλλος· ἡ μὲν γὰρ ἔνδον τοῦ σώματος ἐργάζεται, τὸ δὲ εἰς τὸ ἐκτὸς τοῦ σώματος ἐξανθῆσαν φανερὰν ἐνδείκνυται τὴν εὔχροιαν.

§. 65. Αἱ γοῦν κάλλισται καὶ ὑγιεινόταται ἀγωγαὶ διαπονοῦσαι τὰ σώματα τὸ κάλλος τὸ γνήσιον καὶ παράμονον ἐργάζονται, ἕλκοντος ἐφ᾽ ἑαυτὸ τοῦ θερμοῦ τήν τε ἰκμάδα πᾶσαν καὶ τὸ πνεῦμα τὸ ψυχρὸν, ὁλκὸν δὲ εἰς ἑαυτὴν ἡ θερμότης ἐκριπιζομένη κινήσεσιν. ἐπειδὰν δὲ ἑλκύσῃ, ἀλεαινομένων ἠρέμα δι᾽ αὐτῶν ἀτμίζει τῶν σαρκῶν τὴν ἐκ τῆς τροφῆς περιουσίαν, ποσῇ μὲν τῇ ὑγρότητι, ὑπερβολῇ δὲ θερμότητος. διὸ καὶ ἡ προτέρα κενοῦται τροφὴ, ἀκινήτῳ δὲ τῷ σώματι τὸ βρωθὲν σιτίον οὐ προσφύεται, ἀλλὰ ἐκπίπτει, ὥσπερ ἀπὸ ψυχροῦ κλιβάνου ὁ ἄρτος ἢ ὅλος ἢ μόνον ὑπολειπόμενος τὸν πυθμένα. εἰκότως οὖν τοῖς περιττεύουσι κατὰ τὰς ἀποτρίψεις τὰ οὖρα καὶ τὰ σκύβαλα πλεονάζει, πλεονάζει δὲ καὶ τὰ ἄλλα περιττώματα αὐτοῖς, πρὸς δὲ καὶ ἱδρῶτες οὐκ ἀναδιδομένης τῷ σώματι τῆς τροφῆς, ἀλλ᾽ εἰς τὰ περιττὰ ἐκχεομένης.

§. 66. Ἐντεῦθεν καὶ αἱ λαγνεῖαι ὁρμῶνται περὶ τὰ παιδοποιίας μόρια ἐπιρρεούσης τῆς περιττείας κινήσεσι συμμέτροις. διὸ τηκτέον ταύτην τὴν περιττείαν καὶ εἰς πέψιν ἀναχυτέον, δι᾽ ἧς τὸ κάλλος ἐρυθραίνεται. ἄτοπον δὲ τοὺς „κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν θεοῦ"*) γεγονότας ὥσπερ ἀτιμάζοντας τὸ ἀρχέτυπον ἔπηλυν ἐπάγεσθαι κομμωτικὴν τὴν ἀνθρώπειον κακοτεχνίαν πρὸ τῆς θείας αἱρουμένους δημιουργίας. προϊέναι δὲ αὐτὰς ὁ παιδαγωγὸς κελεύει „ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς"**), „ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ὡς καὶ εἴ τινες ἀπειθοῖεν τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται ἐποπτεύσαντες", φησὶν, „τὴν ἐν λόγῳ

---

*) Genes. 1, 26. **) 1 Timoth. 2, 9.

ἁγνὴν ἀναστροφὴν ὑμῶν· ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος, ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές" *).

§. 67. Ἡ δὲ αὐτουργία ταῖς γυναιξὶ μάλιστα τὸ γνήσιον ἐπιφέρει κάλλος γυμνάζουσα τὰ σώματα αὐτῶν καὶ σφᾶς αὐτὰς δι' αὐτῶν κοσμοῦσα, οὐ τὸν ὑπ' ἄλλων πεπονημένον προσφέρουσα κόσμον ἄκοσμον καὶ ἀνελεύθερον καὶ ἑταιρικὸν, ἀλλὰ τὸν ἑκάστης σώφρονος γυναικὸς διὰ τῶν χειρῶν αὐτῆς, ὁπότε χρῄζοι μάλιστα, ἀρκούμενον καὶ ἐξυφαινόμενον· P. 293 Pott. οὐ γάρ ποτε καθήκει ἐξ ἀγορᾶς ὠνητοῖς, ἀλλὰ τοῖς οἰκουρικοῖς τοῖς ἰδίοις ἔργοις κοσμουμένας φαίνεσθαι τὰς κατὰ θεὸν πολιτευομένας. κάλλιστον ἔργον γυνὴ οἰκουρὸς αὐτήν τε καὶ τὸν ἄνδρα τοῖς ἰδίοις περιβάλλουσα κοσμήμασι, δι' ὧν ἀγάλλονται πάντες, οἱ μὲν παῖδες ἐπὶ τῇ μητρὶ, ὁ δὲ ἀνὴρ ἐπὶ τῇ γυναικὶ, αὕτη δὲ**) ἐπὶ τούτοις, πάντες δὲ ἐπὶ τῷ θεῷ. συλλήβδην γοῦν „ταμιεῖον ἀρετῆς ἐστὶν ἀνδρεία γυνὴ, ἥτις σῖτα ὀκνηρὰ οὐκ ἔφαγεν, θεσμοὶ δὲ ἐλεημοσύνης ἐπὶ τῇ γλώσσῃ αὐτῆς, ἥτις τὸ στόμα αὐτῆς διήνοιξεν σοφῶς καὶ ἐννόμως, ἧς τὰ τέκνα ἐμακάρισαν ἀνιστάμενα", ὡς διὰ Σολομῶντος λέγει ὁ ἅγιος λόγος, „ὁ δὲ ἀνὴρ αὐτῆς ἐνεκωμίασεν. γυνὴ γὰρ εὐσεβὴς εὐλογεῖται, φόβον δὲ κυρίου αὐτὴ αἰνείτω" ***). καὶ πάλιν, „γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς" †).

§. 68. Ἐπανορθωτέον δὲ ὅτι μάλιστα καὶ τὰ σχήματα καὶ τὰ βλέμματα καὶ τὰ βαδίσματα καὶ τὰς φωνάς. οὐ γὰρ ὡς τινες τὴν ὑπόκρισιν ζηλοῦσαι τῆς κωμῳδίας καὶ τὰς κατεαγυίας τῶν ὀρχηστῶν κινήσεις παραφυλάττουσαι παρὰ τὰς ὁμιλίας σκηνο-

---

*) 1 Petr. 3, 2—4. **) Cf. Prouerb. 31, 22. ***) Ibid. v. 26—28. 30. †) Ibid. 12, 4.

βατοῦσιν, αὐτοῖς τοῖς κινήμασιν τοῖς ἁβροῖς καὶ τοῖς ὑγροῖς βαδίσμασιν καὶ φωναῖς ταῖς πεπλασμέναις κλαδαρὸν περιβλέπουσαι, δέλεαρ ἡδονῆς ἐξησκημέναι. „μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναι-
P. 108 κὸς πόρνης, ἣ πρὸς χάριν λαλοῦσα λιπαίνει σὸν
Sylb. φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον ἢ μάχαιραν δίστομον· τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θάνατον εἰς Ἅιδην" *). Σαμψὼν γοῦν τὸν γεννάδαν ἡ πόρνη νηνίκηκεν, καὶ τὸν ἄνδρα ἔκειρεν αὐτοῦ ἑτέρα γυνή. ἀλλ' οὐχ οὕτως ἠπάτησεν τὸν Ἰωσὴφ ἄλλη γυνὴ, νενίκηται δὲ ἡ πόρνη ἡ Αἰγυπτία, καὶ δεσμὰ σωφροσύνη λαμβάνουσα κρείττων ἀναφαίνεται λελυμένης ἐξουσίας. P. 294

§. 69. Ἔχοι δ' ἂν κἀκεῖνο ἄριστα τὸ εἰρη- Pott.
μένον,

τὸ δ' ὅλον οὐκ ἐπίσταμαι
ἐγὼ ψιθυρίζειν οὐδὲ κατακεκλασμένως
πλάγιον ποιήσας τὸν τράχηλον περιπατεῖν,
ὥσπερ ἑτέρους ὁρῶ κιναίδους ἐνθάδε
πολλοὺς ἐν ἄστει καὶ πεπιττοκοπημένους.

αἱ δὲ γυναικεῖοι κινήσεις καὶ θρύψεις καὶ χλιδαὶ κολουστέαι παντελῶς· τὸ γὰρ ἁβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως καὶ τὸ σαῦλα βαίνειν, ὥς φησιν Ἀνακρέων, κομιδῇ ἑταιρικά. ὥς γέ μοι φαίνεται, ἡ κωμῳδία φησὶν, τὰ ἴχνη τὰ ἑταιρικὰ ὥραν ἀπολείπειν καὶ τρυφὴν, „ἴχνη" δὲ πορνικὰ „οὐκ ἐρείδεται εἰς ἀλήθειαν, ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται, σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς καὶ οὐκ εὔγνωστοι" **). μάλιστα δὲ ὀφθαλμῶν φειστέον, ἐπεὶ τοῖς ποσὶν ἢ τοῖς ὀφθαλμοῖς ἄμεινον ὀλισθεῖν.

§. 70. Ὁ γοῦν κύριος συντομώτατα ἰᾶται τὸ πάθος τοῦτο, „εἰ σκανδαλίζει σε ὁ ὀφθαλμός σου, ἔκκοψον αὐτὸν" ***) λέγων, ἐκ βάθρων ἀνασπῶν τὴν

---

*) Prouerb. 5, 3—5. **) Ibid. v. 5 sq. ***) Matth. 5, 29.

ἐπιθυμίαν. κλαδαραὶ δὲ ὄψεις καὶ τὸ ἐνιλλώττειν, ὃ διὰ τῶν ὀφθαλμῶν βλεφαρίζειν ἐστὶν, οὐδὲν ἀλλ' ἢ διὰ τῶν ὀφθαλμῶν μοιχεύειν ἐστὶν ἀκροβολιζομένης τῆς ἐπιθυμίας δι' αὐτῶν. πρὸ γὰρ τοῦ παντὸς σώματος διαφθείρονται οἱ ὀφθαλμοί. „θεωρῶν δὲ καλὰ ὀφθαλμὸς εὐφραίνει καρδίαν"*), τουτέστι καλῶς μαθὼν θεωρεῖν εὐφραίνει, „ἐννεύων δὲ ὀφθαλμὸν μετὰ δόλου συνάγει ἀνδράσι λύπας"**). τοιοῦτόν που τὸν θηλυδρίαν Σαρδανάπαλον τῶν Ἀσσυρίων τὸν βασιλέα, ἐπὶ κλίνῃ ἀναβάδην ἑζόμενον εἰσάγουσι πορφύραν ξαίνοντα καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἐπαναβάλλοντα. αἱ ταῦτα ἐπιτηδεύουσαι γυναῖκες ἰδίαις ὄψεσι προαγωγεύουσιν αὐτάς· „λύχνος γὰρ τοῦ σώματός ἐστιν ὁ ὀφθαλμὸς"***), φησὶν ἡ γραφὴ, δι' οὗ καταφαίνεται τὰ ἔνδον φωτὶ τῷ φαινομένῳ καταυγαζόμενα. „πορνεία δὲ γυναικὸς ἐν μετεωρισμῷ ὀφθαλμῶν"†).

§. 71. „Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ P. 295
ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυ- Pott.
μίαν κακὴν καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ [ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας]"††), ὁ μὲν ἀπόστολος βοᾷ, ἡμεῖς δὲ ἀναζωπυροῦμεν τὰ πάθη καὶ οὐκ αἰσχυνόμεθα. αἱ μὲν αὐτῶν μαστίχην ἐντραγοῦσαι, περιιοῦσαι, σεσήρασι τοῖς παριοῦσιν, αἱ δὲ τὰς κεφαλὰς, ὡς μὴ δακτύλους ἔχουσαι, ταῖς ὑπ' αὐτῶν φερομέναις περόναις σκαλεύουσαι θρύπτονται, καὶ ταύτας ἢ χελώνης ἢ ἐλέφαντος ἤ τινος ἄλλου ζώου νεκροῦ πεποιημένας πολυπραγμονοῦσιν· ἄλλαι δὲ καθάπερ ἐξανθήματά τινα ἔχουσαι πρὸς εὐπρέπειαν τῶν ὁρώντων εὐανθέσι περιχρίστοις κοσμούμεναι σπιλοῦσι τὰ πρόσωπα τὰ αὐτῶν. „ἄφρονα" τὴν τοιαύτην „καὶ θρασεῖαν γυναῖκα" διὰ Σολομῶντος λέγει, „ἣ οὐδὲ ἐπίσταται

---

*) Prouerb. 16, 2. **) Ibid. 10, 10. ***) Matth. 6, 22. †) Eccles. 26, 9. ††) Coloss. 3, 5 sq.

αἰσχύνην, ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου ἐπὶ δίφρου ἐμφανῶς προσκαλουμένη τοὺς παριόντας ὁδὸν, τοὺς εὐθύνοντας τὰς ἑαυτῶν τροχιάς", διὰ τοῦ σχήματος αὐτῆς καὶ τοῦ βίου παντὸς δηλονότι λέγουσα, „τίς ἐστιν ὑμῶν ἀφρονέστατος; ἐκκλινάτω πρός με"· ἐνδεέσι δὲ φρονήσεως παρακελεύεται λέγουσα, „ἄρτων κρυφίων ἡδέως ἅψασθε καὶ ὕδατος κλοπῆς γλυκεροῦ", τὴν ἐπίκλοπον ταύτην ἀφροδίτην λέγει.

§. 72. Ἐντεῦθεν ὠφελημένος ὁ Βοιώτιος Πίνδαρος γλυκύ τι, φησὶν, κλεπτόμενον μέλημα Κύπριδος. ὁ δὲ „οὐκ οἶδεν ἄθλιος, ὅτι γηγενεῖς παρ᾽ αὐτῇ ὀλοῦνται, καὶ ἐπὶ πέταυρον Ἅιδου συναντᾷ. ἀλλὰ ἀποπήδησον", φησὶν, „μὴ χρονίσῃς ἐν τῷ τόπῳ", ὁ παιδαγωγὸς, „μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν. οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον καὶ ὑπερβήσῃ τὸν Ἀχέροντα"*). διὰ τοῦτο τάδε λέγει κύριος διὰ Ἡσαΐου· „ἀνθ᾽ ὧν ἐπορεύθησαν αἱ θυγατέρες Σιὼν ὑψηλῷ τραχήλῳ καὶ ἐν νεύμασιν P. 296 ὀφθαλμῶν καὶ τῇ πορείᾳ ἅμα σύρουσαι τοὺς χι- Pott. τῶνας καὶ τοῖς ποσὶ παίζουσαι, καὶ ταπεινώσει ὁ θεὸς τὰς θυγατέρας Σιὼν καὶ ἀνακαλύψει τὸ σχῆμα αὐτῶν"**), τὸ ἄσχημον σχῆμα.

§. 73. Ἐγὼ μὲν οὐδὲ τὰς θεραπαίνας ἀξιῶ ταῖς ἀρίσταις γυναιξὶ τὰς ἑπομένας αὐταῖς αἰσχρολογεῖν ἢ αἰσχροεργεῖν, σωφρονίζεσθαι δὲ αὐτὰς πρὸς τῶν δεσποινῶν· σφόδρα γοῦν ἐπιτιμητικώτατα ὁ κωμικὸς Φιλήμων φησίν·

ἐξιὼν
γυναικὸς ἐξόπισθ᾽ ἐλευθέρας βλέπω
μόνην θεράπαιναν κατόπιν ἀκολουθεῖν καλὴν,
ἐκ τοῦ Πλαταικοῦ τε κατιλλώπτειν τινὰ
ταύτῃ παρακολουθοῦντα.

ἀναστρέφει γὰρ ἐπὶ τὴν δέσποιναν ἡ τῆς θεραπαίνης ἀκολασία, ἐπιβαθραίνειν ἐνδιδοῦσα τοῖς πειρῶσι τὰ ἥττονα, τὸ μὴ εὐλαβεῖσθαι τὰ μείζονα διὰ τοῦ συγγινώ-

*) Prouerb. 9, 13—18. **) Ies. 3, 16 sq.

σκειν τοῖς αἰσχροῖς τὸ μὴ καταγινώσκειν ἐμφαινούσης τῆς δεσποίνης. τὸ δὲ μὴ ἐπαγανακτεῖν τοῖς ἀκολασταίνουσιν σαφὲς γίνεται τεκμήριον γνώμης εἰς τὸ ὅμοιον ἐκτρεπομένης. οἵα γὰρ δέσποινα, φασὶν οἱ παροιμιαζόμενοι, τοιάδε χἡ κύων. ἀποσκορακιστέον δὲ ἡμῖν καὶ τοῦ περιπάτου τὸ μανιῶδες, τὸ δὲ σεμνὸν καὶ τὸ σχολαῖον ἐκλεκτέον, οὐ τὸ βάδισμα τὸ μελλητικὸν, οὐδὲ τὸ ἐν ταῖς ὁδοῖς σαλεύειν καὶ ἐξυπτιάζοντα παρα-
P. 109 βλέπειν εἰς τοὺς ἀπαντῶντας, εἰ ἀποβλέπουσιν
Sylb. εἰς αὐτὸν, καθάπερ ἐπὶ σκηνῆς ἐμπομπεύοντα καὶ δακτυλοδεικτούμενον. οὐδὲ ὑπὸ οἰκετῶν ἀναστρέφεσθαι χρὴ πρὸς τὸ σιμὸν ὠθουμένους, ὥσπερ τοὺς τρυφητικωτέρους ὁρῶμεν ἐρρωμένους εἶναι δοκοῦντας, ὑπὸ μαλακίας δὲ ψυχικῆς διατεθρυμμένους. ἀνδρὸς δὲ γενναίου σημεῖον οὐδὲν εἶναι δεῖ περιφανὲς ἐν τῷ προσώπῳ μαλακίας, ἀλλ᾽ οὐδὲ ἐν ἑτέρῳ μέρει τοῦ σώματος.

§. 74. Μὴ τοίνυν μηδὲ ἐν κινήσεσιν μηδὲ ἐν σχέσεσιν εὑρεθείη πότ᾽ ἂν ἡ ἀσχημοσύνη τῆς ἀνδρείας. οὐδὲ μὴν καθάπερ ὑποζυγίοις τοῖς οἰκέταις χρηστέον τῷ ὑγιαίνοντι. ὡς γάρ τοι ἐκείνοις παραγγέλλεται, „παντὶ φόβῳ τοῖς δεσπόταις οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς ὑποτάσσεσθαι" *), φησὶν ὁ Πέτρος, οὕτως ἡ ἰσότης καὶ ἡ μακροθυμία καὶ ἡ φιλανθρωπία τοῖς δεσπόταις εὐάρμοστος. „τὸ γὰρ τέλος", φησὶ, „πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, ταπεινόφρονες" καὶ τὰ ἐπὶ τούτοις, „ἵνα εὐλογίαν κληρονομήσητε" καλήν τινα καὶ ἀξιέραστον**). ὑπογράφειν ὁ Κιττιεὺς ἔοικε Ζήνων εἰκόνα νεάνιδα καὶ οὕτως αὐτὸν ἀνδριαντουργεῖ· ἔστω, φησὶ, καθαρὸν τὸ πρόσωπον, ὀφρῦς μὴ καθειμένη μηδὲ ὄμμα ἀναπεπταμένον μηδὲ ἀνακεκλασμένον, μὴ ὕπτιος P. 297
ὁ τράχηλος μηδὲ ἀνιέμενα τὰ τοῦ σώματος μέλη, Pott.

*) 1 Petr. 2, 18. **) Ibid. 3, 8 sq.

ἀλλὰ τὰ μετέωρα ἐντόνοις ὅμοια, ὀρθόνους πρὸς τὸν λόγον ὀξύτης καὶ κατοχὴ τῶν ὀρθῶς εἰρημένων καὶ σχηματισμοὶ καὶ κινήσεις μηδὲν ἐνδιδοῦσαι τοῖς ἀκολάστοις ἐλπίδος· αἰδὼς μὲν ἐπανθείτω καὶ ἀρρενωπία, ἀπέστω δὲ καὶ ὁ ἀπὸ τῶν μυροπωλίων καὶ χρυσοχοΐων καὶ ἐριοπωλίων ἄλυς καὶ ὁ ἀπὸ τῶν ἄλλων ἐργαστηρίων, ἔνθα καὶ ἑταιρικῶς κεκοσμημέναι ὥσπερ ἐπὶ τέγους καθεζόμεναι διημερεύουσι.

§. 75. Μὴ τοίνυν μηδὲ οἱ ἄνδρες ἐπὶ τῶν κουρείων καὶ καπηλείων διατρίβοντες, ἀδολεσχούντων στωμυλευόμενοι, καὶ τὰς παριζούσας θηρώμενοι γυναῖκας παυσάσθων ποτέ· πολλοὺς δὲ καὶ βλασφημοῦντες εἰς γέλωτα οὐ παύονται. κωλυτέα γε μὴν ἔτι καὶ ἡ διὰ τῶν κύβων παιδιά, πρὸς δὲ καὶ ἡ διὰ τῶν ἀστραγάλων μελέτη πλεονεξίας, ἣν μεταχειρίζεσθαι φιλοῦσι. τοιαῦτά τινα τῆς τρυφῆς τὸ ἀταμίευτον αὐτοῖς κακοσχολοῦσιν ἐξευρίσκει· αἰτία γὰρ ἡ ἀργία, ματαίων δέ τις ἐρᾷ τῶν ἐκτὸς τῆς ἀληθείας ὄντων, οὐ γάρ ἐστι καὶ ἄλλως θυμηδίαν ἄνευ βλάβης κτήσασθαι, τῆς δὲ ἑκάστου τῶν ἀνθρώπων διανοίας μίμησίς ἐστιν ἡ τοῦ βίου προαίρεσις. ἀλλ᾽ ὡς ἔοικεν μόναι αἱ μετὰ τῶν ἀγαθῶν ἀνδρῶν συναναστροφαὶ ὠφελοῦσιν. ἔμπαλιν γοῦν τὴν μετὰ τῶν φαύλων συνδιαίτησιν ἀνθρώπων ὑώδη γνωρίζων ὁ πάνσοφος διὰ Μωϋσέως παιδαγωγὸς „χοιρείων"*) ἀπηγόρευσεν μεταλαμβάνειν τῷ λαῷ τῷ πρεσβυτέρῳ, ἐμφαίνων μὴ δεῖν τοὺς θεὸν ἐπιβοωμένους ἀκαθάρτοις ἀναμίγνυσθαι ἀνθρώποις, οἳ δίκην ὑῶν ἡδοναῖς σωματικαῖς καὶ δεισαλέαις τροφαῖς καὶ γαργαλισμοῖς P. 298 Pott. ἀσελγέσι κνηστιῶντες πρὸς ἀφροδίτην κακόχαρτον ἡδονὴν χαίρουσιν. ἀλλ᾽ οὐδ᾽ „ἴκτινα ἢ ὠκύπτερον μαστοφαγῆ ἢ αἰετὸν"**) φαγεῖν φησιν, οὐκ ἐγγι-

*) Leuit. 11, 7. Deut. 14, 8. **) Leuit. 11, 13 sq. Deut. 14, 12.

εἴς, λέγων, τοῖς δι᾽ ἁρπαγῆς τὸν βίον ποριζομένοις, καὶ τὰ ἄλλα δὲ ὁμοίως ἀλληγορεῖται.

§. 76. Τίσιν οὖν οἰκειωτέον; τοῖς δικαίοις, πάλιν ἀλληγορῶν φησίν· πᾶν γὰρ „διχηλοῦν καὶ μαρυκώμενον" *) καθαρόν ἐστιν, ὅτι τὸ διχηλοῦν δικαιοσύνην ἐμφαίνει τὴν ἰσοστάσιον μηρυκάζουσαν τὴν οἰκείαν δικαιοσύνης τροφὴν, τὸν λόγον, ἔκτοσθεν μὲν εἰσιόντα κατὰ ταὐτὰ τῇ τροφῇ διὰ κατηχήσεως, ἔνδοθεν δὲ ἀναπεμπόμενον ὥσπερ ἐκ κοιλίας τῆς διανοίας εἰς ἀνάμνησιν λογικήν. μηρυκάζει δὲ ὁ δίκαιος τὴν πνευματικὴν τροφὴν ἀνὰ στόμα ἔχων τὸν λόγον, καὶ διχηλεῖ ἡ δικαιοσύνη, εἰκότως κἀνταῦθα ἁγιάζουσα καὶ εἰς τὸν μέλλοντα παραπέμπουσα αἰῶνα. οὔκουν οὐδὲ ἐπὶ τὰς θέας ὁ παιδαγωγὸς ἄξει ἡμᾶς, οὐδὲ ἀπεικότως τὰ στάδια καὶ τὰ θέατρα „καθέδραν λοιμῶν" **) προσείποι τις ἄν· βουλὴ γὰρ κἀνταῦθα πονηρὰ καθάπερ καὶ ἐπὶ τῷ δικαίῳ, διὸ καταρᾶται ὁ ἐπ᾽ αὐτῷ σύλλογος. πεπλήθασι γοῦν πολλῆς ἀμιξίας καὶ παρανομίας αἱ συναγωγαὶ αὗται, καὶ αἱ προφάσεις τῆς συνηλύσεως ἀκοσμίας ἐστὶν αἰτία ἀναμὶξ ἀνδρῶν καὶ γυναικῶν συνιόντων ἐπὶ τὴν ἀλλήλων θέαν.

§. 77. Ἐνταῦθα ἤδη περπερεύεται τὸ συνέδριον. λιχνευούσης γὰρ τῆς ὄψεως χλιαίνονται αἱ ὀρέξεις, καὶ ἰταμώτερον βλέπειν οἱ ὀφθαλμοὶ πρὸς τοὺς πλησίον ἐθιζόμενοι τῷ ἔχειν σχολὴν ἐφειμένην ἐκφλέγουσι τὰς ἐρωτικὰς ἐπιθυμίας. ἀπειρήσθων οὖν καὶ αἱ θέαι καὶ τὰ ἀκροάματα βωμολοχίας καὶ σπερμολογίας πολλῆς γέμοντα. τί μὲν γὰρ οὐκ ἐπιδείκνυνται αἰσχρὸν ἔργον ἐν θεάτροις; τί δ᾽ οὐ προφέρονται ῥῆμα ἀναίσχυντον οἱ γελωτοποιοί; οἱ δὲ ἀπολαύ- P. 29 σαντες τῆς ἐν ἑαυτοῖς κακίας ἐναργεῖς οἴκοι ἀπο- Po μάσσονται τὰς εἰκόνας, ἔμπαλιν δὲ οἱ πρὸς ταῦτα ἀκήλητοι καὶ ἀπαθεῖς οὐκ ἂν περὶ τὰς ῥαθύμους

*) Leuit. 11, 3. Deut. 14, 6. **) Psalm. 1, 1.

ἡδονὰς σφαλεῖέν ποτε. εἰ γὰρ καὶ ἐν παιδιᾶς μέρει παραλαμβάνεσθαι φήσουσι τὰς θέας εἰς θυμηδίαν, οὐ σωφρονεῖν φήσαιμ᾽ ἂν τὰς πόλεις, αἷς καὶ τὸ παίζειν σπουδάζεται. οὐκέτι γὰρ παιδιαὶ αἱ φιλοδοξίαι ἀνηλεεῖς εἰς τοσοῦτον θανατῶσαι, ἀλλ᾽ οὐδὲ αἱ κενοσπουδίαι καὶ αἱ ἀλόγιστοι φιλοτιμίαι, πρὸς δὲ καὶ αἱ μάταιοι καταναλώσεις τῆς οὐσίας, οὔτε μὴν αἱ ἐπὶ τούτοις στάσεις ἔτι παιδιαί.

§. 78. Τὸ δὲ ῥαθυμεῖν οὐδέποτε ὠνητέον κενοσπουδίᾳ. P. 110 Sylb. οὐ γὰρ πρὸ τοῦ βελτίονος ἕλοιτο ἂν ποτε ὁ νοῦν ἔχων τὸ ἥδιον. ἀλλ᾽ οὐ πάντες, φησὶ, φιλοσοφοῦμεν. μήτι οὖν οὐδὲ πάντες τὴν ζωὴν μετερχόμεθα; τί σὺ λέγεις; πῶς οὖν πεπίστευκας; πῶς δὲ ἔτι ἀγαπᾷς τὸν θεὸν καὶ τὸν πλησίον σου μὴ φιλοσοφῶν; πῶς δὲ σεαυτὸν ἀγαπᾷς, εἰ μὴ φιλοζωεῖς; γράμματα, φησὶν, οὐκ ἔμαθον. ἀλλ᾽ εἰ μὴ τὸ ἀναγινώσκειν ἔμαθες, τὸ ἀκούειν ἀναπολόγητον, ὅτι μὴ διδακτὸν, πίστις δὲ οὐ σοφῶν τῶν κατὰ κόσμον*), ἀλλὰ τῶν κατὰ θεόν ἐστι τὸ κτῆμα· ἣ δὲ καὶ ἄνευ γραμμάτων ἐκπαιδεύεται, καὶ τὸ σύγγραμμα αὐτῆς τὸ ἰδιωτικὸν ἅμα καὶ θεῖον ἀγάπη κέκληται, σύνταγμα πνευματικόν. ἐξὸν δὲ ἀκροᾶσθαι μὲν σοφίας θεϊκῆς, ἀλλὰ καὶ πολιτεύσασθαι ἐξὸν, ἀλλὰ καὶ τὰ ἐν κόσμῳ κοσμίως κατὰ θεὸν ἀπάγειν οὐ κεκώλυται, καὶ ὁ πωλῶν τι ἢ ὠνούμενος μή ποτε εἴπῃ δύο τιμὰς, ὧν ἂν ἢ ὠνῆται ἢ πιπράσκῃ, ἁπλῆν δὲ εἰπὼν καὶ ἀληθεύειν μελετῶν ἂν μὴ τυγχάνῃ ταύτης, τυγχάνων τῆς ἀληθείας πλουτεῖ τῇ διαθέσει τῇ ὀρθῇ.

§. 79. Ἐπαίτιος δὲ ὅρκος περὶ πάντων τοῦ πωλουμένου ἀπέστω, ἀπέστω δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁ ὅρκος. καὶ ταύτῃ φιλοσοφούντων οἱ ἀγοραῖοι καὶ οἱ κάπηλοι· „οὐ γὰρ λήψῃ τὸ ὄνομα κυρίου ἐπὶ ματαίῳ, οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα

*) Cf. 1 Cor. 1, 26 sq.

τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ"*). τοὺς δὲ παρὰ P. 30 ταῦτα πράττοντας, τοὺς φιλαργύρους, τοὺς ψεύ- Pott. στας, τοὺς ὑποκριτὰς, τοὺς καπηλεύοντας τὴν ἀλήθειαν, τῆς πατρῴας ἐξέβαλεν αὐλῆς ὁ κύριος, μὴ βουλόμενος ἀδίκου ἐμπορίας ἢ λόγων ἢ τῶν ἐξ ὕλης κτημάτων οἶκον εἶναι τὸν οἶκον τοῦ θεοῦ τὸν ἅγιον. ἐπὶ δὲ τὴν ἐκκλησίαν ἀκτέον τὴν γυναῖκα καὶ τὸν ἄνδρα ἐστολισμένους κοσμίως, ἀπλάστῳ βαδίσματι, ἐχεμυθίαν ἀσπαζομένους, ἀγάπην ἀνυπόκριτον κεκτημένους, ἁγνοὺς τὰ σώματα, ἁγνοὺς τὰς καρδίας, ἐπιτηδείους προσεύξασθαι τῷ θεῷ. πλεῖον τοῦτο ἐχέτω ἡ γυνὴ, κεκαλύφθω τὰ πάντα, πλὴν εἰ μὴ οἴκοι τύχοι· σεμνὸν γὰρ τὸ σχῆμα καὶ ἀκατάσκοπον, καὶ οὔποτε αὐτὴ σφαλήσεται πρὸ τῶν ὀμμάτων τὴν αἰδῶ καὶ τὴν ἀμπεχόνην θεμένη, οὔτε ἄλλον εἰς ὄλισθον ἁμαρτίας ἐκκαλέσεται τὸ πρόσωπον ἀπογυμνουμένη. τοῦτο γὰρ ὁ λόγος βούλεται, ἐπεὶ πρέπον αὐτῇ ἐγκεκαλυμμένῃ προσεύχεσθαι**). τὴν δὲ Αἰνείου γυναῖκά φασι δι' ὑπερβολὴν σεμνότητος μηδὲ τῆς Τροίας ἁλισκομένης περιδεᾶ γενομένην ἀποκαλύψασθαι, ἀλλὰ καίτοι φεύγουσαν ἐκ τῆς ἐκπυρώσεως μεῖναι συγκεκαλυμμένην.

§. 80. Τοιούτους δὲ ἐχρῆν παρ' ὅλον τὸν βίον φαίνεσθαι καὶ διαπλάττεσθαι τοὺς Χριστῷ τελουμένους οἵους σφᾶς ἐν ἐκκλησίαις ἐπὶ τὸ σεμνότερον σχηματίζουσιν, καὶ εἶναι μὴ δοκεῖν εἶναι τοιούτους, οὕτως πρᾳεῖς, οὕτως εὐλαβεῖς, ἀγαπητικοὺς οὕτως· νυνὶ δὲ οὐκ οἶδ' ὅπως συμμεταβάλλονται τοῖς τόποις καὶ τὰ σχήματα καὶ τοὺς τρόπους, καθάπερ καὶ τοὺς πολύποδας ταῖς πέτραις φασὶν ἐξομοιουμένους, αἷς ἂν προσομιλῶσιν, τοιούτους φαίνεσθαι καὶ τὴν χροιάν. τὸ γοῦν τῆς συναγωγῆς ἔνθεον μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ἀποθέμενοι τοῖς πολλοῖς ἐξομοιοῦνται, μεθ' ὧν καὶ διαιτῶνται· μᾶλλον δὲ ἐλέγ-

---

*) Exod. 20, 7. **) Cf. 1 Cor. 11, 5.

χονται τὴν ἐπίπλαστον ἀποθέμενοι τῆς σεμνότητος ὑπόκρισιν, οἷοι ὄντες ἐλελήθεσαν· καὶ τὸν περὶ θεοῦ λόγον σεβασάμενοι καταλελοίπασιν ἔνδον, οὗ ἤκουσαν, ἔξωθεν δὲ ἄρα μετὰ τῶν ἀθέων ἀλύουσι κρουμάτων καὶ τερετισμάτων ἐρωτικῶν, αὐλῳδίας τε καὶ κρότου καὶ μέθης καὶ παντὸς ἀναπιμπλάμενοι συρφετοῦ· τοῦτο δὴ ᾄδοντες καὶ ἀντᾴδοντες αὐτοὶ οἱ πρόσθεν ἐξυμνοῦντες ἀθανασίαν ἐπὶ τέλει τὴν ἐξωλεστάτην κακοὶ κακῶς ψάλλοντες παλινῳδίαν, „φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν“. P. 301 Pott.

§. 81. Οἱ δὲ οὐκ αὔριον ἀληθῶς, ἀλλ' ἤδη τεθνήκασι τῷ θεῷ, θάπτοντες*) τοὺς σφετέρους νεκρούς, τουτέστιν αὑτοὺς εἰς θάνατον κατορύττοντες. ἀντιτάσσεται δὲ αὐτοῖς εὖ μάλα ἐρρωμένως ὁ ἀπόστολος· „μὴ πλανᾶσθε, οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται οὔτε κλέπται οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι“**) καὶ ὅσα ἄλλα τούτοις ἐπάδει, „βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν“***). εἰ δὲ καὶ εἰς βασιλείαν θεοῦ κεκλήμεθα, ἀξίως τῆς βασιλείας πολιτευόμεθα θεὸν ἀγαπῶντες καὶ τὸν πλησίον. ἀγάπη δὲ οὐκ ἐν φιλήματι, ἀλλ' ἐν εὐνοίᾳ κρίνεται. οἱ δὲ οὐδὲν ἀλλ' ἢ φιλήματι καταψοφοῦσι τὰς ἐκκλησίας τὸ φιλοῦν ἔνδον οὐκ ἔχοντες αὐτό. καὶ γὰρ δὴ καὶ τοῦτο ἐκπέπληκεν ὑπονοίας αἰσχρᾶς καὶ βλασφημίας τὸ ἀνέδην χρῆσθαι τῷ φιλήματι, ὅπερ ἐχρῆν εἶναι μυστικόν, „ἅγιον“†) αὐτὸ κέκληκεν ὁ ἀπόστολος, ἀπογευομένης ἀξίως τῆς βασιλείας πολιτευώμεθα τῆς ψυχῆς τὴν εὔνοιαν διὰ στόματος σώφρονος καὶ μεμυκότος, δι' οὗ μάλιστα διακονεῖται τρόπος ἥμερος. ἔστι δὲ καὶ ἄλλο ἄναγνον φίλημα, πλῆρες ἰοῦ, ἁγιοσύνην ὑποκρινόμενον. ἢ οὐκ ἴστε ὅτι καὶ τὰ φαλάγγια προσαπτόμενα μόνον τῷ στόματι ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, φιλήματα δὲ πολλάκις ἐνίησιν ἰὸν ἀκολασίας;

*) 1 Cor. 15, 32. **) Cf. Matth. 8, 22. Luc. 9, 60.
***) 1 Cor. 6, 9 sq. †) Rom. 15. 16.

§. 82. Σαφὲς τοίνυν ἡμῖν γεγένηται, ὡς οὐκ ἔστιν ἀγάπη τὸ φίλημα· „ἡ γὰρ ἀγάπη τοῦ θεοῦ ἐστίν" *)· „αὕτη δέ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ", φησὶν Ἰωάννης, „ἵνα τὰς ἐντολὰς τηρήσωμεν", οὐχ ἵνα σαίνωμεν ἀλλήλους ἐν τῷ στόματι, „καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν" **). ἀλλὰ μὴν καὶ οἱ κατὰ τὰς ὁδοὺς τῶν ἀγαπητῶν ἀσπασμοὶ παρρησίας ἀνοήτου γέμοντες καταφανῶν τοῖς ἐκτὸς εἶναι P. 111 βουλομένων οὐδὲ ἐλαχίστης μετέχουσι χάριτος. Sylb. εἰ γὰρ „ἐν τῷ ταμιείῳ" μυστικῶς „προσεύχεσθαι" τῷ θεῷ δίκαιον, ἑπόμενον ἂν εἴη καὶ P. 302 Pott. „τὸν πλησίον", ὃν δεύτερον ἀγαπᾶν κελευόμεθα, ὁμοίως τῷ θεῷ καὶ μυστικῶς φιλοφρονεῖσθαι ἔνδοθεν „ἐξαγοραζομένους τὸν καιρόν· τὸ γὰρ ἅλας τῆς γῆς ἡμεῖς" ***), „ὃς δ' ἂν εὐλογῇ", φησί, „φίλον τὸ πρωῒ μεγάλῃ τῇ φωνῇ, καταρωμένου οὐδὲν διαφέρειν δόξει" †). δοκεῖ δὲ ὑπὲρ πάντα τῆς τῶν γυναικῶν ὄψεως ἀπεστράφθαι. οὐ γὰρ ἁψαμένους μόνον, ἀλλὰ καὶ θεασαμένους ἔστιν ἁμαρτεῖν, ὧν μάλιστα ἀποφεύγειν χρὴ τὸν γνησίως παιδαγωγούμενον.

§. 83. „Οἱ ὀφθαλμοί γάρ σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρα νευέτω δίκαια" ††)· μὴ γὰρ οὐκ ἐξὸν καὶ ἰδόντα καρτερεῖν, ἀλλὰ τὸ ἐμπεσεῖν φυλακτέον. δυνατὸν γὰρ ἰδόντα ὀλισθεῖν, ἀμήχανον δὲ μὴ ἰδόντα ἐπιθυμεῖν. οὐ γὰρ τὸ καθαρεύειν μόνον ἀπόχρη τοῖς σώφροσιν, ἀλλὰ καὶ τὸ ἐκτὸς εἶναι τοῦ ψόγου σπουδαστέον πᾶσαν ἀποκλείσαντας ὑπονοίας αἰτίαν πρὸς συγκεφαλαίωσιν ἁγνείας, ὡς μὴ μόνον εἶναι ἡμᾶς πιστούς, ἀλλὰ καὶ ἀξιοπίστους φανῆναι. καὶ γὰρ οὖν καὶ τοῦτο παραφυλακτέον, ὥς φησιν ὁ ἀπόστολος, „μήτις ἡμᾶς μωμήσηται· προνοούμενοι γὰρ καλὰ οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ

---

*) Ioann. 4, 7. **) Ibid. 5, 3. ***) Cf. Matth. 6, 6. 22, 39. Coloss. 4, 5. Matth. 5, 13. †) Prouerb. 27, 14. ††) Ibid. 4, 25.

καὶ ἐνώπιον ἀνθρώπων"*). „ἀπόστρεψον δὲ τὸν ὀφθαλμὸν ἀπὸ γυναικὸς κεχαριτωμένης, καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον", φησὶν ἡ γραφή. κἂν πύθῃ τὴν αἰτίαν, προσεπεξηγήσεταί σοι· „ἐν γὰρ κάλλει γυναικὸς πολλοὶ ἀπεπλανήθησαν, καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται"**), εἰς πῦρ ἄγουσα ἀκατάπαυστον διὰ τὴν ἁμαρτίαν ἡ ἐκ πυρὸς ὁρμωμένη φιλία, ἣν ἔρωτα κεκλήκασιν.

Cap. XII.

Ἐπιδρομὴ κεφαλαιώδης ὁμοίως τοῦ ἀρίστου βίου, ὅσαι τῶν ἁγίων γραφῶν χαρακτηρίζουσαι τὸν τῶν Χριστιανῶν βίον.

§. 84. Ἐγὼ δὲ καὶ τοῖς γεγαμηκόσι παραινέσαιμι ἂν οἴκοι τὰς γυναῖκας μήποτε κατὰ πρόσωπον οἰκετῶν φιλεῖν. οὐδὲ γὰρ προσγελᾶν δούλοις Ἀριστοτέλης εἴα ποτὲ, πολλοῦ γε καὶ δεῖ κατ᾽ ὄψιν αὐτῶν φιλοφρονούμενον φαίνεσθαι τὴν γυναῖκα. ἄμεινον δὲ οἴκοθεν ἀρξαμένους ἀπὸ τοῦ γάμου τὴν σεμνότητα ἐπιδείκνυσθαι. μεγίστη γὰρ ἡ σωφροσύνης συζυγία καθαρὰς ἡδονὰς ἀποπνέουσα. πάνυ γοῦν θαυμασίως ἡ τραγῳδία φησί·

φεῦ φεῦ γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα P. 303
οὐ χρυσὸς, οὐ τυραννὶς, οὐ πλούτου χλιδὴ Pott.
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς,
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία καὶ φρονοῦσα τἄνδικα.

ταῦτα τῆς δικαιοσύνης τὰ παραγγέλματα καὶ παρὰ τοῖς τὴν κοσμικὴν μετιοῦσι σοφίαν ἐκφωνηθέντα οὐ παραιτητέον.

*) 2 Cor. 8, 20 sq. **) Eccles. 9, 8.

§. 85. Ἐγνωκότες οὖν τὸ ἑκάστου ἔργον „ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθημεν ἐκ τῆς ματαίας ἡμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ" *). „ἀρκετὸς οὖν ὁ παρεληλυθὼς χρόνος", ὁ Πέτρος φησὶ, „τὸ βούλημα τῶν ἐθνῶν κατειργάσθαι πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις καὶ ἀθεμίτοις εἰδωλολατρίαις" **). ὅρον ἔχομεν τὸν σταυρὸν τοῦ κυρίου, ᾧ περισταυρούμεθα καὶ περιθριγγούμεθα τῶν προτέρων ἁμαρτιῶν. ἀναγεννηθέντες τοίνυν προσηλωθῶμεν ἐν τῇ ἀληθείᾳ καὶ ἀνανήψωμέν τε καὶ ἁγιασθῶμεν, ὅτι „οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά" ***). καὶ „τίς ὁ κακώσων ἡμᾶς, ἐὰν τοῦ ἀγαθοῦ ζηλωταὶ γενώμεθα" †); ἡ δὲ ἀρίστη ἀγωγὴ εὐταξία ἐστὶ παντελὴς οὖσα εὐσχημοσύνη καὶ δύναμις τεταγμένη βεβαία, τῶν ἑξῆς ἀλλήλοις κειμένων ἐν ἔργῳ καλῶς ἀποδοτικὴ, κατ' ἀρετὴν ἀνυπέρβλητος.

§. 86. Ταῦτα εἰ καὶ τραχύτερον προσηνέχθην οἰκονομούμενος τῆς ἐπανορθώσεως τὴν σωτηρίαν, ἐμοὶ μὲν λελέχθων, φησὶν ὁ παιδαγωγὸς, ἐπειδὴ „ὁ ἐλέγχων μετὰ παρρησίας εἰρηνοποιεῖ" ††), ὑμεῖς δὲ εἰ μὲν ἀκούσεσθέ μου, σωθήσεσθε, εἰ δ' οὐ προσέξετε τοῖς εἰρημένοις, οὔ μοι μέλει, μέλει δὲ ὅμως καὶ οὕτως· „τὴν γὰρ μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν θάνατον αἱρεῖται" †††). „ἢν δὲ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε" *), ὁ παιδαγωγὸς πάλιν λέγει· γῆς ἀγαθὰ τὰ ἀνθρώπεια ὀνομάζων καλὰ, τὸ κάλλος, τὸν πλοῦτον, τὴν ὑγίειαν καὶ τὴν ἰσχὺν, τὴν τροφήν· ἀγαθὰ μὲν γὰρ ὄντως,

*) 1 Petr. 1, 17—19. **) Ibid. 4, 3. ***) Psalm. 84, 15 sq. †) 1 Petr. 3, 13. ††) Prouerb. 10, 10. †††) Ezech. 18, 23. *) Ies. 1, 19.

„ἃ οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη ποτὲ, περὶ τὸν ὄντως ὄντα βασιλέα, τὰ ὄντως ὄντα ἀγαθὰ ὄντα καὶ ἀναμένοντα ἡμᾶς· ἀγαθῶν P. 305 γάρ ἐστι καὶ δοτὴρ καὶ φύλαξ, κατὰ μετουσίαν Pott. δὲ ἐκείνων τὰ τῇδε συνωνυμεῖ, παιδαγωγοῦντος ἐν θεῷ τοῦ λόγου τὴν τῶν ἀνθρώπων ἀσθένειαν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὴν νόησιν.

§. 87. Ὅσα μὲν οὖν οἴκοι παραφυλακτέον καὶ ὡς τὸν βίον ἐπανορθωτέον ὁ παιδαγωγὸς ἡμῖν ἄδην διείλεκται, ἃ δ' οὖν καὶ κατὰ τὰς ὁδοὺς ὁμιλεῖν αὐτῷ φίλον τοῖς παιδίοις ἄχρις ἂν ἀγάγῃ αὐτὰ πρὸς τὸν διδάσκαλον, ταῦτα δὲ ἡμῖν ἐν κεφαλαίου μέρει δι' αὐτῶν ὑποτίθεται καὶ παρατίθεται τῶν γραφῶν, γυμνὰς παρατιθέμενος τὰς παραγγελίας, ἁρμοζόμε- P. 112 νος μὲν τῷ χρόνῳ τῆς καθοδηγήσεως, τὰς δὲ Sylb. ἐξηγήσεις αὐτῶν ἐπιτρέπων τῷ διδασκάλῳ· καὶ γὰρ ὁ νόμος αὐτοῦ τὸν φόβον ὑπεκλύειν βούλεται τὸ ἑκούσιον ἐλευθερώσας εἰς πίστιν. ἄκουε, φησὶν, ὦ παιδίον καλῶς παιδαγωγούμενον, τὰ κεφάλαια τῆς σωτηρίας, γυμνώσω γὰρ τὸ ἦθος τὸ ἐμαυτοῦ καί σοι ταύτας καλὰς ἐντολὰς ὑποθήσομαι, δι' ὧν ἀφίξῃ πρὸς σωτηρίαν. ἄγω δέ σε τὴν ὁδὸν τὴν σωτήριον. ἀπόστα τῶν τῆς πλάνης ὁδῶν, „ὅτι κύριος γινώσκει ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται"*). ἕπου τοίνυν, ὦ παιδίον, τὴν ἀγαθὴν ὁδὸν, ἣν ἄν σοι ἐξηγήσωμαι, τὰ ὦτά μοι ὑποσχὼν τὰ ἀκουστικὰ, „καὶ δώσω σοὶ θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους"**) ἔθνεσιν, ἡμῖν δὲ ὁρατούς· σοφίας δὲ θησαυροὶ ἀνέκλειπτοι, οὓς θαυμάζων ὁ ἀπόστολος, „ὦ βάθος", φησὶ, „πλούτου καὶ σοφίας"***). θησαυροὶ δὲ ὑφ' ἑνὸς πολλοὶ χορηγούμενοι θεοῦ, οἱ μὲν διὰ τοῦ νόμου, οἱ δὲ διὰ τῶν προφητῶν ἀποκαλύπτονται, οἱ δὲ τῷ θείῳ στόματι, ἄλλος δὲ τοῦ πνεύ-

*) Psalm. 1, 6. **) Ies. 45. 3. ***) Rom. 11, 13.

ματος τῇ ἐπτάδι ἐπᾴδων, εἷς δὲ ὢν ὁ κύριος διὰ πάντων τούτων ὁ αὐτός ἐστι παιδαγωγός.

§. 88. Ἔστιν μὲν οὖν αὐτόθεν κεφαλαιώδης ὑποθήκη καὶ βιωτικὴ παραίνεσις, πάντα ἐμπεριέχουσα· „καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ποιεῖτε καὶ ὑμεῖς αὐτοῖς" *). δυνατὸν δὲ καὶ διὰ δυεῖν ἐμπεριλαβεῖν τὰς ἐντολὰς, ὥς φησιν ὁ κύριος· „ἀγαπήσεις τὸν θεόν σου ἐν ὅλῃ καρδίᾳ σοὺ καὶ ἐν ὅλῃ τῇ ψυχῇ σοὺ καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σου, καὶ τὸν πλησίον σοὺ ὡς σεαυτόν". εἶτα ἐκ τούτων ἐπιφέρει· „ἐν τούτῳ ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται" **). ναὶ μὴν καὶ πρὸς τὸν πυθόμενον, „τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; τὰς ἐντολὰς οἶδας"; ἀπεκρίνατο· τοῦ δὲ καταφήσαντος „τοῦτο ποίει", φησὶ, „καὶ σωθήσῃ" ***). οὐ μὴν ἀλλὰ καὶ διαιρετικώτερον τὸ φιλάνθρωπον τοῦ παιδαγωγοῦ διὰ τῶν ποικίλων καὶ σωτηρίων ἐντολῶν παραθετέον, P. 305 Pott. ὡς ἔχοιμεν πρὸς ἀφθόνου σωτηρίας καὶ τῆς διατάξεως τῶν γραφῶν ἑτοιμοτέραν τὴν εὕρεσιν.

§. 89. Ἔστιν ἡμῖν ἡ δεκάλογος ἡ διὰ Μωϋσέως, ἁπλῷ καὶ μονογενεῖ αἰνιττομένη στοιχείῳ, προσηγορίαν σωτήριον ἁμαρτιῶν περιγράφουσα· „οὐ μοιχεύσεις, οὐκ εἰδωλολατρήσεις", οὐ παιθοφθορήσεις, „οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις· τίμα τὸν πατέρα σοὺ καὶ τὴν μητέρα σου" †), καὶ τὰ ἀκόλουθα τούτοις. ταῦτα ἡμῖν παραφυλακτέον καὶ ὅσα ἄλλα κατὰ τὰς ἀναγνώσεις τῶν βιβλίων παραγγέλλεται. παραγγέλλει δὲ καὶ διὰ Ἡσαΐου· „λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρί-

---

*) Luc. 6, 31, **) Matth. 22, 37—40. Luc. 10, 27. ***) Ibid. 18, 18. 20. 10, 25—28. †) Cf. Exod. c. 20. Deut. c. 5.

νατε ὀρφανῷ καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει κύριος" *). πολλὰς δ᾽ ἂν καὶ παρὰ τοῖς ἄλλοις εὕροιμεν ὑποθήκας, οἷον φέρε, εὐχῆς μὲν πέρι, „τὰ ἔργα τὰ ἀγαθὰ", φησὶν, „εὐχὴ κυρίῳ δεκτὴ", λέγει ἡ γραφή. καὶ ὁ τρόπος τῆς εὐχῆς ὑπαγορεύεται· „ἐὰν δὲ ἴδῃς", φησὶ, „γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει, τότε ῥαγήσεται πρώιμον τὸ φῶς σοὺ, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθεν ἡ δικαιοσύνη σοὺ, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε" **). τίς οὖν ὁ καρπὸς τῆς εὐχῆς ταύτης; „τότε ἐπιβοήσῃ καὶ ὁ θεὸς ὑπακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι" ***).

§. 90. *Περὶ* δὲ νηστείας, „ἵνα τί μοι", φησὶ, „νηστεύετε"; λέγει κύριος. „οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην καὶ ἡμέραν ἄνθρωπον ταπεινοῦν τὴν ψυχὴν αὐτοῦ; οὐδ᾽ ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ᾽ οὕτως καλέσετε νηστείαν δεκτήν". τί οὖν αἰνίττεται ἡ νηστεία; „ἰδοὺ αὕτη", φησὶν, „ἡ νηστεία, ἣν ἐγὼ ἐξελεξάμην, λέγει κύριος· λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόλυε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν ἄδικον συγγραφὴν διάσπα. διάθρυπτε πεινῶντι τὸν ἄρτον σοὺ, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνὸν, περίβαλε" †). ναὶ μὴν καὶ περὶ τῶν θυσιῶν· „τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος. πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ ἐρίφων οὐ βούλομαι, οὐδ᾽ ἂν ἔρχησθε ὀφθῆναί μοι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσεσθε. **P. 306 Pott.**

---

*) Ies. 1, 16—18. **) Ibid. 58, 7 sq. ***) Ibid. v. 9. †) Ibid. v. 4—7.

ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα βδέλυγμά μοί ἐστιν· τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι" *). πῶς οὖν θύσω τῷ κυρίῳ; „θυσία", φησὶν, „τῷ κυρίῳ πνεῦμα συντετριμμένον". πῶς οὖν στέψω ἢ μύρῳ χρίσω; ἢ τί θυμιάσω τῷ κυρίῳ; „ὀσμὴ", φησὶν, „εὐωδίας τῷ θεῷ καρδία δοξάζουσα τὸν πεπλακότα αὐτήν" **). ταῦτα στέφη καὶ θυσίαι καὶ ἀρώματα καὶ ἄνθη τοῦ θεοῦ.

§. 91. Ἔτι περὶ ἀνεξικακίας, „ἐὰν ἁμάρτῃ", φησὶν, „ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ, καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ καὶ τὸ ἑπτάκις ἐπιστρέφῃ πρὸς σὲ λέγων, μετανοῶ, ἄφες αὐτῷ" ***)· καὶ τοῖς μὲν στρατευομένοις διὰ Ἰωάννου παραγγέλλει, „ἀρκεῖσθαι μόνοις τοῖς ὀψωνίοις" †), τοῖς δὲ τελώναις „μηδὲν πλέον πράσσειν παρὰ τὰ διατεταγμένα", δικαστῇ δὲ, „οὐ λήψῃ", φησὶ, „πρόσωπον ἐν κρίσει, τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων καὶ λυμαίνεται ῥήματα δίκαια, ῥύσασθαι ἀδικουμένους" ††). ἀλλὰ καὶ τοῖς οἰκονομικοῖς, „κτῆσις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται" †††). ναὶ μὴν καὶ περὶ ἀγάπης, „ἀγάπη", φησὶ, „καλύπτει πλῆθος
P. 113 ἁμαρτιῶν" *). καὶ περὶ πολιτείας· „ἀπόδοτε
Sylb. τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ" **). ὅρκου δὲ πέρι καὶ μνησικακίας· „μὴ ἐγὼ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐκπορευομένοις ἐκ γῆς Αἰγύπτου, προσενέγκαι μοὶ ὁλοκαυτώματα καὶ θυσίας; ἀλλὰ τοῦτο ἐνετειλάμην αὐτοῖς· ἕκαστος ὑμῶν κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ αὐτοῦ μὴ μνησικακείτω, ὅρκον ψευδῆ μὴ ἀγαπάτω".

---

*) Ies. 1, 11 — 13. **) Psalm. 51, 17. ***) Luc. 17, 3 sq. †) Ibid. 3, 14 sq. ††) Exod. 23, 8. †††) Prouerb. 13, 11. *) 2 Petr. 4, 8. **) Matth. 22, 21. Marc. 12, 17. Luc. 20, 25.

§. 92. Ἀλλὰ καὶ ψεύσταις καὶ τετυφωμένοις προσαπειλεῖ, τοῖς μὲν ὧδέ πως· „οὐαὶ τοῖς λέγουσι τὸ γλυκὺ πικρὸν καὶ τὸ πικρὸν γλυκὺ", τοῖς δὲ ὡδί, „οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὑτῶν ἐπιστήμονες" *)· ὁ γὰρ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται" **). καὶ τοὺς μὲν ἐλεήμονας μακαρίζει, ὅτι αὐτοὶ ἐλεηθήσονται ***), ὀργὴν δὲ ἡ σοφία ταλανίζει, „ὅτι ἄρα ἀπολέσει καὶ φρονίμους" †). ἤδη δὲ „ἀγαπᾶν τοὺς P. 307 ἐχθροὺς" κελεύει „καὶ τοὺς καταρωμένους ἡμᾶς Pott. εὐλογεῖν προσεύχεσθαί τε ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς. τῷ τύπτοντί σε", φησίν, „εἰς τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ ἐὰν ἄρῃ σού τις τὸν χιτῶνα, μὴ κωλύσῃς καὶ τὸ ἱμάτιον" ††). περὶ δὲ τῆς πίστεως· „πάντα ὅσα ἂν αἰτήσησθε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε" †††), φησίν, πιστὸν δὲ ἀπίστοις οὐδὲν κατὰ Πίνδαρον. καὶ οἰκέταις μὲν χρηστέον, ὡς ἑαυτοῖς, ἄνθρωποι γάρ εἰσιν, ὡς ἡμεῖς, ὁ γὰρ θεὸς πᾶσιν τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις ἐστὶν, ἂν σκοπῇς, ἴσος.

§. 93. Δεῖ δὲ καὶ τοὺς πλημμελοῦντας τῶν οἰκετῶν οὐ κολάζειν, ἐπιτιμᾶν δὲ, „ὁ γὰρ φειδόμενος", φησὶ, „τῆς βακτηρίας ἑαυτοῦ μισεῖ τὸν ἑαυτοῦ υἱόν" *). ἔτι τὴν μὲν φιλοδοξίαν ἀποσκορακίζει· „οὐαὶ ὑμῖν, Φαρισαῖοι", λέγων, „ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς" **). τὴν δὲ μετάνοιαν τοῦ ἁμαρτωλοῦ ἀσπάζεται τὴν ἑπομένην ταῖς ἁμαρτίαις μετάνοιαν ἀγαπῶν, μόνος γὰρ ἀναμάρτητος αὐτὸς ὁ λόγος· τὸ μὲν γὰρ ἐξαμαρτάνειν πᾶσιν ἔμφυτον καὶ κοινὸν, ἀναδραμεῖν δὲ τὴν ἁμαρ-

---

*) Ies. 5, 30 sq. **) Luc. 14, 11. 18, 14. ***) Cf. Matth. 5, 7. †) Prouerb. 15, 1. ††) Matth. 5, 44. Luc. 6, 27—29. †††) Matth. 21, 22. *) Prouerb. 13, 24. **) Luc. 11, 43.

τίαν οὐ τοῦ τυχόντος ἀνδρὸς, ἀλλὰ ἀξιολόγου. περὶ δὲ τῆς μεταδόσεως, „δεῦτε", εἶπε, „πρός με πάντες οἱ εὐλογημένοι, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ συνηγάγετέ με, γυμνὸς καὶ περιεβάλετέ με, ἀσθενὴς καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με" *). καὶ πότε τι τούτων τῷ κυρίῳ πεποιήκαμεν ἡμεῖς; αὐτὸς ἐρεῖ πάλιν ὁ παιδαγωγὸς τὴν εὐποιίαν τῶν ἀδελφῶν ἀγαπητικῶς εἰς ἑαυτὸν μετατρέπων καὶ λέγων, „ἐφ' ὅσον ἐποιήσατε τοῖς μικροῖς τούτοις, ἐμοὶ ἐποιήσατε καὶ ἀπελεύσονται οἱ τοιοῦτοι εἰς ζωὴν αἰώνιον" **).

§. 94. Τοιοίδε μὲν οἱ λογικοὶ νόμοι, οἱ παρακλητικοὶ λόγοι οὐκ ἐν πλαξὶ λιθίναις δακτύλῳ γεγραμμέναις κυρίου, ἀλλ' ἐν καρδίαις ***) ἀνθρώπων ἐναπογεγραμμένοι ταῖς μόνον φθορὰν οὐκ ἐπιδεχομέναις. διὰ τοῦτό τοι κατεάγασιν αἱ πλάκες τῶν σκληροκαρδίων, ἵν' αἱ πίστεις τῶν νηπίων ἐν μαλθακαῖς τυπωθῶσι διανοίαις. ἄμφω δὲ τὼ νόμω διηκόνουν τῷ λόγῳ εἰς παιδαγωγίαν τῆς ἀνθρωπότητος, ὁ μὲν διὰ Μωϋσέως, ὁ δὲ δι' ἀποστόλων. οἵα γοῦν καὶ δι' ἀποστόλων ἡ παιδαγωγία, ἀναγκαῖόν μοι δοκεῖ καὶ περὶ τοῦ εἴδους διαλεχθῆναι τούτου, μᾶλλον P. 308 Pott. δὲ δι' ἐμαυτοῦ μεμνημένος ὁ παιδαγωγός φησιν, ἃς αὐτὰς σπερματικῶς πάλιν τὰς ὑποθήκας ἐκθήσομαι· „ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρήζοντι. πᾶσα

---

*) Matth. 25, 34—36. **) Ibid. 40, 46. ***) Cf. Cor. 3, 3.

πικρία καὶ ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ. γίνεσθε εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν" *). „γίνεσθε οὖν φρόνιμοι καὶ μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς" **). „αἱ μὲν γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν, ὡς τῷ κυρίῳ, οἱ δὲ ἄνδρες τὰς γυναῖκας τὰς ἑαυτῶν ἀγαπάτωσαν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν" ***).

§. 95. Ἀγαπάτωσαν οὖν ἀλλήλους οἱ συνεζευγμένοι, „ὡς τὰ ἴδια σώματα". τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν, οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ᾽ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. οἱ δοῦλοι ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν ὡς τῷ Χριστῷ ἐκ ψυχῆς μετ᾽ εὐνοίας δουλεύοντες. καὶ οἱ κύριοι εὖ ποιεῖτε τοὺς οἰκέτας ὑμῶν ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς καὶ προσωποληψία οὐκ ἔστιν" †). „εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα κενόδοξοι ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες· ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι" ††), εἰρηνεύετε ἐν ἑαυτοῖς. παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ

---

*) Ephes. 4, 25—32. **) Ibid. 5, 1 sq. ***) Ibid. vv. 22, 25. †) Ibid. 6, 1. 4—7. 9. ††) Galat. 5, 25. 26. 6, 2. 7. 9.

ἀποδῷ. τὸ πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ P. 114 Sylb. ἐξουθενεῖτε, πάντα δὲ δοκιμάζετε, καὶ τὸ P. 309 Pott. καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε" *). „τῇ προσευχῇ προσκαρτερεῖτε γρηγοροῦντες ἐν αὐτῇ, ἐν εὐχαριστίᾳ, ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω τὸν καιρὸν ἐξαγοραζόμενοι· ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι" **).

§. 96. Ἐντρέφεσθε τοῖς λόγοις τῆς πίστεως, γυμνάζεσθε πρὸς εὐσέβειαν, ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα τῆς ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης" ***). „οἱ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν" †). „ὁ μεταδιδοὺς ἔστω ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι, ἡ ἀγάπη ἀνυπόκριτος, ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, τῇ σπουδῇ μὴ ὀκνηροὶ, τῷ πνεύματι ζέοντες, τῷ κυρίῳ δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες, τὴν φιλοξενίαν διώκοντες, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες" ††).

§. 97. Ὀλίγα ταῦτα ἐκ πολλῶν δείγματος χάριν ἀπ᾽ αὐτῶν διεξελθὼν τῶν θείων γραφῶν ὁ παιδαγωγὸς τοῖς αὐτοῦ παρατίθεται παισὶν, δι᾽ ὧν, ὡς ἔπος εἰπεῖν, ἄρδην ἐκκόπτεται κακία καὶ περιγράφεται ἀδικία. μυρίαι δὲ ὅσαι ὑποθῆκαι εἰς πρόσωπα ἐκλεκτὰ διατείνουσαι ἐγγεγράφαται ταῖς βίβλοις ταῖς ἁγίαις, αἱ μὲν πρεσβυτέροις, αἱ δὲ ἐπισκόποις διακό-

---

*) 1 Thessal. 5, 13 — 15. 19—22. **) Coloss. 4, 2. 5 sq. ***) 1 Timoth. 4, 6—8. †) Ibid. 6, 2. ††) Rom. 12, 8 — 13.

νοις, ἄλλαι χήραις, περὶ ὧν ἄλλος ἂν εἴη λέγειν καιρός. πολλὰ δὲ καὶ δι᾽ αἰνιγμάτων, πολλὰ δὲ καὶ διὰ παραβολῶν τοῖς ἐντυγχάνουσιν ἔξεστιν ὠφελεῖσθαι. ἀλλ᾽ οὐκ ἐμὸν, φησὶν ὁ παιδαγωγὸς, διδάσκειν ἔτι ταῦτα, διδασκάλου δὲ εἰς τὴν ἐξήγησιν τῶν ἁγίων ἐκείνων λόγων χρήζομεν, πρὸς ὃν ἡμῖν βαδιστέον. καὶ δὴ ὥρα γε ἐμοὶ μὲν πεπαῦσθαι τῆς παιδαγωγίας, ὑμᾶς δὲ ἀκροᾶσθαι τοῦ διδασκάλου.

§. 98. Παραλαβὼν δὲ οὗτος ὑμᾶς ὑπὸ καλῇ τετραμμένους ἀγωγῇ ἐκδιδάξεται τὰ λόγια. εἰς καλὸν δὲ ἡ ἐκκλησία ἥδε καὶ ὁ νυμφίος ὁ μόνος διδάσκαλος, ἀγαθοῦ πατρὸς ἀγαθὸν βούλημα, σοφία γνήσιος, ἁγίασμα γνώσεως· „καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν," ὥς φησιν ὁ Ἰωάννης, ὁ ἰώμενος ἡμῶν καὶ σῶμα καὶ ψυχὴν, τὸν P. 310 Pott. ἴδιον ἄνθρωπον, Ἰησοῦς, „οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον ἁμαρτιῶν, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων ὅτι ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν ψεύστης ἐστὶ καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν. ὃς δ᾽ ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμὲν, ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει, καθὼς κἀκεῖνος περιεπάτησεν καὶ αὐτὸς περιπατεῖν" *).

§. 99. Ὦ τῆς μακαρίου θρέμματα παιδαγωγίας· τὸ καλὸν τῆς ἐκκλησίας πληρώσωμεν πρόσωπον καὶ πρὸς τὴν ἀγαθὴν προσδράμωμεν οἱ νήπιοι μητέρα, κἂν ἀκροαταὶ τοῦ λόγου γενώμεθα, τὴν μακαρίαν δοξάζωμεν οἰκονομίαν, δι᾽ ἣν παιδαγωγεῖται μὲν ὁ ἄνθρωπος, ἁγιάζεται δὲ ὡς θεοῦ παιδίον, καὶ πολιτεύεται μὲν ἐν οὐρανοῖς ἀπὸ γῆς παιδαγωγούμενος. πατέρα δὲ ἐκεῖ λαμβάνει, ὃν ἐπὶ γῆς

*) 1 Ioann. 2—6.

μανθάνει. πάντα ὁ λόγος καὶ ποιεῖ καὶ διδάσκει καὶ παιδαγωγεῖ. ἵππος ἄγεται χαλινῷ, καὶ ταῦρος ἄγεται ζυγῷ, θηρίον βρόχῳ ἁλίσκεται, ὁ δὲ ἄνθρωπος μεταπλάσσεται λόγῳ, ᾧ θηρία τιθασσεύεται καὶ νηκτὰ δελεάζεται καὶ πτηνὰ κατασύρεται. οὗτος ὡς ἀληθῶς τεχνάζεται ἵππῳ χαλινὸν, ταύρῳ ζυγὸν, θηρίῳ βρόχον, κάλαμον ἰχθύϊ, πάγην ὀρνέῳ, οὗτος πολιτεύεται καὶ γεωργεῖ, ἄρχει καὶ ὑπουργεῖ καὶ τὰ ἄλλα δημιουργεῖ·

ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τάτ' οὐρανὸς ἐστεφάνωται *).

§. 100. Ὢ τῶν θείων δημιουργημάτων, ὢ τῶν θείων παραγγελμάτων· ὕδωρ τοῦτο ἐν ἑαυτῷ κυμαινέτω, πῦρ τοῦτο τὴν ὀργὴν συνεχέτω, ἀὴρ οὗτος εἰς αἰθέρα πλανάσθω, γῆ δὲ καὶ πεπήχθω καὶ φερέσθω, ὅταν ἐγὼ θέλω ἄνθρωπον ἔτι πλάσαι καὶ βούλωμαι, ὕλην ἔχω τὰ στοιχεῖα, συνοικῶ μου τῷ πλάσματι. ἐάν με γνωρίσῃς, δουλεύσει σοὶ τὸ πῦρ. τοσοῦτος ὁ λόγος οὗτος ὁ παιδαγωγὸς ὁ τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου δημιουργὸς καὶ δι' αὐτὸν ἤδη καὶ τοῦ κόσμου παιδαγωγὸς, οὗ τῇ ἐγκελεύσει ἄμφω συνεστήκαμεν προσμένοντες τὴν κρίσιν. οὐ γὰρ ὑπόκλοπον φορεῖ βροτοῖσι φωνάεντα λόγον, ἔσται λόγος σοφία, ὥς φησι Βακχυλίδης. τὰ δὲ ἄμεμπτα καὶ ἀκέραια καὶ ἄμωμα τοῦ θεοῦ κατὰ τὸν Παῦλον **) τέκνα μέσον γενεᾶς σκολιᾶς καὶ διεστραμμένης φωστήρων δί- **P. 311 Pott.** κην ἐν κόσμῳ φαίνεσθαι.

§. 101. Ὅπερ οὖν λοιπὸν ἐπὶ τοιαύτῃ πανηγύρει τοῦ λόγου, τῷ λόγῳ προσευξώμεθα· ἵλαθι τοῖς σοῖς, παιδαγωγὲ, παιδίοις, πατὴρ, ἡνίοχε Ἰσραὴλ,

---

*) Hom. Il. 6, 483. 85. **) Cf. Philipp. 2, 15.

υἱὲ καὶ πατὴρ, ἓν ἄμφω κύριε. δὸς δὲ ἡμῖν τοῖς σοῖς ἑπομένοις παραγγέλμασι τὸ ὁμοίωμα πληρῶσαι τῆς εἰκόνος αἰσθάνεσθαί τε κατὰ κράτος ἀγαθοῦ τοῦ θεοῦ κριτοῦ τε μὴ πικροῦ, καὶ πάρασχε ἅπαντα αὐτὸς ἐν εἰρήνῃ τῇ σῇ πολιτευομένους, ἐν τῇ σῇ μετατιθεμένους πόλει, ἀκυμάντως τῆς ἁμαρτίας τὸν κλύδωνα διαπλεύσαντας, γαληνιῶντας ἁγίῳ συμφέ- P. 115 Sylb. ρεσθαι πνεύματι, σοφίᾳ τῇ ἀνεκφράστῳ, νύκτωρ, καθ' ἡμέραν, εἰς τὴν τελείαν ἡμέραν, αἰνοῦντας εὐχαριστεῖν, [εὐχαριστοῦντας] αἰνεῖν, τῷ μόνῳ πατρὶ καὶ υἱῷ, υἱῷ καὶ πατρὶ, παιδαγωγῷ καὶ διδασκάλῳ υἱῷ, σὺν καὶ τῷ ἁγίῳ πνεύματι, πάντα τῷ ἑνὶ, ἐν ᾧ τὰ πάντα, δι' ὃν τὰ πάντα ἓν, δι' ὃν τὸ ἀεὶ, οὗ μέλη πάντες, οὗ δόξα, αἰῶνες, πάντα τῷ ἀγαθῷ, πάντα τῷ καλῷ, πάντα τῷ σοφῷ, τῷ δικαίῳ τὰ πάντα. ᾧ ἡ δόξα καὶ νῦν καὶ εἰς αἰῶνας. ἀμήν. ἐπεὶ δὲ εἰς τὴν ἐκκλησίαν ἡμᾶς καταστήσας ὁ παιδαγωγὸς αὐτὸς ἑαυτῷ παρακατέθετο τῷ διδασκαλικῷ καὶ πανεπισκόπῳ λόγῳ, καλῶς ἂν ἔχοι ἡμᾶς ἐνταῦθα γενομένους μισθὸν εὐχαριστίας δικαίας κατάλληλον ἀστείου παιδαγωγίας αἶνον ἀναπέμψαι κυρίῳ.

Ὕμνος τοῦ σωτῆρος Χριστοῦ τοῦ ἁγίου Κλήμεντος.

Στόμιον πώλων ἀδαῶν, P. 312 Pott.
πτερὸν ὀρνίθων ἀπλανῶν,
οἴαξ νηῶν ἀτρεκὴς,
ποιμὴν ἀρνῶν βασιλικῶν,
τοὺς σοὺς ἀφελεῖς
παῖδας ἄγειρον,
αἰνεῖν ἁγίως,
ὑμνεῖν ἀδόλως
ἀκάκοις στόμασιν
παίδων ἡγήτορα Χριστόν.
βασιλεῦ ἁγίων,
λόγε πανδαμάτωρ

ἀποδῶ. τὸ πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ P. 114 ἐξουθενεῖτε, πάντα δὲ δοκιμάζετε, καὶ τὸ P. 309 Sylb. καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέ- Pott. χεσθε" *). „τῇ προσευχῇ προσκαρτερεῖτε γρηγοροῦντες ἐν αὐτῇ, ἐν εὐχαριστίᾳ, ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω τὸν καιρὸν ἐξαγοραζόμενοι. ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι" **).

§. 96. "Εν τρέφεσθε τοῖς λόγοις τῆς πίστεως, γυμνάζεσθε πρὸς εὐσέβειαν, ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα τῆς ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης" ***). „οἱ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν" †). „ὁ μεταδιδοὺς ἔστω ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι, ἡ ἀγάπη ἀνυπόκριτος, ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, τῇ σπουδῇ μὴ ὀκνηροὶ, τῷ πνεύματι ζέοντες, τῷ κυρίῳ δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες, τὴν φιλοξενίαν διώκοντες, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες" ††).

§. 97. Ὀλίγα ταῦτα ἐκ πολλῶν δείγματος χάριν ἀπ᾽ αὐτῶν διεξελθὼν τῶν θείων γραφῶν ὁ παιδαγωγὸς τοῖς αὐτοῦ παρατίθεται παισὶν, δι᾽ ὧν, ὡς ἔπος εἰπεῖν, ἄρδην ἐκκόπτεται κακία καὶ περιγράφεται ἀδικία. μυρίαι δὲ ὅσαι ὑποθῆκαι εἰς πρόσωπα ἐκλεκτὰ διατείνουσαι ἐγγεγράφαται ταῖς βίβλοις ταῖς ἁγίαις, αἱ μὲν πρεσβυτέροις, αἱ δὲ ἐπισκόποις διακό-

---

*) 1 Thessal. 5, 13 — 15. 19—22. **) Coloss. 4, 2. 5 sq. ***) 1 Timoth. 4, 6—8. †) Ibid. 6, 2. ††) Rom. 12, 8 — 13.

νοις, ἄλλαι χήραις, περὶ ὧν ἄλλος ἂν εἴη λέγειν καιρός. πολλὰ δὲ καὶ δι' αἰνιγμάτων, πολλὰ δὲ καὶ διὰ παραβολῶν τοῖς ἐντυγχάνουσιν ἔξεστιν ὠφελεῖσθαι. ἀλλ' οὐκ ἐμὸν, φησὶν ὁ παιδαγωγὸς, διδάσκειν ἔτι ταῦτα, διδασκάλου δὲ εἰς τὴν ἐξήγησιν τῶν ἁγίων ἐκείνων λόγων χρῄζομεν, πρὸς ὃν ἡμῖν βαδιστέον. καὶ δὴ ὥρα γε ἐμοὶ μὲν πεπαῦσθαι τῆς παιδαγωγίας, ὑμᾶς δὲ ἀκροᾶσθαι τοῦ διδασκάλου.

§. 98. *Παραλαβὼν δὲ οὗτος ὑμᾶς ὑπὸ καλῇ τετραμμένους ἀγωγῇ ἐκδιδάξεται τὰ λόγια. εἰς καλὸν δὲ ἡ ἐκκλησία ἥδε καὶ ὁ νυμφίος ὁ μόνος διδάσκαλος, ἀγαθοῦ πατρὸς ἀγαθὸν βούλημα, σοφία γνήσιος, ἁγίασμα γνώσεως· „καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν," ὥς φησιν ὁ Ἰωάννης, ὁ ἰώμενος ἡμῶν καὶ σῶμα καὶ ψυχὴν, τὸν* P. 310 Pott. *ἴδιον ἄνθρωπον, Ἰησοῦς, „οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον ἁμαρτιῶν, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων ὅτι ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν ψεύστης ἐστὶ καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν. ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμὲν, ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει, καθὼς κἀκεῖνος περιεπάτησεν καὶ αὐτὸς περιπατεῖν"* *).

§. 99. *Ὦ τῆς μακαρίου θρέμματα παιδαγωγίας· τὸ καλὸν τῆς ἐκκλησίας πληρώσωμεν πρόσωπον καὶ πρὸς τὴν ἀγαθὴν προσδράμωμεν οἱ νήπιοι μητέρα, κἂν ἀκροαταὶ τοῦ λόγου γενώμεθα, τὴν μακαρίαν δοξάζωμεν οἰκονομίαν, δι' ἣν παιδαγωγεῖται μὲν ὁ ἄνθρωπος, ἁγιάζεται δὲ ὡς θεοῦ παιδίον, καὶ πολιτεύεται μὲν ἐν οὐρανοῖς ἀπὸ γῆς παιδαγωγούμενος. πατέρα δὲ ἐκεῖ λαμβάνει, ὃν ἐπὶ γῆς*

---

*) 1 Ioann. 2—6.

μανθάνει. πάντα ὁ λόγος καὶ ποιεῖ καὶ διδάσκει καὶ παιδαγωγεῖ. ἵππος ἄγεται χαλινῷ, καὶ ταῦρος ἄγεται ζυγῷ, θηρίον βρόχῳ ἁλίσκεται, ὁ δὲ ἄνθρωπος μεταπλάσσεται λόγῳ, ᾧ θηρία τιθασσεύεται καὶ νηκτὰ δελεάζεται καὶ πτηνὰ κατασύρεται. οὗτος ὡς ἀληθῶς τεχνάζεται ἵππῳ χαλινὸν, ταύρῳ ζυγὸν, θηρίῳ βρόχον, κάλαμον ἰχθύϊ, πάγην ὀρνέῳ, οὗτος πολιτεύεται καὶ γεωργεῖ, ἄρχει καὶ ὑπουργεῖ καὶ τὰ ἄλλα δημιουργεῖ·

ἐν μὲν γαῖαν ἔτευξ᾽, ἐν δ᾽ οὐρανὸν, ἐν δὲ θάλασσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τάτ᾽ οὐρανὸς ἐστεφάνωται *).

§. 100. Ὦ τῶν θείων δημιουργημάτων, ὢ τῶν θείων παραγγελμάτων· ὕδωρ τοῦτο ἐν ἑαυτῷ κυμαινέτω, πῦρ τοῦτο τὴν ὀργὴν συνεχέτω, ἀὴρ οὗτος εἰς αἰθέρα πλανάσθω, γῆ δὲ καὶ πεπήχθω καὶ φερέσθω, ὅταν ἐγὼ θέλω ἄνθρωπον ἔτι πλάσαι καὶ βούλωμαι, ὕλην ἔχω τὰ στοιχεῖα, συνοικῶ μου τῷ πλάσματι. ἐάν με γνωρίσῃς, δουλεύσει σοὶ τὸ πῦρ. τοσοῦτος ὁ λόγος οὗτος ὁ παιδαγωγὸς ὁ τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου δημιουργὸς καὶ δι᾽ αὐτὸν ἤδη καὶ τοῦ κόσμου παιδαγωγὸς, οὗ τῇ ἐγκελεύσει ἄμφω συνεστήκαμεν προσμένοντες τὴν κρίσιν. οὐ γὰρ ὑπόκλοπον φορεῖ βροτοῖσι φωνάεντα λόγον, ἔσται λόγος σοφία, ὥς φησι Βακχυλίδης. τὰ δὲ ἄμεμπτα καὶ ἀκέραια καὶ ἄμωμα τοῦ θεοῦ κατὰ τὸν Παῦλον **) τέκνα μέσον γενεᾶς σκολιᾶς καὶ διεστραμμένης φωστήρων δί- P. 311
κην ἐν κόσμῳ φαίνεσθαι. Pott.

§. 101. Ὅπερ οὖν λοιπὸν ἐπὶ τοιαύτῃ πανηγύρει τοῦ λόγου, τῷ λόγῳ προσευξώμεθα· ἵλαθι τοῖς σοῖς, παιδαγωγὲ, παιδίοις, πατὴρ, ἡνίοχε Ἰσραὴλ,

---

*) Hom. Il. 6, 483. 85. **) Cf. Philipp. 2, 15.

- υἱὲ καὶ πατὴρ, ἓν ἄμφω κύριε. δὸς δὲ ἡμῖν τοῖς σοῖς ἑπομένοις παραγγέλμασι τὸ ὁμοίωμα πληρῶσαι τῆς εἰκόνος αἰσθάνεσθαί τε κατὰ κράτος ἀγαθοῦ τοῦ θεοῦ κριτοῦ τε μὴ πικροῦ, καὶ πάρασχε ἅπαντα αὐτὸς ἐν εἰρήνῃ τῇ σῇ πολιτευομένους, ἐν τῇ σῇ μετατιθεμένους πόλει, ἀκυμάντως τῆς ἁμαρτίας τὸν κλύδωνα διαπλεύσαντας, γαληνιῶντας ἁγίῳ P. 115 Sylb. συμφέρεσθαι πνεύματι, σοφίᾳ τῇ ἀνεκφράστῳ, νύκτωρ, καθ᾽ ἡμέραν, εἰς τὴν τελείαν ἡμέραν, αἰνοῦντας εὐχαριστεῖν, [εὐχαριστοῦντας] αἰνεῖν, τῷ μόνῳ πατρὶ καὶ υἱῷ, υἱῷ καὶ πατρὶ, παιδαγωγῷ καὶ διδασκάλῳ υἱῷ, σὺν καὶ τῷ ἁγίῳ πνεύματι, πάντα τῷ ἑνὶ, ἐν ᾧ τὰ πάντα, δι᾽ ὃν τὰ πάντα ἓν, δι᾽ ὃν τὸ ἀεὶ, οὗ μέλη πάντες, οὗ δόξα, αἰῶνες, πάντα τῷ ἀγαθῷ, πάντα τῷ καλῷ, πάντα τῷ σοφῷ, τῷ δικαίῳ τὰ πάντα. ᾧ ἡ δόξα καὶ νῦν καὶ εἰς αἰῶνας. ἀμήν. ἐπεὶ δὲ εἰς τὴν ἐκκλησίαν ἡμᾶς καταστήσας ὁ παιδαγωγὸς αὐτὸς ἑαυτῷ παρακατέθετο τῷ διδασκαλικῷ καὶ πανεπισκόπῳ λόγῳ, καλῶς ἂν ἔχοι ἡμᾶς ἐνταῦθα γενομένους μισθὸν εὐχαριστίας δικαίας κατάλληλον ἀστείου παιδαγωγίας αἶνον ἀναπέμψαι κυρίῳ.

Ὕμνος τοῦ σωτῆρος Χριστοῦ τοῦ ἁγίου Κλήμεντος.

Στόμιον πώλων ἀδαῶν, P. 312 Pott.
πτερὸν ὀρνίθων ἀπλανῶν,
οἴαξ νηῶν ἀτρεκὴς,
ποιμὴν ἀρνῶν βασιλικῶν,
τοὺς σοὺς ἀφελεῖς
παῖδας ἄγειρον,
αἰνεῖν ἁγίως,
ὑμνεῖν ἀδόλως
ἀκάκοις στόμασιν
παίδων ἡγήτορα Χριστόν.
βασιλεῦ ἁγίων,
λόγε πανδαμάτωρ

πατρὸς ὑψίστου,
σοφίας πρύτανι
στήριγμα πόνων
αἰωνοχαρὲς,
βροτέας γενεᾶς
σῶτερ Ἰησοῦ,
ποιμὴν, ἀροτὴρ,
οἴαξ, στόμιον,
πτερὸν οὐράνιον
παναγοῦς ποίμνης,
ἁλιεῦ μερόπων
τῶν σωζομένων,
πελάγους κακίας
ἰχθῦς ἁγνοὺς
κύματος ἐχθροῦ
γλυκερᾷ ζωῇ δελεάζων.
ἡγοῦ, προβάτων
λογικῶν ποιμὴν,
ἅγιε ἡγοῦ
βασιλεῦ παίδων ἀνεπάφων.
ἴχνια Χριστοῦ,
ὁδὸς οὐρανία,
λόγος ἀέναος,
φῶς ἀΐδιον,
ἐλέους πηγὴ,
ῥεκτὴρ ἀρετῆς, P. 313 Pott.
σεμνὴ βιοτὴ
θεὸν ὑμνούντων, Χριστὲ Ἰησοῦ,
γάλα οὐράνιον
μαστῶν γλυκερῶν
νύμφης χαρίτων,
σοφίας τῆς σῆς ἐκθλιβόμενον,
οἱ νηπίαχοι
ἀταλοῖς στόμασιν
ἀτιταλλόμενοι,
θηλῆς λογικῆς

πνεύματι δροσερῷ
ἐμπιπλάμενοι
αἴνους ἀφελεῖς,
ὕμνους ἀτρεκεῖς,
βασιλεῖ Χριστῷ,
μισθοὺς ὁσίους
ζωῆς διδαχῆς,
μέλπωμεν ὁμοῦ,
μέλπωμεν ἁπλῶς,
παῖδα κρατερόν.
χορὸς εἰρήνης
οἱ χριστόγονοι,
λαὸς σώφρων,
ψάλλωμεν ὁμοῦ θεὸν εἰρήνης.

Εἰς τὸν παιδαγωγόν.

Σοὶ τόνδε κἀγὼ, παιδαγωγὲ, προσφέρω
λόγοισι πλέξας στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ἡμῖν οὗ παρέσχου τὰς νομὰς
ὡς ἐργάτις μέλιττα χωρίων ἄπο
βλάστην τρυγῶσα, χρηστὸν ἐκ σίμβλων πόνον,
κηρὸν δίδωσι τὸν γλυκὺν τῷ προστάτῃ.
εἰ καὶ βραχὺς δ᾽ ἐγώ τις οἰκέτης γε σός·
δεῖ γάρ σε τοῖς σοῖς εὐλογεῖν θεσπίσμασιν·
ἄναξ βροτῶν μέγιστε, τῶν καλῶν δοτὴρ,
ἐσθλῶν χορηγὲ καὶ τὸ πᾶν κτίσας πάτερ,
ὃς οὐρανόν τε καὶ τὸν οὐρανοῦ μόνος
κόσμον τέθεικας, ἁρμόσας θείῳ λόγῳ,
ὁ δείξας αὐτὸς ἡμέραν τε καὶ φάος,
καὶ τὸν πολοῦσιν ἄστροις νημερτῆ δρόμον.
ἐνταῦθ᾽ ὅποι γῆ καὶ θάλασσα προσμένοι,
τροπῶν τε καιρὸν εὐστόχως δήσας κύκλῳ
ἔαρ τε καὶ χειμῶνα καὶ θέρας πάλιν P. 314
τοῦ τε μετοπώρου τάξιν ἐξηρτισμένην, Pott.
ὅλον τε κόσμον ἐξ ἀκοσμίας κτίσας

ὕλης ἀμόρφου, τόδε τὸ πᾶν καταρτίσας,
αὐτός τε ζωήν καὶ καλῶς ἀεὶ βιοῦν,
χάριν τε τὴν σὴν ἀσφαλῶς πάρασχέ μοι,
ποιεῖν τε τὰς σὰς καὶ λέγειν θείας γραφὰς,
αἰνεῖν ἀεὶ σὲ καὶ τὸν ἐκ σοῦ πάνσοφον
τόν σοι συνόντα καὶ παρόντα σοὶ λόγον.
μή μοι δὲ πενίαν μηδὲ μὴν πλοῦτον δίδου,
τάξιν δὲ τοῦ δέοντος αὐταρκεστάτην,
πάτερ, παράσχου καὶ καλὸν βίου τέλος.

Corrigenda et addenda.

P. 4. v. 5 et 10. scr. δράκοντι.
p. 24. v. 18. del. interpunctio post Ἀπόλλωνες.
p. 40. v. 13. corr. ἀνδρείκελα.
p. 64. v. 14. scrib. ἐν ἡνιόχῳ ἢ ἐν ὑποβ. v. 22. ἱερείᾳ. v. 29. del. interpunctio a verbo εὑρημέν'.
p. 72. v. 19. corr. ἀνελλιπὴς, vt infra p. 121. v. 25. ἐλλιπὴς.
p. 91. v. 12 sq. corr. ὅτε — ὅτε.
p. 107. v. 21. scrib. ἰητρικὴ et v. 22. παθέων.
p. 134. v. 19. αὐτῆς, quo in pronomine librarius saepe me reluctante peccauit.
p. 203. v. 19 sqq. versus sic sunt disponendi:

τὰ δὲ καὶ κεκρυμμένα πάντα
φαίνει ἁμαρτοεπὴς οἶνος, μεθύουσιν ὄλισθος
οἶνος ψυχαπάτης.

p. 286. v. 27. qui primus legitur versus, is erat a margine aliquo spatio retrahendus, vt p. 288. v. 13. verbum περιπεπεμμένοι.

LIPSIAE,
EX OFFICINA I. B. HIRSCHFELDI.

Clemens
Opera omnia

12288

APR 18 '28	E. S. Stevens
25 '28	Classics 77
AUG 18	B. F. Hiller Thesis
OCT 19	313 Forest Ave Oak Park
OCT 25 194	A. Graham Maxwell
OCT 29	5802 Maryland av
JAN 15 1955	Wm. C. Worrell
FEB 7 1955	Worrell 17 1-30-55
	K. Eekelaeger
JUN 3 1964	373 Emerson Ellyn